
LANE MEDICAL LIBRARY STANFORD
2 45 0280 7053

AETII

SERMO SEXTIDECIMUS ET ULTIMUS

ERSTENS AUS HANDSCHRIFTEN VERÖFFENTLICHT

MIT ABBILDUNGEN,
BEMERKUNGEN UND ERKLÄRUNGEN

VON

DR. SKÉVOS ZERVÒS,

FR. ASSISTENZARZT IM SPITAL IHRER KGL. MAJEST. DER KÖNIGIN
VON GRIECHENLAND „EVANGELISMÒS“ ZU ATHEN.



LEIPZIG
VERLAG VON ANTON. MANGKOS
1901



Dr. *ΣΚΕΥΟΣ. ΖΕΡΒΟΣ.*



ΤΟΙΣ

ΣΕΒΑΣΤΟΙΣ ΜΟΙ ΓΟΝΕΥΣΙ

ΓΕΩΡΓΙΩι ΚΑΙ ΝΙΚΗι

ΚΑΙ

ΤΟΙΣ ΕΜΟΙΣ ΔΙΔΑΣΚΑΛΟΙΣ ΚΥΡΙΟΙΣ

ΝΙΚΟΛ. ΜΑΚΚΑι ΚΑΙ ΙΟΥΛ. ΓΑΛΒΑΝΗι

ΑΝΘ' ΩΝ

ΥΠΕΡ ΕΜΟΥ ΕΠΑΘΟΝ ΚΑΙ ΕΠΟΙΗΣΑΝ

ΕΛΑΧΙΣΤΟΝ

Ο ΕΥΓΝΩΜΟΝΩΝ ΥΙΟΣ ΚΑΙ ΜΑΘΗΤΗΣ

ΣΚΕΥΟΣ. Γ. ΖΕΡΒΟΣ.

61303

ΤΗι ΑΥΤΟΥ ΕΞΟΧΟΤΗΤΙ

Τῳ ΚΥΡΙῳ Κῳ

ΚΛΕΩΝΙ Ρ. ΡΑΓΚΑΒΗι

ΠΡΕΣΒΕΥΤΗι ΤΗΣ Α. ΜΕΓΑΛΕΙΟΤΗΤΟΣ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΤΩΝ ΕΛΛΗΝΩΝ

ΥΠΕΡΤΑΤΟΥ ΣΕΒΑΣΜΟΥ

ΔΕΙΓΜΑ

Ο ΠΟΝΗΣΑΣ.

ΕΞΟΧΩΤΑΤΕ!!

Οἷον μέγα, οἷον κολοσσιαῖον, πόσον δύσκολος καὶ κοπιώδης ἡ τὸ πρῶτον ἤδη ἐκ χειρογράφων καὶ κωδίκων ἔκδοσις ἀρχαίου συγγραφέως, ὡς ἡ ἀνὰ χεῖρας. Δὲν εἶνε μόνον ἡ τῆς παλαιογραφίας γνῶσις, ὅπως ἥ τε ἀνάγνωσις καὶ ἡ ἀντιγραφὴ τῶν ἀρχαίων κειμένων γίγνηται ὅσον ἔνεστι ἀπροσκόπτως καὶ σαφῶς· οὔτε αἱ μακραὶ ἀποδημίαι πρὸς ἀναζήτησιν καὶ εὕρεσιν τῶν διαφόρων χειρογράφων· οὔτε ἡ λεπτομερὴς καὶ μετὰ προσοχῆς ὅλως ἐκτάκτου ἀντιγραφὴ τόσων κειμένων, καὶ ἡ παραβολὴ αὐτῶν πρὸς ἄλληλα· οὔτε ἡ σταχυολόγησις τῶν διαφόρων αὐτῶν παραλλαγῶν, καὶ ἡ εὕρεσις τῶν τε ἐσφαλμένως ἐχόντων ἢ τῶν παρεφθαρμένων ἢ καὶ τελείως ἐλλειπόντων χωρίων· ὅσον εἶνε ἡ προσφυγὴ πρὸς ἅπασαν σχεδὸν τὴν ἀρχαίαν φιλολογίαν οὐ μόνον τὴν ἰατρικὴν, τὸν Ἱπποκράτην δηλονότι καὶ Γαληνὸν καὶ Ὀρειβάσιον, τὸν Διοσκορίδην καὶ Ἀρεταῖον, τὸν Ροῦφον καὶ Παῦλον, τὸν Τραλλιανὸν καὶ Νόννον καὶ τὴν λοιπὴν ἅπασαν σοφὴν χορείαν τῶν ἀρχαίων ἰατρῶν, ἀλλὰ καὶ πρὸς αὐτοὺς τοὺς φιλοσόφους, τοὺς ἱστορικοὺς καὶ ποιητὰς, τοὺς τραγῳδοὺς καὶ κωμῳδοὺς, ὅπως λαμβάνοντες σαφῆ ἰδέαν τῆς ἀρχαίας ἰατρικῆς παρακολουθήσωμεν τὴν ἐξέλιξιν ταύτης, καὶ κρίνωμεν τὸ ὅ ἐπετέλεσεν ὁ ἀνὰ χεῖρας συγγραφεὺς ἔργον. Τί τὸ ἔργον τοῦτο θέλει ἐπιτελέσει ἐν τῇ καθόλου ἐπιστήμῃ, ποίας ἐκτιμήσεως καὶ ἀξίας θέλει τύχει, ποίας σημασίας θέλει ἀξιωθῇ, δυνάμεθα ἴσως νὰ προΐδωμεν λαμβάνοντες ὑπ' ὄψιν, ὅτι μέγιστα ἰατρικὰ ζητήματα θεωρούμενα μέχρι τῆς στιγ-

μῆς ταύτης ὡς προϊόντα τοῦ λήξαντος αἰῶνος, ὡς κυήματα τῶν τελευταίων αὐτοῦ ἐτῶν, θέλουσιν ἀποδειχθῇ διὰ τοῦ ἔργου τούτου, ὅτι ταῦτα ἐγίνωσκε καὶ ἐφεῦρε τὸ ἀθάνατον ἀρχαῖον Ἑλληνικὸν πνεῦμα, ἡ μεγαλοφυΐα τοῦ ὁποίου τοσαῦτα ἐπετέλεσε θαύματα.

Ἡ Γυναικολογία, ἥτις κοινῶς θεωρεῖται ὡς προϊὸν καὶ κτῆμα τοῦ τελευταίου τετάρτου τοῦ λήξαντος αἰῶνος, ἡ γυναικολογία λέγω, ἥτις νομίζεται ὡς ἓν τῶν τελευταίων τέκνων τῆς ἰατρικῆς ἐπιστήμης, δὲν εἶνε ἄλλη εἰμὴ ἡ γυναικολογία, ἣν περιγράφει ὁ Ἀέτιος σμικρὸν βελτιωμένη ἰδίᾳ μετὰ τὰς τελευταίας θαυμαστὰς ἀνακαλύψεις, δὲν εἶνε εἰμὴ ἡ γυναικολογία τὴν ὁποίαν τὸ ἀρχαῖον Ἑλληνικὸν πνεῦμα ἐφαντάσθη, ἡ γυναικολογία τὴν ὁποίαν τὸ Ἑλληνικὸν πνεῦμα ἔπλασε. Πλεῖστα ὅσα τοῦ ἀνὰ χεῖρας ἔργου κεφάλαια ἀναγιγνωσκόμενα, ἐμποιοῦσι κατάπληξιν διὰ τὴν σαφήνειαν τῶν ἰδεῶν καὶ νοημάτων, προκαλοῦσιν ἔκπληξιν μᾶλλον ἢ θαυμασμὸν, διότι ἐκλαμβάνονται ὡς σοφὰ ῥήματα περιβλέπτου τινὸς τῆς ἐπιστήμης μύστου πρὸ λεπτῶν τινων μόλις ὑπαγορευθέντα, ὡς διδάγματα ἐφ' ὧν ἡ Ἐπιστήμη ἔθηκεν ἤδη τὴν ἀθάνατον αὐτῆς σφραγῖδα, τὴν σφραγῖδα τῆς αἰωνιότητος, τῆς ἀθανασίας. καὶ μόνον ἡ ἀρχαϊκὴ τούτων ἁπλότης καὶ κυριολεξία, μόνον τὸ ἑλληνικὸν ὕφος καὶ ἡ καλλιέπεια προδίδει τὴν ἀρχαίαν αὐτῶν καταγωγὴν, τὴν ἀρχαίαν αὐτῶν φύσιν. Πλεῖσται ὅσαι χειρουργίαι ἐπί τε τῶν γεννητικῶν τοῦ θήλεως ὀργάνων καὶ ἀλλαχοῦ, φέρουσαι ὀνομασίας προσώπων σημαντικῶν ἄλλως τε ἐν τῇ συγχρόνῳ ἐπιστήμῃ, περιγράφονται μετὰ θαυμαστῆς ὄντως ἀκριβείας καὶ καταπλησσούσης λεπτομερείας. αἱ δὲ γνώσεις καὶ αἱ ἰδέαι τοῦ Ἀετίου περί τε τῶν σχημάτων καὶ τῶν θέσεων τοῦ ἐμβρύου, περὶ ἁπασῶν τῶν Μαιευτικῶν Χειρουργιῶν, τῶν τρόπων καὶ τῶν μέσων τῆς ἐκτελέσεως τῶν πολυπλόκων τούτων ἐγχειρήσεων, εἶνε αὐταὶ αὗται ἀπαράλλακτοι αἱ τὴν στιγμὴν ταύτην κρατοῦσαι καὶ διέπουσαι ἐν τῇ Ἰατρικῇ, αὐταὶ αὗται ἄθικτοι, ἀναλλοίωτοι. Τί δ' ἂν εἴποιμι περὶ τῶν χειρουργικῶν

καὶ μαιευτικῶν ἐργαλείων καὶ μέσων, περὶ ὧν τοσοῦτος ἐγίγνετο καὶ νῦν ἔτι γίγνεται ἀγών; Ὁ ἡμέτερος συγγραφεὺς οὐ μόνον ἐγίγνωσκε σχεδὸν ἅπαντα, ἅπερ καὶ ἡμεῖς νῦν ἔν τε τῇ Γυναικολογίᾳ καὶ τῇ Μαιευτικῇ ἔχομεν, ἀλλὰ καὶ πολλαπλῶς ἐχρήσατο καὶ λεπτομερῶς περιέγραψε, μὴ καταλείψας οὕτως οὐδένα δισταγμόν, οὐδεμίαν ἀμφιβολίαν.

Ἐκ τῆς σκοτίας καὶ τῆς ἐντελοῦς ἀσημότητος καὶ ἀφανείας ἀνασύραντες τὸ ἔργον τοῦτο, καὶ μετ' ἀνενδότου ὅσον καὶ πείσμονος ἀντιστάσεως παλαίσαντες πρὸς ἀναρίθμητα ὅσα, ὅσον καὶ οὐσιώδη κωλύματα καὶ δυσκολίας, τεθωρακισμένοι μὲ ἐπιμονὴν καὶ ὑπομονὴν ἀκατάβλητον, ἅς ἐνθουσιασμὸς ἄκρατος, φανατισμὸς μᾶλλον πρὸς τὴν ἑλληνικὴν ἐπιστήμην καὶ εὔκλειαν μᾶς διεθέρμανε καὶ ἐστήριξεν, ἠδυνήθημεν τέλος μόνοι ἄνευ τῆς ἐλαχίστης ξένης ἀρωγῆς καὶ βοηθείας νὰ φέρωμεν τοῦτο εἰς πέρας, καταβάλλοντες ἁπάσας τὰς ἠθικὰς καὶ ὑλικὰς ἡμῶν δυνάμεις, ἐξαντλοῦντες πάντα τὰ ἠθικὰ καὶ ὑλικὰ ἡμῶν στοιχεῖα καὶ μέσα· ποιήσαντες δὲ τὴν ἔκδοσιν ἡμῶν ὅσον ἐνῆν πολυτελῆ, καὶ πλουτίσαντες αὐτὴν διὰ πλείστων ὅσων ἀρίστων εἰκόνων, καὶ ἀφθονωτάτων σημειώσεων καὶ σχολίων ἐξ ἁπάσης τῆς ἀρχαίας φιλολογίας, τῶν δὲ φαρμάκων τὰ μὴ κοινὰ καὶ συνήθη ἐπεξηγήσαντες δεόντως, καὶ τοὺς λατινικοὺς αὐτῶν ὅρους παραθέντες χάριν εὐρυτέρας ἀπόψεως, τέλος προσθέσαντες ἐν τοῖς περιθορίοις μικρὰς περιλήψεις, ἐν τέλει δὲ πολλαπλοῦς πίνακας, ἔχομεν δι' ἐλπίδος ὅτι προσφέρομέν τι τῇ περιφημένῃ Πατρίδι, ὅτι ἀποκαλύπτομεν νέον τηλαυγῆ φάρον τῇ ἑλληνικῇ ἰατρικῇ, φάρον μέλλοντα πλείστας ὅσας λαμπρὰς δόξης ἀκτῖνας νὰ προσθέσῃ εἰς τὴν ἀρχαίαν εὔκλειαν, μὲ πλείστας ἀφθίτους λαμπηδόνας νὰ καταυγάσῃ τὴν Ἑλληνικὴν Ἐπιστήμην.

Τοιοῦτον ἐν σμικρῷ τὸ ἐπιτελεσθὲν ἔργον, τοιοῦτοι ἐν σκιαγραφίᾳ οἱ καταβληθέντες κόποι, τοιοῦτον προσδοκῶμεν τὸ ἀποτέλεσμα. Εἴθε τὸ ἐμὸν ἔργον νὰ σημειώσῃ τὴν ἀπαρχὴν τῆς δημοσιεύσεως ἁπάντων τῶν ἀνεκδότων ἔτι ἀρχαίων ἰατρῶν, εἴθε

νὰ ᾖ ὁ πρόσκοπος τῆς ἀποκαλύψεως ἁπάσης τῆς ἐνδόξου χορείας τῶν ἑλλήνων ἰατρῶν, διὰ τὴν δημοσίευσιν τῶν ὁποίων τοσάκις ξέναι Ἀκαδημίαι ἐξέφρασαν διαπύρους εὐχὰς, ἐπ' ἀγαθῷ τῆς ἐπιστήμης καὶ τῆς ἀνθρωπότητος, χάριν τῆς εὐκλείας τῆς πατρίδος καὶ τῆς δόξης τῆς ἑλληνικῆς ἰατρικῆς.

Ἀφιερῶν πρὸς τὴν Ὑμετέραν Ἐξοχότητα τὸ ἔργον τοῦτο, ὡς τὴν προσωποποίησιν ἐν τῇ ξένῃ τῆς φίλης Πατρίδος, ἀφιερῶν αὐτὸ πρὸς τοὺς Γονεῖς καὶ Διδασκάλους μου, ἐκπληρῶ ὄνειρον μακρὸν, πόθον ἱερὸν, πόθον, ὃν ὁ θεῖος Σωκράτης ἀπεκρυστάλλωσε διὰ τοῦ „Πατρὸς καὶ μητρὸς καὶ τῶν ἄλλων προγόνων ἁπάντων, τιμιώτερον ἐστὶν ἡ Πατρὶς καὶ σεμνότερον καὶ ἁγιώτερον καὶ ἐν μείζονι μοίρᾳ καὶ παρὰ θεοῖς καὶ ἀνθρώποις τοῖς νοῦν ἔχουσι.“

Ἐν Βερολίνῳ τῇ 30ῃ Μαρτίου 1901.

Μετ' ἐξαιρέτου τιμῆς
καὶ σεβασμοῦ ἄκρου τῆς
Ὑμ. Ἐξοχότητος ταπεινὸς θεράπων.

DR. ΣΚΕΥΟΣ. Γ. ΖΕΡΒΟΣ.

Βερολῖνον τῇ 1. Ἀπριλίου 1901.

Ἀξιότιμε Κύριε Σκ. Ζερβέ!

Μετὰ ζωηροῦ ἐνδιαφέροντος ἀνέγνων τὸν περισπούδαστον πρόλογον, ὅν προετάξατε τῆς ὑφ' Ὑμῶν ἀναληφθείσης ἐκδόσεως ἑνὸς τῶν σπουδαιοτέρων βιβλίων τοῦ Ἀετίου.

Ἄπορον φαίνεται πράγματι, πῶς ἀπέμεινεν ἄχρι τοῦδε ἀδημοσίευτον τὸ πλεῖστον τῶν ἔργων τοῦ ἐξόχου τούτου συγγραφέως, καὶ ποιοῦντες Ὑμεῖς τὴν ἀφετηρίαν τυγχάνετε ἄξιος παντὸς ἐπαίνου ἐπὶ τῇ φιλοπάτριδι Ὑμῶν προθέσει, δικαίως δ' ἀπεκδέχεσθε τὴν βαθεῖαν ἐντύπωσιν, ἥν θέλει ποιήσει εἰς τοὺς ἐπαΐοντας ἡ γνῶσις τῆς καταπληκτικῆς ἀναπτύξεως, εἰς ἥν εἶχε περιέλθει κατὰ τοὺς κλασικοὺς χρόνους ἡ τέχνη τοῦ Ἀσκληπιοῦ, καὶ πρὸς ἥν βραδέως καὶ μετὰ κόπου ἀφίκετο καὶ αὖθις, ἀφοῦ μετὰ τοὺς σκοτεινοὺς αἰῶνας τοῦ μεσαίωνος ἀνέτειλε, χάρις εἰς τὴν ἀναβιώσασαν τοῦ Ἑλληνικοῦ πνεύματος ἐπίδρασιν, ὁ Φοῖβος τοῦ νεωτέρου πολιτισμοῦ.

Τὴν εἰς ἐμὲ πρόφρονα ἀφιέρωσιν τοῦ ἀξιολόγου Ὑμῶν πονήματος ἀποδέχομαι προθύμως, διότι καλῶς ἐννοῶ ὅτι ἀντανακλῶ ἐν τῇ περιπτώσει ταύτῃ εἰς τὰ ὄμματα Ὑμῶν τὸ προσφιλὲς τῆς Πατρίδος ἴνδαλμα. Εὐχόμενος δὲ Ὑμῖν ἐκ μέσης καρδίας ἵνα ἴδητε σὺν καιρῷ ἐνσαρκούμενον τὸ ἀγλαὸν Ὑμῶν ὄναρ διὰ τῆς συνδέσεως τοῦ ὀνόματος Ὑμῶν μετὰ πλήρους τῶν ἔργων τοῦ Ἀετίου ἐκδόσεως,

διατελῶ μετ' εἰλικρινῶν αἰσθημάτων ὅλως ὑμέτερος.

ΚΛΕΩΝ ΡΑΓΚΑΒΗΣ.

ΤΡΟΠΟΣ ΕΚΤΕΛΕΣΕΩΣ ΤΟΥ ΕΡΓΟΥ.

Αὐστηροὶ τηρηταὶ τῶν σοφῶν τοῦ Γαληνοῦ ῥημάτων λέγοντος· „ἐγὼ τὰς παλαιὰς γραφὰς προαιροῦμαι, κἂν ἀπίστευτοι δοκῶσιν εἶναι καὶ μείζονα τὴν ἀπορίαν ἔχοιεν·“[1] *καὶ ἀλλαχοῦ· „πολὺ βέλτιον ἔδοξέ μοι φυλάττοντι τὴν ἀρχαίαν γραφὴν ἀεὶ μὲν σπουδάζειν ἐκείνην ἐξηγεῖσθαι, μὴ δυνηθέντι δέ ποτε τοῦτο πρᾶξαι πιθανὴν τὴν ἐπανόρθωσιν αὐτῆς ποιεῖσθαι*[2]*“ ἀντεγράψαμεν πιστότατα τὰ διάφορα κείμενα, ὧν τὸ σπουδαιότατον καὶ παλαίτατον εὕρομεν ἐν τῇ Παρισινῇ βιβλιοθήκῃ ἐπὶ διφθέρας εἰς τέταρτον μέγα ἄνευ τόνων καὶ πνευμάτων, ὅπερ ὅμως δὲν περιλαμβάνει ἅπαντα τὰ βιβλία, εἰμὴ τινὰ τῶν πρώτων, παραλεῖπον οὕτω τὸν ἀνὰ χεῖρας λόγον· τῶν λοιπῶν τῆς αὐτῆς βιβλιοθήκης κωδίκων δὲν ἠδυνήθημεν δυστυχῶς νὰ ἐπωφεληθῶμεν δεόντως ἕνεκεν τοῦ ἀκαταλλήλου τῆς ἐποχῆς· ὁ τῆς βιβλιοθήκης τοῦ Μονάχου κῶδιξ περιέχων τὰ ὀκτὼ πρῶτα βιβλία καὶ κεκολωβομένος καὶ ἀτελὴς ὢν οὐδόλως ἐβοήθησεν ἡμῖν εἰς τὴν ἐπιτέλεσιν τοῦ ἔργου. Ἐν τῇ βασιλικῇ ὅμως βιβλιοθήκῃ τοῦ Βερολίνου εὕρομεν κώδικας ὧν ὁ εἷς ἐπὶ διφθέρας εἰς μέγα τέταρτον ἀναγόμενος εἰς τὸν ιστ΄. αἰῶνα, τὰ μάλα ὀρθογραφημένος καὶ καθαρὸς, καίτοι πλείστας παρουσιάζει δυσκολίας ὡς ἐκ τοῦ κακοῦ τῶν προτάσεων χωρισμοῦ καὶ τοῦ στριφνοῦ καὶ συντετμημένου τῆς γραφῆς, ἐχρησίμευσεν ἡμῖν ὡς βάσις. οὗτος ἐκ 502*

---

[1] *Γαλ.* XVII, *Α.* 1005, 4. [2] XVII. 794, 8.

σελίδων μῆκος ἔχων 41, 8 ἑκατοστῶν, πλάτος δὲ 28, 3 ἑκ. Codex graec. fol. 37. No. 273 περιλαμβάνει τὸν ιστ. λόγον εἰς $42^1/_2$ φύλλα, ἕκαστον τῶν ὁποίων καλύπτεται ὑπὸ ὀγδοήκοντα στίχων. τὰ κεφάλαια δὲν χωρίζονται διὰ μεσοδιαστημάτων, ὁ τίτλος ὅμως ἑκάστου ὡς καὶ ὁ ἀριθμὸς τῶν κεφαλαίων ἀναγράφονται ἐρυθρῶς. Ἕτερος κῶδιξ τῆς αὐτῆς βιβλιοθήκης ἐπὶ χάρτου γεγραμμένος εἰς ὄγδοον, μήκους 21 ἑκατ. πλάτους δὲ 13. 870 σελίδων καὶ ἀναγόμενος εἰς τὸν ιζ. αἰῶνα περιλαμβάνει τὸν ιστ. λόγον ἐν 69 φύλλοις, κεκαλυμμένοις ὑπὸ 74 ὡς ἔγγιστα στίχων. οὗτος ἀντίγραφον ὢν τοῦ τῆς Βιέννης κώδικος, ὅστις κοινῶς καὶ πάνυ δικαίως θεωρεῖται ὡς ἓν τῶν ἀρίστων καὶ λίαν πολυτίμων χειρογράφων, ἐνέχων τὰς ἀρίστας τῶν γραφῶν μεταξὺ τῶν ἁπανταχοῦ εὑρισκομένων τοιούτων, οὐ σμικρᾶς τυγχάνει ἀξίας· καίτοι δὲ ἀρκούντως καθαρῶς γεγραμμένος τυγχάνει, οὐχ ἧττον ἡ ὀρθογραφία καὶ ἡ στίξις εἶνε πλέον ἢ ἀρκούντως παρημελημέναι· Τρίτος δὲ μικρὸς οὗτος δίκην κωδεικέλλου τοῦ ιστ ἰδίᾳ λόγου, συμπληρῶν τὰ τοῦ προηγουμένου κενὰ καὶ διορθῶν τὰ ἐσφαλμένως κείμενα οὐ σμικρὰν παρέχει βοήθειαν. τούτους ἐκαλέσαμεν κατ' ἀρχαιότητα Α. Β. Γ. Τέταρτος δὲ κῶδιξ ὑπὸ τὸ ὄνομα Phillips Codex φερόμενος δίτομος, οὗ ὁ μὲν πρῶτος 27, 3 × 20, 7. ὁ δ' ἕτερος 27 × 20, 3. ἐπὶ παπύρου καὶ οὗτος καὶ εἰς τὸν ιε ἀναγόμενος αἰῶνα, ὑπ' ἀριθμ. 130 καὶ No. 1534 συμπληροῖ θαυμασίως τὴν συλλογήν.

Οἱ λατινικοὶ κώδικες τῆς αὐτῆς βιβλιοθήκης ὑπῆρξαν ἡμῖν ἁπλῶς βοηθητικοί.

Ἀντιγράψαντες τὰ κείμενα ταῦτα συνεκρίναμεν ἀλλήλοις, τὰς δὲ τούτων παραλλαγὰς περί τε τὴν γραφήν, τὰς λέξεις, τὰ παρεφθαρμένα ἢ παραλειπόμενα μέρη, τὰ ἐσφαλμένως ἔχοντα καὶ διορθώσιμα, τὰς ἡμετέρας διορθώσεις καὶ τροποποιήσεις τῶν κειμένων παρέθημεν ὑπ' αὐτά, σημειοῦντες πιστῶς δι' ἀριθμῶν τοὺς στίχους· κάτωθεν δὲ τούτων τὰς ἡμετέρας σημειώσεις καὶ τὰ σχόλια, τὰ σχετικὰ τῶν συγγραφέων χωρία μετὰ

λεπτομερῶν παραπομπῶν, καὶ τὰς τῶν φαρμάκων ἐπεξηγήσεις, δηλοῦντες διὰ τῶν ἀρχικῶν γραμμάτων τὸ ὄνομα ἑκάστου συγγραφέως.

Τὰ δὲ σταθμὰ καὶ μέτρα ὧν συμβολικὴ μόνον ἐγίνετο μνεία ἐπεξηγήσαμεν· οὕτω λ. χ. ἐσημειοῦντο

ἡ μὲν δραχμὴ <
ὀβολὸς ~
κύαθος ≈
μνᾶ μ̓
τριώβολον ϒ'
πέντε ὀβολοὶ Є
χαλκεὺς ✕
ἥμισυ[1] S″

καὶ λοιπά, ἅπερ συντομίας ἕνεκεν παραλείπομεν. Τέλος αἱ πέντε ἐκτύπων δοκιμίων διορθώσεις, οἱ ἀλφαβητικοὶ πίνακες καὶ πλεῖσται ἄλλαι λεπτομέρειαι, ὧν ἡ ἀπαρίθμησις ἤθελεν ἴσως κουράσει τὸν ἀναγνώστην, αἵτινες ὅμως ἐν συνόλῳ λαμβανόμεναι συνίστησιν ὄγκον μέγαν, κολοσσιαῖον, ἀκατέργαστον, πρὸς καλλιτεχνικὴν σμίλευσιν, πρὸς λεπτεπίλεπτον ἐπεξεργασίαν καὶ διαμόρφωσιν τοῦ ὁποίου οὐ σμικρὸς παρέρχεται πολύτιμος χρόνος, οὐχὶ σμικρὰ καταναλίσκεται πνευματικὴ καὶ σωματικὴ δύναμις καὶ ῥώμη· καὶ ταῦτα πάντα ὑπὸ μιᾶς καὶ μόνης τελεσθέντα χειρός, ὡς ἔφθημεν εἰπόντες, ἄνευ τῆς ἐλαχίστης ξένης ἀρωγῆς καὶ βοηθείας δίδουσι ἀμυδράν τινα εἰκόνα τῶν καταβληθέντων κόπων πρὸς ἐπιτέλεσιν τοῦ ἔργου.

Τελευτῶντες ἐξαιτούμεθα τὴν εὐμένειαν τῶν ἀναγνωστῶν ἡμῶν ὡς πρὸς τὰ παρεισφρύσαντα τυχὸν παροράματα, ἰδίᾳ τὴν ἐπαλλαγὴν τῆς ὀξείας πρὸς τὴν βαρεῖαν τῶν πρώτων τυπογραφικῶν φύλλων, παροράματα ἅπερ οὔτε νὰ προλάβωμεν

---

[1] Τὸ ἥμισυ σημειοῦται διὰ τοῦ ζ' ἐν τῷ κειμένῳ.

οὔτε πάντα νὰ διορθώσωμεν ἠδυνήθημεν ἴσως, παρακολουθοῦντες μακρόθεν τὴν ἐκτύπωσιν καὶ οὐχὶ ἐγγύθεν ἐποπτεύοντες αὐτὴν, κωλυόμενοι ὑπὸ πλείστων ὅσων ἐργασιῶν ἔν τε τῇ κλινικῇ καὶ ἀλλαχοῦ· ἐν τέλει ὑπομιμνήσκομεν αὐτοῖς τὸ τοῦ Γαληνοῦ „ὅτι πολὺ ῥᾷον ἐξευρεῖν τι τῶν παροφθέντων καὶ μέμψασθαι καὶ μεταθῆναι, τοῦ πάντ' ἐξ ἀρχῆς ἀμέμπτως κατασκευάσαι". Γαλ. III. 773.

Ἔγραφον Ἐν Βερολίνῳ μηνὶ Ἀπριλίῳ 1901.

Dr. ΣΚΕΥΟΣ. Γ. ΖΕΡΒΟΣ.

ΒΟΗΘΗΤΙΚΑ.

Ἀπολλώνιος, Ἀριστοφάνης, Στράβων. Ι. Τζέτζου τὰ πρὸ Ὁμήρου. Ὅμηρος, Φιλόστρατος. Ἔκδοσ. Didot. Parisiis.
Ἀέτιος Ἀμιδηνὸς. Ἔκδοσ. Aldus Manut et Asulani. Venetiis 1534.
Ἀθήναιος. Ἔκδοσ. στερεότυπος τόμ. 1—4. Aug. Meineke. Lipsiae 1858.
Ἀλέξανδρος Ἀφροδισεὺς ὁ Κάσσιος. Ἰωάν. Ἀκτουαρίου ἔργα. Ἔκδοσ. B. Iderel. Berolini 1841.
Ἀλέξανδρος Ἀφροδ. Εἰς τὰ Μετὰ τὰ φυσικὰ Ἀριστοτέλους. Ἔκδοσ. Herman. Bonitz. Berolini 1847.
Ἀλέξανδρος Ἀφροδ. Φυσικαὶ καὶ ἠθικαὶ ἀπορίαι καὶ λύσεις. Ἔκδοσ. B. Spengel. Monachii 1842.
Ἀνωνύμου Εἰσαγωγὴ Ἀνατομική. Ἔκδοσ. Trilleri et Bernard. ἐν Λουγδούνῳ τῶν Βατάβων 1744.
Ἀπολλόδωρος. Ἔκδοσ. στερεότυπος. Lipsiae 1832. Rich. Wagner.
Ἀρεταίου τοῦ Καππαδόκου ἅπαντα. Ἔκδοσ. Ermerins 1847.
Ἀριστοτέλους· Περὶ ζῴων γενέσεως. Ἔκδοσ. Aubert et Wimmer. Leipzig 1860.
Ἀριστοτέλους· Περὶ ζῴων μορίων. Ἔκδοσ. A. v. Franzius. Lipsiae 1853.
Ἀριστοτέλους ἅπαντα. Ἔκδοσ. Academ. reg. Borusica Berlin 1831. ὑπὸ Firmin-Didot. Parisiis.
Ἀρκαδίου ἅπαντα. Ἔκδοσ. Edmund Barkerus. Lipsiae 1820.
Βίωνος ἅπαντα. Ἔκδοσ. Godof. Hermannus. Lipsiae 1849.
Γαληνοῦ ἅπαντα. Ἔκδοσ. Kühn. Vol. 1—20. Lipsiae 1821—33.
Διοσκορίδου Λογκομπάρδου ἅπαντα. Ἔκδοσ. Hermanu Stadler.
Διοσκορίδου Πεδανίου ἅπαντα. Ἔκδοσ. Kühn. Vol. 25—26. Lipsiae 1829 bis 1830.
Ἑλλήνων ἀνέκδοτα. Ἔκδοσ. J. Cramer. Oxonii 1835.
Ἐπίχαρμος. Ἔκδοσ. Aug. Lorenz. Berlin 1864.
Ἐρωτιανὸς. Ἔκδοσ. Jos. Klein. Lipsiae 1865.
Εὐστάθιος. Ἔκδοσ. Weigel. Vol. 1—2. Lipsiae 1825—30.
Ἡράκλειτος Μυθολ. Περὶ ἀπίστων. Ἔκδοσ. Teucherus. Lemgoviae 1796.
Ἡρωδιανὸς Αἴλιος. Ἔκδοσ. Aug. Lentz. Vol. 1—2. Lipsiae 1867—70.
Ἡσυχίου Μιλησίου ἅπαντα. Ἔκδοσ. J. Meursius. Lugduni Batavorum 1613.
Θεογνώστου ἅπαντα. Ἔκδοσ. J. Cramer. Oxonii 1835.
Θεόκριτος. Ἔκδοσ. Herm. Fritsche. Leipzig 1869.

Θεοφράστου ἅπαντα. Ἔκδοσ. Herric. Foss. Lipsiae 1858.
Ἰάμβλιχος. Περὶ μυστηρίων. Ἔκδοσ. Gust. Parthey. Berolini 1857.
Ἰάμβλιχος. Περὶ τοῦ Πυθαγορικοῦ βίου λόγος. Ἔκδοσ. Th. Kiessling. Lipsiae 1815—16.
Ἱπποκράτους ἅπαντα. Ἔκδοσ. Littré. Vol. 1—10. Paris 1839—61.
Μοσχόπουλος. Περὶ Σχεδῶν. Lutetiae 1545.
Μόσχου ἅπαντα. Ἔκδοσ. God. Hermannus. Lipsiae 1849.
Νικάνδρου ἅπαντα. Ἔκδοσ. Schneider. Lipsiae 1856.
Νόννου Θεοφ. ἅπαντα. Ἔκδοσ. Steph. Bernard. Vol. 1—2. Gotae 1794—95.
Ὀππιανοῦ. Κυνηγετικὰ καὶ Ἁλιευτικά. Ἔκδοσ. Schneider. Lipsiae 1813.
Ὀρειβασίου ἅπαντα. Ἔκδοσ. Bussemaker et Daremberg. Vol. 1—4. Paris 1851—62.
Ὀρφέως ἅπαντα. Ἔκδοσ. God. Hermannus. Lipsiae 1805.
Παύλου τοῦ Αἰγινήτου ἅπαντα. Ἔκδοσ. Aldus. Venetiis 1858 *καὶ ἔκδοσ.* Briaux. Paris 1855.
Πορφυρίου Μάλχου τοῦ φιλοσόφου. Περὶ ἀποχῆς ἐμψύχων. Ἔκδοσ. Jac. de Rhoer. Trajecti ad Rhenum 1767.
Πορφυρίου. Πυθαγόρου βίος. Ἔκδοσ. Theoph. Kiessling. Lipsiae 1816.
Πρωτοσπαθαρίου Θεοφίλου. Περὶ τῆς ἀνθρωπίνου κατασκευῆς. Ἔκδοσ. Guil. Greenhill. Oxonii. *Βιβ.* I—V. 1842.
Ῥούφου ἅπαντα. Ἔκδοσ. Daremberg. Paris 1879.
Σουΐδα ἅπαντα. Ἔκδοσ. God. Bernhardy. Vol. 1—4. 1853.
Στεφάνου Βυζαντίου. Περὶ πόλεων. Amstelodami 1725.
Τοῦ αὐτοῦ. Ἐθνικά. Ἔκδοσ. Ant. Westermann. Lipsiae 1839.
Στράβωνος ἅπαντα. Ἔκδοσ. Gust Cramer. Berolini 1814—1847.
Τζέτζου I. Βιβλίον Ἱστορικῆς. Kisslingius. Lipsiae 1826.
Τραλλιανὸς Ἀλέξανδρος. Ἔκδοσ. Puschmann. Vol. 1—2. Wien 1878—79.
Τοῦ αὐτοῦ. Περὶ ὀφθαλμῶν. Ἔκδοσ. Puschmann. Berlin 1887.
Φωτίου. Ἀπογραφὴ καὶ συναρίθμησις βιβλίων. Ἔκδοσ. Imm. Bekkeri. Vol. 1—2. Berolini 1825.
Χοιροβοσκός Γ. Ἔκδοσ. Th. Gaisford. Vol. 1—3. Oxonii 1842.
Daremberg, Ch. Études d'archéologie medicale sur Homère. Revue Archéologique 1865. XII, 95, 249, 338.
Daremberg, Ch. De l'état de la médecine entre Homère et Hippocrate. Revue Archéologique 1868. XVIII, 345. XIX. 63, 199, 259.
Gelii Noctes atticae. Londini 1824.

ΠΙΝΑΞ ΤΩΝ ΚΕΦΑΛΑΙΩΝ ΕΞΚΑΙΔΕΚΑΤΟΥ ΛΟΓΟΥ.

[1] Τὸ κεφάλαιον τοῦτο ἕπεται τῷ νε' κεφαλαίῳ.

ΑΕΤΙΟΥ ΛΟΓΟΣ ΕΞΚΑΙΔΕΚΑΤΟΣ.

ΠΕΡΙ ΘΕΣΕΩΣ ΜΗΤΡΑΣ ΚΑΙ ΜΕΓΕΘΟΥΣ ΚΑΙ ΤΗΣ ΛΟΙΠΗΣ ΔΙΑΠΛΑΣΕΩΣ.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Ἡ μήτρα λέγεται καὶ ὑστέρα,[1] μήτρα μὲν ἀπὸ τοῦ μητέρα ταύτην πάντων τῶν ἐν τῷ βίῳ γενομένων ζῴων εἶναι, ὑστέρα δὲ ἀπὸ τοῦ ὑστέραν πάντων κεῖσθαι τῶν σπλάγχνων· κεῖται δὲ ἡ μήτρα ἐντὸς τοῦ περιτοναίου μεταξὺ κύστεώς τε καὶ ἀπευθυσμένου· καὶ τῷ μὲν ἀπευθυσμένῳ ἐντέρῳ ἐπίκειται, κύστεως δὲ κατὰ μὲν τὸ πρὸς τὸν ὀμφαλὸν μέρος ἐν ᾧ ὁ πυθμὴν αὐτῆς ἐστιν, ὑπερέχουσα ἄνω ὡς τὰ πολλά, κατὰ δὲ τὸ πρὸς τὸ αἰδοῖον μέρος ἡ κύστις τῆς μήτρας ὑπερέχει τῷ αὐχένι. τῷ δὲ μεγέθει οὐκ ἴση ἐπὶ πασῶν τῶν γυναικῶν ἐστὶν ἡ μήτρα, ἐπὶ γὰρ τῶν τετοκυιῶν μείζων ἐστίν, ἐπὶ δὲ τῶν ἀτόκων μικρά, καὶ παρὰ τὰς ἡλικίας τὰς μήπω συνουσίας κεχρωμένας ἐλάττων. Ἔστι δὲ μῆκος αὐτῆς ὡς τὸ πολὺ ἐπὶ τῶν τελείων γυναικῶν, ἀπὸ τοῦ κατὰ τὸν πυθμένα μέρους τοῦ κατὰ τὸν ὀμφαλὸν μέχρι τοῦ αἰδοίου δακτύλων

5 *ἅπασ. τὴν σειρ. παραλ. ὁ Β. κῶδ.* 7 *ἐκτὸς ΒΓ.* 8 *ἐπικεῖται ΒΓ.* 9 *ἔνθα ὁ π. ΒΓ.* 10 *ἄνω παραλ. ΒΓ.* 11 *ὑπερέχουσα αὐχένι Α.* 12 *ἐπὶ δὲ τῶν τετ. Α.* 13 *τῆς ἡλικίας Α.* 14 *τοῖς μήπω Γ.* 14 *ἔστι δὲ τὸ. Γ.* 15 *ἀπὸ τῶν . . . μερῶν τῶν Γ.* 16 *πρὸς τὸν ὀμφ. Γ.*

[1] *Μήτρα, ὑστέρα καὶ δελφὺς παρὰ τοῖς ἀρχαίοις φέρεται· καὶ Ἀρχίλοχος μὲν τὸ αἰδοῖον ὠνόμασεν ἀηδόνα, τὰ δὲ χείλη αὐτοῦ ὁ Ἐρωτιανὸς κρημνούς. Ἀρεταῖος δὲ ὁ Καπ. φησί· ἐντῇσι λαγόσι τῶν γυναικῶν μέσῃσι ἐγκέεται ἡ μήτρα, σπλάγχνον γυναικήϊον, ἄγχιστα ζῳῶδες, κινέεται γὰρ ἐξ ἑωυτέης ἔνθα καὶ ἔνθα ἐπὶ τὰς λαγόνας . . . καὶ τὸ ξύμπαν ἐν τῇ ἀνθρώπῳ ἐστὶν ἡ ὑστέρη, ὁκοῖόν τι ζῷον ἐν ζῴῳ. βιβλ. β΄. Σελ. 53.*

ἕνδεκα· κατὰ δὲ τὸ πλάτος, ἐφ' ἑκάτερον τῶν λαγόνων ἐπεκτείνεται ταῖς κεραίαις. τὸ δὲ σχῆμα[1] αὐτῆς τὸ μὲν ἄλλο πᾶν κῦτος καὶ μάλιστα ὁ πυθμὴν κύστει ἔοικεν. Ἔχει δὲ ἐκ τῶν πλαγίων μερῶν ἀμφοτέρων τοῦ πυθμένος ἄνωθεν ἀποφύσεις τινὰς κερατοειδεῖς, ἃς κεραίας καλοῦσι· πρῶτον μὲν ἄνω ἀνατεινομένας, ἔπειτα δὲ κάτω νευούσας καὶ κατὰ βραχὺ στενουμένας, ὡς ἐοικένα τὸ στενωθὲν καὶ κάτω νεῦον αὐτῶν τῶν κεραιῶν μέρος φλεψί. Τοῦτο δὲ τὸ στενούμενον τῶν κεραιῶν μέρος ἑλικοειδὲς γιγνόμενον φέρεται ἄνωθεν κάτω, καὶ ἐμφύεται τοῖς ὄρχεσιν[2] ἔξωθεν τῆς μήτρας, ἑκατέρωθεν αὐτῆς ἐκ τῶν πλαγίων τεταγμένοις ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων. διὰ δὲ τῶν ἑλικοειδῶν κεραιῶν ἡ μήτρα ἐν ταῖς συνουσίαις τὸ σπέρμα ἐκ τῶν ὄρχεων εἰς αὐτὴν ἕλκει. εἰσὶ δὲ οἱ τῆς γυναικὸς ὄρχεις σμικρότατοι καὶ οὐχ ὁμοίως ψαθαροί, ὥσπερ οἱ τῶν ἀνδρῶν, ἀλλ' οἷον δερματώδεις καὶ ὥσπερ πεπλατυσμένοι. Προσήρηται δὲ ἡ μήτρα κατά τινας ἰνώδεις ἀποφύσεις τῇ τε κύστει καὶ τῷ ἀπευθυσμένῳ, μάλιστα δὲ τῷ ἱερῷ ὀστῷ κατὰ πολλὰ μέρη ἐξήρτηται διά τινων εὐτόνων δεσμῶν νευρωδῶν καὶ μυωδῶν. Ἀρτήματα δὲ αὐτῆς ἐστι καὶ τὰ ἐκ τοῦ νωτιαίου μυελοῦ εἰς αὐτὴν ἐμφυόμενα νεῦρα καὶ διαπλέκοντα αὐτῆς ὅλον τὸ σῶμα, ἐξήρτηται δὲ καὶ ἐκ τῶν εἰς αὐτὴν ἐμφυομένων ἀγγείων, φλεβῶν λέγω καὶ ἀρτηριῶν. ἀπὸ γὰρ τῆς κοίλης φλεβὸς τῆς διὰ τῆς ῥάχεως ἀπὸ τῶν κυρτῶν τοῦ ἥπατος καταφερομένης,

1 ἐφ' ἑκάτερα τῶν λογ. Γ. 2 κῆτος Γ. 4 ἐπιφύσεις Γ. 6 κατὰ βραχὺ [ἄνευ καὶ] Α. 7 νεύρῳ Β. αὐτῶν δὲ Β. 10 τεταμένης Β. 11 κεραίων Β. 12 αὐτὴν Α. 13 καθαροὶ Γ. 15 κατὰ τινὰς ΒΓ. 16 τῇ δὲ ΒΓ. 17 διὰ τινῶν ΒΓ. παραλ. εὐτόνων Α. 19 διαπλέκον Β. 19 αὐτῆς ΒΓ. 22 ἄνευ τῆς Α. κιρσῶν Β. κάτωφερομ . . . Γ.

[1] Καὶ Ῥοῦφος μὲν ὁ Ἐφέσ. σικύᾳ ἰατρικῇ παραπλησίαν τὴν μήτρα φησί. Ἡρόφιλος δὲ ἡμιτόμου κύκλου ἕλικι εἰκάζει, Διοκλῆς δὲ κέρασι φυομένοις τὰς κεραίας. Εὔδημος δὲ πλεκτάνας καλεῖ· Πραξαγόρας δὲ καὶ Φιλότιμος κόλπους.

[2] Ὄρχεις ἢ ὠοθῆκαι ἢ δίδυμοι τοῦ θήλεος λέγονται· Πρωτοσπαθάρ. δὲ φησί· πλησίον δὲ τῶν κεραιῶν ἀμφοτέρων κεῖνται τῆς θηλείας οἱ ὄρχεις, ὡς πρὸς ἑκάτερον λαγόνα βάλλοντες τὸ σπέρμα, ἑκάτερος εἰς ἑκατέραν τῶν κεραιῶν· Οὐχ ὅμοιοι δὲ . . . ὡς ἐπὶ τῶν ἀρρένων, οὐδὲ μείζους ὁμοίως, ἀλλὰ μικρότεροι καὶ σκληρότεροι καὶ πλαδαρώτεροι, ὡς φακοειδεῖς εἶναι τῷ σχήματι. Περὶ τῆς ἀνθρ. κατασκ. Σελ. 210.

καὶ τῆς μεγάλης ἀρτηρίας τῆς ἐκ τῆς καρδίας σὺν τῇ κοίλῃ φλεβὶ καταφερομένης ἐκφύεται ἀγγεῖα καὶ φέρεται ὡς ἐπὶ τὴν μήτραν δύο ἑκατέρωθεν, μία φλὲψ καὶ ἀρτηρία. Ταῦτα δὲ τὰ τέσσαρα ἀγγεῖα ἐκφύεται μὲν ἄνω κατὰ τὸν πυθμένα τῆς μήτρας, καὶ διασχιζόμενα διαπλέκει ὅλην αὐτὴν ἔξωθεν καὶ ἔνδοθεν, μάλιστα δὲ ἔνδοθεν. διὰ δὲ τῶν ἀγγείων τούτων τοῦτο τὸ καταμήνιον αἷμα[1] φέρεται εἰς τὴν μήτραν. καὶ μὴν καὶ ἕτεραι φλέβες καὶ ἀρτηρίαι ἑκατέρωθεν τῆς μήτρας ἐμφύονται· αἱ μὲν εἰς τοὺς ὄρχεις, αἱ δὲ περὶ τὸν πυθμένα αὐτῆς καὶ τὸ αἰδοῖον. Αὐτὸ δὲ τὸ σῶμα τῆς μήτρας δύο χιτῶνες εἰσίν· ὁ μὲν ἔξωθεν νευρωδέστερος, ὅστις καὶ ἀποδέρεται, ὁ δὲ ἔνδοθεν φλεβωδέστερος· καὶ ὁ μὲν ἔξωθεν ἐστὶν ἁπλοῦς, ὁ δὲ ἔνδοθεν διπλοῦς. ὡς εἰ ἐθελήσεις ἀποδεῖραι τὸν ἄνωθεν χιτῶνα, δύο σοι φανοῦνται μῆτραι ἑνὶ αὐχένι συνεζευγμέναι. Ὁ δὲ αὐχὴν τῆς μήτρας μυώδης ἐστὶ γενόμενος ἐκ σαρκὸς σκληρᾶς καὶ χονδρώδους, καὶ ἀεὶ σκληρότερος ἑαυτοῦ γίνεται τῷ χρόνῳ, ὥστε ὅσαι πολλὰ ἐκύησαν ἢ πρεσβύτιδες εἰσίν, ἱκανῶς ταύταις ὁ αὐχὴν τῆς μήτρας σκληρότερός τε καὶ χονδρωδέστερος ἐστίν, ὡς ἐοικέναι τῷ βρόγχῳ. Τρῆμα δὲ ἔχει ὁ αὐχὴν τῆς μήτρας, δι᾽ οὗ κενοῦται μὲν τὸ καταμήνιον, ἀναλαμβάνει δὲ πρὸς ἑαυτὴν ἡ μήτρα ἐν ταῖς συνουσίαις τοῦ ἄρρενος τὴν γονήν· διὰ τούτου τοῦ τρήματος καὶ τὸ ἔμβρυον ἔξεισιν. ἄπιστον γὰρ ὡς ὅσον ὁ πόρος οὗτος διαφέρει τῷ πλάτει· στενὸς γάρ ἐστιν ἐν παντὶ μὲν τῷ χρόνῳ, ὡς πυρῆνα μήλης[2] μόλις ὑποδέχεσθαι, κυούσης δὲ τῆς γυναικὸς σφόδρα ἀκριβῶς μέμυκεν ὁ πόρος οὗτος, ὡς μηδὲ παντάπασί τι παραδέχεσθαι· ἀπολυομένου δὲ τοῦ ἐμβρύου τῆς μήτρας διΐσταται ὁ πόρος οὗτος, ἔστι δὲ

2 ἀγγεῖα *B*. 3 ἢ ἑκατέρωθεν *Γ*. δύο ἀγγεῖα *A*. 5 ἄνευ, „μάλιστα δὲ ἔνδοθεν“ *Γ*. 6 κατάμηνον *Γ*. 16 πολλαὶ ἐκύησαν *ΒΓ*. 17 ἱκανὸς *B*. 17 ταύτης *B*. καὶ σκληρ . . . καὶ χονδρ. *Γ*. 22 ὅσον ὡς ὁ πόρος *Γ*. 22 ἄνευ, „διαφέρει τῷ πλάτει“ *A*. 24 ἐπιμέμυκεν *Γ*. 25 τούτου πόνου διατεινόμενος *Γ*.

[1] *Καταμήνιον καὶ κατάμηνον, καὶ ἐπιμήνιον καὶ ἐπίμηνον, ἔμμηνόν τε καὶ ἐμμήνιον, γυναικεῖα, καὶ ὡραῖα φέρεται παρὰ τοῖς ἀρχαίοις. Ζερβός.*

[2] *Κατὰ τὸν Γαληνόν· Ἡρόφιλός γε μὴν, ὡς οὐδὲ πυρῆνα μήλης οὐκ ἂν δέχοιτο τὸ στόμα τῆς ὑστέρας, πρὶν ἀποκύειν τὴν γυναῖκα, καὶ ὡς οὐδὲ τοὐλάχιστον ἔτι διέστηκε, πρὶν ὑπάρξηται κύειν. Περὶ δυν. φυσικ.* II—IV. *Σελ.* 150—247.

[illegible]

το χο[illegible]

1 [illegible]
φερώτερον [illegible] ΒΓ.
18 στόμα Γ. [illegible] τῆς [illegible]
22 [illegible] ΒΓ.

[1] Θ. Πο[illegible] τῆς [illegible]
ἐστὶ τοῦ σπέρματ[illegible] . . . [illegible]
τοῦτον μέμιχε[illegible] ἔσω καὶ τὰ ἔξω.
[illegible] 207.

τεροι δύο ὑμένες ὅ τε Ἀλαντοειδὴς καλούμενος, διπλοῦς ἐπικείμενος τοῖς κυρτοῖς μέρεσι τοῦ ἐμβρύου, καὶ μετ' αὐτὸν ὁ Ἀμνειὸς τροσαγορευόμενος, λεπτὸς πάντοθεν περιβεβλημένος τῷ ἐμβρύῳ.

ΠΕΡΙ ΓΕΝΕΣΕΩΣ ΤΟΥ ΧΟΡΙΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ἡ δὲ γένεσις τοῦ Χορίου γίνεται τὸν τρόπον τοῦτον· τὰ τόματα τῶν φλεβῶν καὶ τῶν ἀρτηριῶν τῶν εἰς τὸ ἐντὸς τῆς ιήτρας ποικίλως διασχιζομένων, κατὰ τὸ πέρας ἑαυτῶν ἕκαστον ιονδυλώδη ἐξοχὴν ἔχει ἐοικυῖαν ταῖς ἐν τῇ ἕδρᾳ γινομέναις αἱ- ιορροΐσι· ταύτας τὰς κονδυλώδεις ἐξοχὰς κοτυληδόνας καλοῦσι ·ινές· μικρότεραι δὲ εἰσὶν αὗται ἐπὶ τῶν γυναικῶν τῶν εὑρισκο- ιένων, ἐπί τε αἰγῶν καὶ βοῶν καὶ ἐλάφων, καὶ τῶν παραπλησίων ῴων. σώματα δὲ ἐστὶ ταῦτα τὰ ἐπὶ τῶν ἀλόγων ζῴων φαινόμενα ιλαδαρὰ ὑπόμυξα, τῷ σχήματι ἐοικότα τοῖς φύλλοις τῆς κοτυλη- ϊόνος πόας, ὑπόκοιλα δὲ. Ταῦτα οὖν τὰ στόματα τῶν εἰς τὴν ἐντὸς ὐρυχωρίαν τῆς μήτρας διασπειρομένων ἀγγείων ἀνέῳκται ἅπαντα, ιπόταν ἡ γυνὴ συλλήψεσθαι μέλλῃ. Ἔστι δὲ οὗτος ὁ τῆς συλλή- ψεως χρόνος, ἢ ἀρχομένων τῶν καταμηνίων ἢ παυομένων. ἀνε- τόμωται μὲν γὰρ καὶ ἐν τῷ ἄλλῳ παντὶ χρόνῳ τῆς καθάρσεως ὰ ἀγγεῖα ταῦτα, ἀλλ' οὐκ ἂν λάβῃ πρὸς ἑαυτὴν ἡ γυνή· τηνι- αῦτα γὰρ οὐ μένει τὸ τοῦ ἀνδρὸς σπέρμα ἐν τῇ μήτρᾳ τούτῳ ῷ καιρῷ, ἐκκλυζόμενον τῷ πλήθει τοῦ ἐπιρρέοντος αἵματος. ρχομένων δὲ τῶν καταμηνίων καὶ μάλιστα παυομένων ἀνεστό- ωται μὲν τὰ ἀγγεῖα, τὸ δὲ καταμήνιον αἷμα οὔτε πολὺ οὔτε ϑρόον ἐκχεῖται, ἀλλ' ὀλίγον τε καὶ κατὰ βραχύ· ὥστε προσ- ›ύεται μὲν διὰ τὴν τραχύτητα τῆς μήτρας[1] τὸ σπέρμα, αὐτάρκη

Πότε συλλαμβά- νει ἡ γυνὴ

1 *ἄνευ, διπλοῦς Β.* 2 *τῷ ἐμβρύῳ Γ.* 6 *ἄνευ, δὲ Β.* 7 *ἀρτηριῶν ὐτῶν Γ.* 11 *ἄνευ, τινὲς Γ.* *αὗται Β.* *ῥισκομένων Γ.* 13 *ἀλόγων ῴων Α.* 16 *ἄνευ, ἅπαντα Α.* 17 *ὅταν Β.* *συλλη συλλήψεως χρ. . . Β.* 9 *ἄνευ, μὲν Α.* 20 *λάβηται Γ.* 21 *οὐ δυνατὸν Γ.* *γὰρ μένει Α.* 3 *ἄνευ, καὶ μάλιστα Α.* 25 *ἐγχεῖται Γ.* 26 *προσφύεσθαι Α.*

[1] *Καὶ ὁ Πρωτοσπαθάριος φησί· ὅταν . . . ἡ τοῦ σπέρματος ὑγρότης ἀκον- ζομένη τοῖς τῶν ὑστερῶν ἐμπέσῃ χιτῶσι τραχέσιν οὖσι, συναναμίγνυται τῷ ῆς θηλείας σπέρματι, γρίσχρῳ καὶ αὐτῷ ὄντι . . . καὶ τραχέσιν ὁμιλήσασα σώ- κσι, δίκην ἀλοιφῆς ἑτοίμως κολλᾶται. Σ. 210.*

δὲ ἔχει τροφὴν τὴν ὀλιγότητα τοῦ φερομένου αἵματος. Πρὸ δὲ τοῦ καιροῦ τῶν καταμηνίων οὐκ ἂν συλλάβῃ ἡ γυνὴ, ὅ τι καὶ τοῦ τρέφοντος ἐστέρηται τὸ σπέρμα, καὶ τοῦ προσφύεσθαι οὐκ ἔχει. λεία γὰρ ἡ μήτρα τηνικαῦτα ἐστὶν ἐπιμεμυκότων τῶν ἀγγείων, ὥστε διὰ τοῦτο ἀπορρεῖ τὸ σπέρμα[2], ὥσπερ τὰ χρίσματα ἀπὸ τῶν λειοτάτων τοίχων· καὶ γὰρ καὶ τοὺς τοίχους οἱ ἐπιχρίειν βουλόμενοι τραχύνουσι πρότερον, καὶ οὕτως κατέχεται τὰ χριόμενα· καταβληθὲν μὲν οὖν τὸ τοῦ ἀνδρὸς σπέρμα καὶ κατασχεθὲν ἐν τῇ μήτρᾳ προσφύεται ταῖς κοτυληδόσιν, εἴτε κατὰ τὸν δεξιὸν αὐτῆς κόλπον, εἴτε κατὰ τὸν εὐώνυμον· συνάγει δὲ ἑαυτὴν ἡ μήτρα καὶ περιπτύσσεται τὸ σπέρμα πάντοθεν.[3] Ἀρχὴ τοίνυν τῆς τοῦ χορίου γενέσεως ταῦτα τὰ πέρατα γίνεται τῶν εἰς αὐτὴν διασπειρομένων ἀγγείων· ἐξ ἑκάστου γὰρ στόματος ἀγγεῖον ἐκφύεται· ἀρτηρία μὲν ἀπὸ τοῦ τῆς ἀρτηρίας στόματος, φλὲψ δὲ ἀπὸ τοῦ τῆς φλεβός. Συνδεῖ δὲ ταῦτα τὰ ἀγγεῖα πρὸς ἄλληλα λεπτὸς μὲν ἰσχυρὸς δὲ ὑμὴν περιφυόμενος ἔξωθεν ἅπασι, καὶ οὕτω συνίστησι τὸ χορίον. συνερχόμενα δὲ πάλιν ἀλλήλοις τὰ ἐν τῷ χορίῳ διεσπαρμένα ἀγγεῖα, ἀποτελεῖ δύο φλέβας καὶ δύο ἀρτηρίας· αὗται δὲ ἐμφύονται κατὰ τὸ μέσον τοῦ ἐμβρύου παραλαμβάνουσαι πάντοθεν τὴν ἔκκρισιν τὴν τοῦ ἐμβρύου ἐπὶ τὸν ἀλαντοειδῆ ὑμένα ἐπιφερομένην, δι' ἧς ἐκκρίνεται τὸ οὖρον τοῦ ἐμβρύου καὶ ἀθροίζεται ἐν τῷ ὑμένι· ὥστε τὸν συγκείμενον ἐκ τῶν τεσσάρων τούτων ἐχόντων μεταξὺ σφῶν αὐτῶν τὸν καλούμενον

Παρά-δειγμα.

1 φθειρομένου AB. 4 λεῖα B. 6 λειοτάτων τόπων Γ. 8 χρίσματα BΓ. 9 κατακλυθὲν B. 10 αὐτὴν B. 12 σπέρματα B. 13 ἑκάστου γὰρ στομίου οἷον Γ. 14 ἀπὸ τῷ τῆς ἀρτηρίας στόματι Γ. 15 ἀπὸ τὸ τέλος Γ. 17 χώριον B. 18 τὰ ἐν χορίῳ B. 20 ἔκφυσιν Γ. 23 ἄνευ, „ἐχόντων μεταξὺ αὐτῶν τὸν καλούμενον οὐραχόν μέχρι —

[1] Ἐν δὲ τῷ περὶ φύσιος Γυναικ. Ἱπποκρ. φησί· ἢν ἀναχάνῃ τὸ στόμα τῶν μητρέων μᾶλλον ἢ ὡς πέφυκε, τὰ ἐπιμήνια γίνεται πλείω . . . καὶ ἡ γονὴ οὐχ ἅπτεται αὐτῆς οὐδ' ἐμμένει, ἀλλὰ πάλιν ἐκχεῖται ἔξω· καὶ σμικρὸν κατωτέρω ὁ αὐτός· ἢ λειανθῶσιν αἱ μῆτραι, τά τε ἐπιμήνια πλέω γίνεται καὶ κακίω καὶ ὑγρότερα . . . καὶ ἡγονὴ οὐκ ἐμμένει· Περ. Γυν. Φύσ. VII. Σελ. 390.

[2] Πρωτοσπαθ. δὲ φησί· ἕλξασα γὰρ ἡ μήτρα τὸ τοῦ ἄρρενος σπέρμα ἐναγκαλίζεται ὡς οἰκεῖον καὶ φίλον, περισφίγξασα ἑαυτὴν πάντοθεν, καὶ μεμυκυῖα τῷ στόματι ὡς μηδὲ πυρῆνα μήλης διελθεῖν δι' αὐτῆς δύνασθαι· κατασχεθὲν οὖν τὸ τοῦ ἄρρενος σπέρμα, συναναμίγνυται καὶ συναλλοιοῦται τῷ σπέρματι τῆς θηλείας· ἀναζυμοῦνται οὖν ἀμφότερα καὶ γίνεται οὐσία μία.

οὐραχὸν γίνεσθαι τὸν λεγόμενον ὀμφαλόν. Ὁ δὲ οὐραχός ἐστιν ἡ ἀρχὴ τοῦ ἀλαντοειδοῦς ὑμένος διατετρημένος πρὸς τὸν τῆς κύστεως πυθμένα τοῦ ἐμβρύου, δι' οὗ τὸ οὖρον τοῦ ἐμβρύου μετάγεται καὶ εἰς τὸν ἀλαντοειδέα συναθροίζεται. μετὰ δὲ ταῦτα αἱ μὲν δύο φλέβες ἑνωθεῖσαι μίαν ποιοῦσι, καὶ αὐτὴ φερομένη διὰ τοῦ ὀμφαλοῦ ἐμφύεται τοῖς σιμοῖς τοῦ ἥπατος τοῦ ἐμβρύου, τῇ κοίλῃ λεγομένῃ φλεβί, καὶ διὰ ταύτης ἐκ τῆς μήτρας τὸ αἷμα εἰς τροφὴν τοῦ ἐμβρύου χορηγεῖται· δεχόμενον γὰρ τὸ τοῦ ἐμβρύου ἧπαρ τὸ φερόμενον αἷμα, ἀναδίδωσιν εἰς ὅλον αὐτοῦ τὸ σῶμα. Αἱ δὲ προειρημέναι δύο ἀρτηρίαι αἱ κατὰ τὸν ὀμφαλὸν πάλιν μίαν ἀποτελοῦσιν ἀρτηρίαν, καὶ αὐτὴ φερομένη διὰ τῶν πλαγίων μερῶν τῆς κύστεως τοῦ ἐμβρύου ἐμφύεται τῇ μεγάλῃ ἀρτηρίᾳ τῇ κειμένῃ κατὰ τὴν ῥάχιν αὐτοῦ, καὶ διὰ ταύτης τὸ ζωτικὸν αἷμα ἐκ τῶν ἐν μήτρᾳ ἀρτηριῶν εἰς τὸ ἔμβρυον μεταδίδοται. Κατὰ δὲ τὸν καιρὸν τῆς ἀποτέξεως ὅταν τελειωθῇ τὸ ἔμβρυον, καὶ μέγα γενόμενον προτείνῃ πανταχοῦ τὴν μήτραν, καὶ δηλονότι καὶ τὸ χορίον τε τηνικαῦτα στενοχωρούμενον ἀλλὰ μηδὲ τῇ ἐκ τῆς μήτρας αὐτῷ χορηγουμένῃ τροφῇ ἀρκούμενον, σκιρτᾷ καὶ ἀποῤῥήγνυσι τοὺς περικειμένους ὑμένας, καὶ οὕτως ἀῤῥήτῳ λόγῳ ἀνοίγουσα ἑαυτῆς τὸ στόμα ἡ μήτρα ἐκκρίνει τὸ ἔμβρυον.[1] *ταῦτα μὲν οὖν ἐστι καθ' ὅσον οἷόν τε διὰ βραχέων σαφηνίσαι βουλόμενοι, ἃ εἰρήκαμεν. Εἰ δέ τις βούλοιτο ἅπαντα τὰ προειρημένα ἀκριβέστατα θεάσασθαι, ἀναταμέτω αἶγα ἐγκύμονα μάλιστα ἢ βοῦν ἢ ἔλαφον ἢ δορκάδα, διαλύων πρότερον τὰ τῆς ἥβης ὀστᾶ, ἔπειτα ἀνασχίζων εὐφυῶς τὸ δέρμα· φανεῖται γάρ σοι ταῦτα ποιήσαντι σαφῶς ἡ πρὸς τὰ περικείμενα μόρια τῆς μήτρας κοινωνία.*

— 4 *καὶ εἰς τὸν ἀλ. συναθροίζεται παραλ. Α.* 5 *ἑνωθεῖσαι μὲν Α.* 7 *τῇ ποικίλῃ Α.* 10 *ἄνευ, αἱ Γ.* 13 *διὰ τούτων Β.* 17 *στενούμενον Γ.* 19 *ἀνοιγνῦσα Α.* 22 *ἄνευ, ἃ Γ.* 25 *ἐμφυῶς Γ.* 26 *ἡμ. διόρθωσις· καὶ ὁ Α μὲν ποιήσασα, Β δὲ καὶ Γ καὶ τὰ βοηθ. ποιήσας ὡς καὶ ὁ λατ. κῶδ. ἡμεῖς διωρθώσαμεν ποιήσαντι ἐξομοιώσαντες τῇ δοτικῇ σοί. Ζερβός.*

[1] *Πρωτ. φησί· τὸ μὲν ἔμβρυον νηχόμενον ἐν τῷ περιεχομένῳ ὑγρῷ ὑπὸ τῆς μήτρας, τῷ συναχθέντι ἀπὸ τοῦ ἱδρῶτος τοῦ ἐμβρύου, . . . βασιζόμενον δὲ ἀπὸ τοῦ ὀμφαλοῦ διὰ τῶν ἀγγείων τῶν προσαγόντων τό τε αἷμα καὶ τὸ πνεῦμα. . . . Ὅταν δὲ τῇ γυναικὶ ὁ χρόνος τοῦ τόκου παραγίνεται, συμβαίνει τῷ παιδίῳ κινουμένῳ καὶ σκαρίζοντι ποσὶ καὶ χερσί ῥῆξαί τινα τῶν ὑμένων· ῥαγέντος δὲ ἤδη ἑνός, οἱ ἄλλοι ἀσθενεστέραν δύναμιν ἔχουσι καὶ ῥήγνυνται πρῶτον οἱ ἐκείνου ἐχόμενοι, ἔπειται δὲ ὁ ὕστατος. Ανδ. κ. Σελ. 248.*

ΑΕΤΙΟΥ ΛΟΓΟΣ ΕΞΚΑΙΔΕΚΑΤΟΣ.

ΠΕΡΙ ΘΕΣΕΩΣ ΜΗΤΡΑΣ ΚΑΙ ΜΕΓΕΘΟΥΣ ΚΑΙ ΤΗΣ ΛΟΙΠΗΣ ΔΙΑΠΛΑΣΕΩΣ.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Ἡ μήτρα λέγεται καὶ ὑστέρα,[1] *μήτρα μὲν ἀπὸ τοῦ μητέρα ταύτην πάντων τῶν ἐν τῷ βίῳ γενομένων ζῴων εἶναι, ὑστέρα δὲ ἀπὸ τοῦ ὑστέραν πάντων κεῖσθαι τῶν σπλάγχνων· κεῖται δὲ ἡ μήτρα ἐντὸς τοῦ περιτοναίου μεταξὺ κύστεώς τε καὶ ἀπευθυσμένου· καὶ τῷ μὲν ἀπευθυσμένῳ ἐντέρῳ ἐπίκειται, κύστεως δὲ κατὰ μὲν τὸ πρὸς τὸν ὀμφαλὸν μέρος ἐν ᾧ ὁ πυθμὴν αὐτῆς ἐστιν, ὑπερέχουσα ἄνω ὡς τὰ πολλά, κατὰ δὲ τὸ πρὸς τὸ αἰδοῖον μέρος ἡ κύστις τῆς μήτρας ὑπερέχει τῷ αὐχένι. τῷ δὲ μεγέθει οὐκ ἴση ἐπὶ πασῶν τῶν γυναικῶν ἐστὶν ἡ μήτρα, ἐπὶ γὰρ τῶν τετοκυιῶν μείζων ἐστίν, ἐπὶ δὲ τῶν ἀτόκων μικρά, καὶ παρὰ τὰς ἡλικίας τὰς μήπω συνουσίας κεχρωμένας ἐλάττων. Ἔστι δὲ μῆκος αὐτῆς ὡς τὸ πολὺ ἐπὶ τῶν τελείων γυναικῶν, ἀπὸ τοῦ κατὰ τὸν πυθμένα μέρους τοῦ κατὰ τὸν ὀμφαλὸν μέχρι τοῦ αἰδοίου δακτύλων*

---

5 *ἅπασ. τὴν σειρ. παραλ. ὁ Β. κῶδ.* 7 *ἐκτὸς ΒΓ.* 8 *ἐπικεῖται ΒΓ.* 9 *ἔνθα ὁ π. ΒΓ.* 10 *ἄνω παραλ. ΒΓ.* 11 *ὑπερέχουσα αὐχένι Α.* 12 *ἐπὶ δὲ τῶν τετ. Α.* 13 *τῆς ἡλικίας Α.* 14 *τοῖς μήπω Γ.* 14 *ἔστι δὲ τὸ. Γ.* 15 *ἀπὸ τῶν . . . μερῶν τῶν Γ.* 16 *πρὸς τὸν ὀμφ. Γ.*

---

[1] *Μήτρα, ὑστέρα καὶ δελφὺς παρὰ τοῖς ἀρχαίοις φέρεται· καὶ Ἀρχίλοχος μὲν τὸ αἰδοῖον ὠνόμασεν ἀηδόνα, τὰ δὲ χείλη αὐτοῦ ὁ Ἐρωτιανὸς κρημνούς. Ἀρεταῖος δὲ ὁ Καπ. φησί· ἐντῇσι λαγόσι τῶν γυναικῶν μέσῃσι ἐγκέεται ἡ μήτρα, σπλάγχνον γυναικήϊον, ἄγχιστα ζῶωδες, κινέεται γὰρ ἐξ ἑωυτέης ἔνθα καὶ ἔνθα ἐπὶ τὰς λαγόνας . . . καὶ τὸ ξύμπαν ἐν τῇ ἀνθρώπῳ ἐστὶν ἡ ὑστέρη, ὁκοῖόν τι ζῷον ἐν ζῴῳ. βιβλ. β΄. Σελ.* 53.

ἕνδεκα· κατὰ δὲ τὸ πλάτος, ἐφ' ἑκάτερον τῶν λαγόνων ἐπεκτείνεται ταῖς κεραίαις. τὸ δὲ σχῆμα[1] *αὐτῆς τὸ μὲν ἄλλο πᾶν κύτος καὶ μάλιστα ὁ πυθμὴν κύστει ἔοικεν. Ἔχει δὲ ἐκ τῶν πλαγίων μερῶν ἀμφοτέρων τοῦ πυθμένος ἄνωθεν ἀποφύσεις τινὰς κερατοειδεῖς, ἅς κεραίας καλοῦσι· πρῶτον μὲν ἄνω ἀνατεινομένας, ἔπειτα δὲ κάτω νευούσας καὶ κατὰ βραχὺ στενουμένας, ὡς ἐοικένα τὸ στενωθὲν καὶ κάτω νεῦον αὐτῶν τῶν κεραιῶν μέρος φλεψί. Τοῦτο δὲ τὸ στενούμενον τῶν κεραιῶν μέρος ἑλικοειδὲς γιγνόμενον φέρεται ἄνωθεν κάτω, καὶ ἐμφύεται τοῖς ὄρχεσιν*[2] *ἔξωθεν τῆς μήτρας, ἑκατέρωθεν αὐτῆς ἐκ τῶν πλαγίων τεταγμένοις ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων. διὰ δὲ τῶν ἑλικοειδῶν κεραιῶν ἡ μήτρα ἐν ταῖς συνουσίαις τὸ σπέρμα ἐκ τῶν ὄρχεων εἰς αὐτὴν ἕλκει. εἰσὶ δὲ οἱ τῆς γυναικὸς ὄρχεις σμικρότατοι καὶ οὐχ ὁμοίως ψαθαροί, ὥσπερ οἱ τῶν ἀνδρῶν, ἀλλ' οἷον δερματώδεις καὶ ὥσπερ πεπλατυσμένοι. Προσήρηται δὲ ἡ μήτρα κατά τινας ἰνώδεις ἀποφύσεις τῇ τε κύστει καὶ τῷ ἀπευθυσμένῳ, μάλιστα δὲ τῷ ἱερῷ ὀστῷ κατὰ πολλὰ μέρη ἐξήρτηται διά τινων εὐτόνων δεσμῶν νευρωδῶν καὶ μυωδῶν. Ἀρτήματα δὲ αὐτῆς ἐστὶ καὶ τὰ ἐκ τοῦ νωτιαίου μυελοῦ εἰς αὐτὴν ἐμφυόμενα νεῦρα καὶ διαπλέκοντα αὐτῆς ὅλον τὸ σῶμα, ἐξήρτηται δὲ καὶ ἐκ τῶν εἰς αὐτὴν ἐμφυομένων ἀγγείων, φλεβῶν λέγω καὶ ἀρτηριῶν. ἀπὸ γὰρ τῆς κοίλης φλεβὸς τῆς διὰ τῆς ῥάχεως ἀπὸ τῶν κυρτῶν τοῦ ἥπατος καταφερομένης,*

---

1 *ἐφ' ἑκάτερα τῶν λογ.* Γ. 2 *κῆτος* Γ. 4 *ἐπιφύσεις* Γ. 6 *κατὰ βραχὺ* [*ἄνευ καὶ*] A. 7 *νεύρῳ* B. *αὐτῶν δὲ* B. 10 *τεταμένης* B. 11 *κεραίων* B. 12 *αὐτὴν* A. 13 *καθαροὶ* Γ. 15 *κατὰ τινὰς* ΒΓ. 16 *τῇ δὲ* ΒΓ. 17 *διὰ τινῶν* ΒΓ. *παραλ. εὐτόνων* A. 19 *διαπλέκον* B. 19 *αὐτῆς* ΒΓ. 22 *ἄνευ τῆς* A. *κιρσῶν* B. *κάτωφερομ . . .* Γ.

---

[1] *Καὶ Ῥοῦφος μὲν ὁ Ἐφέσ. σικύᾳ ἰατρικῇ παραπλησίαν τὴν μήτρα φησί. Ἡρόφιλος δὲ ἡμιτόμου κύκλου ἕλικι εἰκάζει, Διοκλῆς δὲ κέρασι φυομένοις τὰς κεραίας. Εὔδημος δὲ πλεκτάνας καλεῖ· Πραξαγόρας δὲ καὶ Φιλότιμος κόλπους.*

[2] *Ὄρχεις ἢ ὠοθῆκαι ἢ δίδυμοι τοῦ θήλεος λέγονται· Πρωτοσπαθάρ. δὲ φησί· πλησίον δὲ τῶν κεραιῶν ἀμφοτέρων κεῖνται τῆς θηλείας οἱ ὄρχεις, ὡς πρὸς ἑκάτερον λαγόνα βάλλοντες τὸ σπέρμα, ἑκάτερος εἰς ἑκατέραν τῶν κεραιῶν· Οὐχ ὅμοιοι δὲ . . . ὡς ἐπὶ τῶν ἀρρένων, οὐδὲ μείζους ὁμοίως, ἀλλὰ μικρότεροι καὶ σκληρότεροι καὶ πλαδαρώτεροι, ὡς φακοειδεῖς εἶναι τῷ σχήματι. Περὶ τῆς ἀνθρ. κατασκ.* Σελ. 210.

καὶ τῆς μεγάλης ἀρτηρίας τῆς ἐκ τῆς καρδίας σὺν τῇ κοίλῃ φλεβὶ καταφερομένης ἐκφύεται ἀγγεῖα καὶ φέρεται ὡς ἐπὶ τὴν μήτραν δύο ἑκατέρωθεν, μία φλὲψ καὶ ἀρτηρία. Ταῦτα δὲ τὰ τέσσαρα ἀγγεῖα ἐκφύεται μὲν ἄνω κατὰ τὸν πυθμένα τῆς μήτρας, καὶ διασχιζόμενα διαπλέκει ὅλην αὐτὴν ἔξωθεν καὶ ἔνδοθεν, μάλιστα δὲ ἔνδοθεν. διὰ δὲ τῶν ἀγγείων τούτων τοῦτο τὸ καταμήνιον αἷμα[1] *φέρεται εἰς τὴν μήτραν. καὶ μὴν καὶ ἕτεραι φλέβες καὶ ἀρτηρίαι ἑκατέρωθεν τῆς μήτρας ἐμφύονται· αἱ μὲν εἰς τοὺς ὄρχεις, αἱ δὲ περὶ τὸν πυθμένα αὐτῆς καὶ τὸ αἰδοῖον. Αὐτὸ δὲ τὸ σῶμα τῆς μήτρας δύο χιτῶνες εἰσίν· ὁ μὲν ἔξωθεν νευρωδέστερος, ὅστις καὶ ἀποδέρεται, ὁ δὲ ἔνδοθεν φλεβωδέστερος· καὶ ὁ μὲν ἔξωθεν ἐστὶν ἁπλοῦς, ὁ δὲ ἔνδοθεν διπλοῦς. ὡς εἰ ἐθελήσεις ἀποδεῖραι τὸν ἄνωθεν χιτῶνα, δύο σοι φανοῦνται μῆτραι ἑνὶ αὐχένι συνεζευγμέναι. Ὁ δὲ αὐχὴν τῆς μήτρας μυώδης ἐστὶ γενόμενος ἐκ σαρκὸς σκληρᾶς καὶ χονδρώδους, καὶ ἀεὶ σκληρότερος ἑαυτοῦ γίνεται τῷ χρόνῳ, ὥστε ὅσαι πολλὰ ἐκύησαν ἢ πρεσβύτιδες εἰσίν, ἱκανῶς ταύταις ὁ αὐχὴν τῆς μήτρας σκληρότερός τε καὶ χονδρωδέστερος ἐστίν, ὡς ἐοικέναι τῷ βρόγχῳ. Τρῆμα δὲ ἔχει ὁ αὐχὴν τῆς μήτρας, δι' οὗ κενοῦται μὲν τὸ καταμήνιον, ἀναλαμβάνει δὲ πρὸς ἑαυτὴν ἡ μήτρα ἐν ταῖς συνουσίαις τοῦ ἄρρενος τὴν γονήν· διὰ τούτου τοῦ τρήματος καὶ τὸ ἔμβρυον ἔξεισιν. ἄπιστον γὰρ ὡς ὅσον ὁ πόρος οὗτος διαφέρει τῷ πλάτει· στενὸς γὰρ ἐστὶν ἐν παντὶ μὲν τῷ χρόνῳ, ὡς πυρῆνα μήλης*[2] *μόλις ὑποδέχεσθαι, κυούσης δὲ τῆς γυναικὸς σφόδρα ἀκριβῶς μέμυκεν ὁ πόρος οὗτος, ὡς μηδὲ παντάπασί τι παραδέχεσθαι· ἀπολυομένου δὲ τοῦ ἐμβρύου τῆς μήτρας διΐσταται ὁ πόρος οὗτος, ἔστι δὲ*

---

2 *ἀγγεία* B. 3 *ἢ ἑκατέρωθεν* Γ. *δύο ἀγγεῖα* A. 5 *ἄνευ*, „*μάλιστα δὲ ἔνδοθεν*" Γ. 6 *κατάμηνον* Γ. 16 *πολλαὶ ἐκύησαν* BΓ. 17 *ἱκανὸς* B. 17 *ταύτης* B. *καὶ σκληρ . . . καὶ χονδρ.* Γ. 22 *ὅσον ὡς ὁ πόρος* Γ. 22 *ἄνευ*, „*διαφέρει τῷ πλάτει*" A. 24 *ἐπιμέμυκεν* Γ. 25 *τούτου πόνου διατεινόμενος* Γ.

---

[1] *Καταμήνιον καὶ κατάμηνον, καὶ ἐπιμήνιον καὶ ἐπίμηνον, ἔμμηνόν τε καὶ ἐμμήνιον, γυναικεῖα, καὶ ὡραῖα φέρεται παρὰ τοῖς ἀρχαίοις. Ζερβός.*

[2] *Κατὰ τὸν Γαληνόν· Ἡρόφιλός γε μὴν, ὡς οὐδὲ πυρῆνα μήλης οὐκ ἂν δέχοιτο τὸ στόμα τῆς ὑστέρας, πρὶν ἀποκύειν τὴν γυναῖκα, καὶ ὡς οὐδὲ τοὐλάχιστον ἔτι διέστηκε, πρὶν ὑπάρξηται κύειν. Περὶ δυν. φυσικ.* II—IV. *Σελ.* 150—247.

θαῦμα[1] καὶ ἀκοῦσαι, τὸ ἔμβρυον ὅλον δι' ἐκείνου ἐξέρχεσθαι· τελευτᾷ δὲ ὁ αὐχὴν οὗτος εἰς τὸν γυναικεῖον κόλπον καὶ τὸ αἰδοῖον καλούμενον. Τὸ δὲ μῆκος τοῦ αἰδοίου ὡς ἐπίπαν ταῖς ἤδη τελείαις δακτύλων ἐστὶν ἕξ, προχειρότερον δὲ γίνεται τὸ αἰδοῖον κατὰ τὰς ἀποτέξεις καὶ κατὰ τὰς συνουσίας, ἐπεκτεινομένου ἔξω δηλονότι τοῦ τραχήλου τῆς μήτρας· καὶ ἐπὶ μὲν τῆς παιδικῆς ἡλικίας τρυφερώτερόν τε ἐστὶ καὶ μαλακὸν, ἐπὶ δὲ τῶν πλεῖστα τετοκυιῶν τυλωδέστερον γίνεται, ὡς χόνδρῳ ἐοικέναι τῇ σκληρότητι. τυλοῦται γὰρ τῷ χρόνῳ παρατριβόμενον συνεχῶς ἐν ταῖς συνουσίαις καὶ ταῖς ἀποτέξεσιν, ἀλλὰ καὶ διὰ τὴν δι' αὐτοῦ γιγνομένην ἐπιμήνιον κάθαρσιν μᾶλλον τυλοῦται· ὥσπερ τὰ διὰ τὴν πλείστην δριμεῖαν ὑγρότητα συριγγούμενα ἕλκη. Παχεῖα δὲ ἐστὶν ἡ μήτρα καὶ εὔογκος γίνεται, ὅταν ὁ καιρὸς τῶν καταμηνίων ἐπιφαίνηται, λεπτοτέρα δὲ καὶ ξηροτέρα φαίνεται ἐν τῷ ἄλλῳ χρόνῳ, καὶ παχυτέρα μὲν ἐπὶ ταῖς πλειστάκις μάλιστα κυούσαις, λεπτοτέρα δὲ ταῖς μήπω κυησάσαις· καὶ πάλιν ἐν μὲν ταῖς πρώταις ἡμέραις τῆς συλλήψεως παχεῖα φαίνεται, ὅταν δὲ τελειωθῇ τὸ ἔμβρυον καὶ καιρὸς τῆς ἀποτέξεως γένηται, λεπτότατον τὸ σῶμα τῆς μήτρας γίνεται. τὸ γὰρ πάχος αὐτῆς εἰς μῆκος ἐπεκτεινόμενον λεπτύνεται, ὥσπερ αἱ κύστεις πνεύματος πληρούμεναι. Περὶ μὲν οὖν θέσεως καὶ σχήματος καὶ μεγέθους τῆς μήτρας ὧδε ἔχει.

ΤΙΝΑ ΣΥΛΛΑΜΒΑΝΟΥΣΗΣ ΤΗΣ ΓΥΝΑΙΚΟΣ ΕΝΤΟΣ ΤΗΣ ΜΗΤΡΑΣ ΓΙΝΕΤΑΙ.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ἐν δὲ τῷ καιρῷ τῆς συλλήψεως καὶ κυήσεως γίνεται ἐν αὐτῇ τὸ χορίον, τὸ ἔξωθεν περιέχον ὅλον τὸ ἔμβρυον, καὶ μετ' αὐτὸ

1 ἐξερχόμενον Γ. 5 ἀποτήξεις. 6 τραχήλου κύστεως Γ. 7 τρυφερώτερόν τι Β. 10 ἑαυτοῦ Γ. 13 φαίνεται ΒΓ. 18 ἄνευ, καὶ Α. 18 στόμα Γ. 19 τὸ δὲ ΑΒ. 22 τίνα κυούσης τῆς γυναικ. . . . φύεται Γ· 22 συλλαμβανούσης κυούσης Α. 25 ἄνευ, συλλήψεως ΒΓ.

[1] Θ. Πρωτοσπαθάριος δὲ φησί· Ὁ γὰρ αὐχὴν τῆς ὑστέρας, εἴσοδος μὲν ἐστὶ τοῦ σπέρματος, ἔξοδος δὲ τοῦ ἐμβρύου . . . συλλήψεως δὲ γεγονυίας τοσοῦτον μέμυκεν, ὡς ἄβατον εἶναι πρὸς τὰ ἔσω καὶ τὰ ἔξω. Περὶ ἀνθρωπ. κατασκ. 207.

ἕτεροι δύο ὑμένες ὅ τε Ἀλαντοειδὴς καλούμενος, διπλοῦς ἐπικείμενος τοῖς κυρτοῖς μέρεσι τοῦ ἐμβρύου, καὶ μετ' αὐτὸν ὁ Ἀμνειὸς προσαγορευόμενος, λεπτὸς πάντοθεν περιβεβλημένος τῷ ἐμβρύῳ.

ΠΕΡΙ ΓΕΝΕΣΕΩΣ ΤΟΥ ΧΟΡΙΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Ἡ δὲ γένεσις τοῦ Χορίου γίνεται τὸν τρόπον τοῦτον· τὰ στόματα τῶν φλεβῶν καὶ τῶν ἀρτηριῶν τῶν εἰς τὸ ἐντὸς τῆς μήτρας ποικίλως διασχιζομένων, κατὰ τὸ πέρας ἑαυτῶν ἕκαστον κονδυλώδη ἐξοχὴν ἔχει ἐοικυῖαν ταῖς ἐν τῇ ἕδρᾳ γινομέναις αἱμορροΐσι· ταύτας τὰς κονδυλώδεις ἐξοχὰς κοτυληδόνας καλοῦσι τινές· μικρότεραι δὲ εἰσὶν αὗται ἐπὶ τῶν γυναικῶν τῶν εὑρισκομένων, ἐπί τε αἰγῶν καὶ βοῶν καὶ ἐλάφων, καὶ τῶν παραπλησίων ζῴων. σώματα δὲ ἐστὶ ταῦτα τὰ ἐπὶ τῶν ἀλόγων ζῴων φαινόμενα πλαδαρὰ ὑπόμυξα, τῷ σχήματι ἐοικότα τοῖς φύλλοις τῆς κοτυληδόνος πόας, ὑπόκοιλα δέ. Ταῦτα οὖν τὰ στόματα τῶν εἰς τὴν ἐντὸς εὐρυχωρίαν τῆς μήτρας διασπειρομένων ἀγγείων ἀνέῳκται ἅπαντα, ὁπόταν ἡ γυνὴ συλλήψεσθαι μέλλῃ. Ἔστι δὲ οὗτος ὁ τῆς συλλήψεως χρόνος, ἢ ἀρχομένων τῶν καταμηνίων ἢ παυομένων. ἀνεστόμωται μὲν γὰρ καὶ ἐν τῷ ἄλλῳ παντὶ χρόνῳ τῆς καθάρσεως τὰ ἀγγεῖα ταῦτα, ἀλλ' οὐκ ἂν λάβῃ πρὸς ἑαυτὴν ἡ γυνή· τηνικαῦτα γὰρ οὐ μένει τὸ τοῦ ἀνδρὸς σπέρμα ἐν τῇ μήτρᾳ τούτῳ τῷ καιρῷ, ἐκκλυζόμενον τῷ πλήθει τοῦ ἐπιρρέοντος αἵματος. ἀρχομένων δὲ τῶν καταμηνίων καὶ μάλιστα παυομένων ἀνεστόμωται μὲν τὰ ἀγγεῖα, τὸ δὲ καταμήνιον αἷμα οὔτε πολὺ οὔτε ἀθρόον ἐκχεῖται, ἀλλ' ὀλίγον τε καὶ κατὰ βραχύ· ὥστε προσφύεται μὲν διὰ τὴν τραχύτητα τῆς μήτρας[1] τὸ σπέρμα, αὐτάρκη

Πότ[ε] συλλαμ[βά]νει ἡ γ[υνή]

1 *ἄνευ, διπλοῦς B.* 2 *τῷ ἐμβρύῳ Γ.* 6 *ἄνευ, δὲ B.* 7 *ἀρτηριῶν αὐτῶν Γ.* 11 *ἄνευ, τινὲς Γ.* *αὗται B.* *ῥισκομένων Γ.* 13 *ἀλόγων ὠῶν A.* 16 *ἄνευ, ἅπαντα A.* 17 *ὅταν B.* *συλλη συλλήψεως χρ. . . B.* 19 *ἄνευ, μὲν A.* 20 *λάβηται Γ.* 21 *οὐ δυνατὸν Γ.* *γὰρ μένει A.* 23 *ἄνευ, καὶ μάλιστα A.* 25 *ἐγχεῖται Γ.* 26 *προσφύεσθαι A.*

[1] *Καὶ ὁ Πρωτοσπαθάριος φησί· ὅταν . . . ἡ τοῦ σπέρματος ὑγρότης ἀκοντιζομένη τοῖς τῶν ὑστερῶν ἐμπέσῃ χιτῶσι τραχέσιν οὖσι, συναναμίγνυται τῷ τῆς θηλείας σπέρματι, γλίσχρῳ καὶ αὐτῷ ὄντι . . . καὶ τραχέσιν ὁμιλήσασα σώμασι, δίκην ἀλοιφῆς ἑτοίμως κολλᾶται.* Σ. 210.

δὲ ἔχει τροφὴν τὴν ὀλιγότητα τοῦ φερομένου αἵματος. Πρὸ δὲ τοῦ καιροῦ τῶν καταμηνίων οὐκ ἂν συλλάβῃ ἡ γυνή, ὅ τι καὶ τοῦ τρέφοντος ἐστέρηται τὸ σπέρμα, καὶ τοῦ προσφύεσθαι οὐκ ἔχει. λεία γὰρ ἡ μήτρα τηνικαῦτα ἐστὶν ἐπιμεμυκότων τῶν ἀγγείων, ὥστε διὰ τοῦτο ἀπορρεῖ τὸ σπέρμα[2]*, ὥσπερ τὰ χρίσματα ἀπὸ τῶν λειοτάτων τοίχων· καὶ γὰρ καὶ τοὺς τοίχους οἱ ἐπιχρίειν βουλόμενοι τραχύνουσι πρότερον, καὶ οὕτως κατέχεται τὰ χριόμενα· καταβληθὲν μὲν οὖν τὸ τοῦ ἀνδρὸς σπέρμα καὶ κατασχεθὲν ἐν τῇ μήτρᾳ προσφύεται ταῖς κοτυληδόσιν, εἴτε κατὰ τὸν δεξιὸν αὐτῆς κόλπον, εἴτε κατὰ τὸν εὐώνυμον· συνάγει δὲ ἑαυτὴν ἡ μήτρα καὶ περιπτύσσεται τὸ σπέρμα πάντοθεν.*[3] *Ἀρχὴ τοίνυν τῆς τοῦ χορίου γενέσεως ταῦτα τὰ πέρατα γίνεται τῶν εἰς αὐτὴν διασπειρομένων ἀγγείων· ἐξ ἑκάστου γὰρ στόματος ἀγγεῖον ἐκφύεται· ἀρτηρία μὲν ἀπὸ τοῦ τῆς ἀρτηρίας στόματος, φλὲψ δὲ ἀπὸ τοῦ τῆς φλεβός. Συνδεῖ δὲ ταῦτα τὰ ἀγγεῖα πρὸς ἄλληλα λεπτὸς μὲν ἰσχυρὸς δὲ ὑμὴν περιφυόμενος ἔξωθεν ἅπασι, καὶ οὕτω συνίστησι τὸ χορίον. συνερχόμενα δὲ πάλιν ἀλλήλοις τὰ ἐν τῷ χορίῳ διεσπαρμένα ἀγγεῖα, ἀποτελεῖ δύο φλέβας καὶ δύο ἀρτηρίας· αὗται δὲ ἐμφύονται κατὰ τὸ μέσον τοῦ ἐμβρύου παραλαμβάνουσαι πάντοθεν τὴν ἔκκρισιν τὴν τοῦ ἐμβρύου ἐπὶ τὸν ἀλαντοειδῆ ὑμένα ἐπιφερομένην, δι' ἧς ἐκκρίνεται τὸ οὖρον τοῦ ἐμβρύου καὶ ἀθροίζεται ἐν τῷ ὑμένι· ὥστε τὸν συγκείμενον ἐκ τῶν τεσσάρων τούτων ἐχόντων μεταξὺ σφῶν αὐτῶν τὸν καλούμενον*

Παράδειγμα.

1 *φθειρομένου ΑΒ.* 4 *λεῖα Β.* 6 *λειοτάτων τόπων Γ.* 8 *χρίσματα ΒΓ.* 9 *κατακλυθὲν Β.* 10 *αὐτὴν Β.* 12 *σπέρματα Β.* 13 *ἑκάστου γὰρ στομίου οἷον Γ.* 14 *ἀπὸ τῷ τῆς ἀρτηρίας στόματι Γ.* 15 *ἀπὸ τὸ τέλος Γ.* 17 *χώριον Β.* 18 *τὰ ἐν χορίῳ Β.* 20 *ἔκφυσιν Γ.* 23 *ἄνευ, „ἐχόντων μεταξὺ αὐτῶν τὸν καλούμενον οὐραχόν μέχρι —*

[1] *Ἐν δὲ τῷ περὶ φύσιος Γυναικ. Ἱπποκρ. φησί· ἢν ἀναχάνῃ τὸ στόμα τῶν μητρέων μᾶλλον ἢ ὡς πέφυκε, τὰ ἐπιμήνια γίνεται πλείω . . . καὶ ἡ γονὴ οὐχ ἅπτεται αὐτῆς οὐδ' ἐμμένει, ἀλλὰ πάλιν ἐκχεῖται ἔξω· καὶ σμικρὸν κατωτέρω ὁ αὐτός· ἢ λειανθῶσιν αἱ μῆτραι, τά τε ἐπιμήνια πλέω γίνεται καὶ κακίω καὶ ὑγρότερα . . . καὶ ἡγονὴ οὐκ ἐμμένει· Περ. Γυν. Φύσ.* VII. *Σελ.* 390.

[2] *Πρωτοσπαθ. δὲ φησί· ἕλξασα γὰρ ἡ μήτρα τὸ τοῦ ἄρρενος σπέρμα ἐναγκαλίζεται ὡς οἰκεῖον καὶ φίλον, περισφίγξασα ἑαυτὴν πάντοθεν, καὶ μεμυκυῖα τῷ στόματι ὡς μηδὲ πυρῆνα μήλης διελθεῖν δι' αὐτῆς δύνασθαι· κατασχεθὲν οὖν τὸ τοῦ ἄρρενος σπέρμα, συναναμίγνυται καὶ συναλλοιοῦται τῷ σπέρματι τῆς θηλείας· ἀναζυμοῦνται οὖν ἀμφότερα καὶ γίνεται οὐσία μία.*

οὐραχὸν γίνεσθαι τὸν λεγόμενον ὀμφαλόν. Ὁ δὲ οὐραχός ἐστιν ἡ ἀρχὴ τοῦ ἀλαντοειδοῦς ὑμένος διατετρημένος πρὸς τὸν τῆς κύστεως πυθμένα τοῦ ἐμβρύου, δι' οὗ τὸ οὖρον τοῦ ἐμβρύου μετάγεται καὶ εἰς τὸν ἀλαντοειδέα συναθροίζεται. μετὰ δὲ ταῦτα αἱ μὲν δύο φλέβες ἑνωθεῖσαι μίαν ποιοῦσι, καὶ αὐτὴ φερομένη διὰ τοῦ ὀμφαλοῦ ἐμφύεται τοῖς σιμοῖς τοῦ ἥπατος τοῦ ἐμβρύου, τῇ κοίλῃ λεγομένῃ φλεβί, καὶ διὰ ταύτης ἐκ τῆς μήτρας τὸ αἷμα εἰς τροφὴν τοῦ ἐμβρύου χορηγεῖται· δεχόμενον γὰρ τὸ τοῦ ἐμβρύου ἧπαρ τὸ φερόμενον αἷμα, ἀναδίδωσιν εἰς ὅλον αὐτοῦ τὸ σῶμα. Αἱ δὲ προειρημέναι δύο ἀρτηρίαι αἱ κατὰ τὸν ὀμφαλὸν πάλιν μίαν ἀποτελοῦσιν ἀρτηρίαν, καὶ αὐτὴ φερομένη διὰ τῶν πλαγίων μερῶν τῆς κύστεως τοῦ ἐμβρύου ἐμφύεται τῇ μεγάλῃ ἀρτηρίᾳ τῇ κειμένῃ κατὰ τὴν ῥάχιν αὐτοῦ, καὶ διὰ ταύτης τὸ ζωτικὸν αἷμα ἐκ τῶν ἐν μήτρᾳ ἀρτηριῶν εἰς τὸ ἔμβρυον μεταδίδοται. Κατὰ δὲ τὸν καιρὸν τῆς ἀποτέξεως ὅταν τελειωθῇ τὸ ἔμβρυον, καὶ μέγα γενόμενον προτείνῃ πανταχοῦ τὴν μήτραν, καὶ δηλονότι καὶ τὸ χορίον τε τηνικαῦτα στενοχωρούμενον ἀλλὰ μηδὲ τῇ ἐκ τῆς μήτρας αὐτῷ χορηγουμένῃ τροφῇ ἀρκούμενον, σκιρτᾷ καὶ ἀπορρήγνυσι τοὺς περικειμένους ὑμένας, καὶ οὕτως ἀρρήτῳ λόγῳ ἀνοίγουσα ἑαυτῆς τὸ στόμα ἡ μήτρα ἐκκρίνει τὸ ἔμβρυον.[1] ταῦτα μὲν οὖν ἐστι καθ' ὅσον οἷόν τε διὰ βραχέων σαφηνίσαι βουλόμενοι, ἃ εἰρήκαμεν. Εἰ δέ τις βούλοιτο ἅπαντα τὰ προειρημένα ἀκριβέστατα θεάσασθαι, ἀναταμέτω αἶγα ἐγκύμονα μάλιστα ἢ βοῦν ἢ ἔλαφον ἢ δορκάδα, διαλύων πρότερον τὰ τῆς ἥβης ὀστᾶ, ἔπειτα ἀνασχίζων εὐφυῶς τὸ δέρμα· φανεῖται γάρ σοι ταῦτα ποιήσαντι σαφῶς ἡ πρὸς τὰ περικείμενα μόρια τῆς μήτρας κοινωνία.

— 4 καὶ εἰς τὸν ἀλ. συναθροίζεται παραλ. *Α*. 5 ἑνωθεῖσαι μὲν *Α*. 7 τῇ ποικίλῃ *Α*. 10 ἄνευ, αἱ *Γ*. 13 διὰ τούτων *Β*. 17 στενούμενον *Γ*. 19 ἀνοιγνῦσα *Α*. 22 ἄνευ, ἃ *Γ*. 25 ἐμφυῶς *Γ*. 26 ἡμ. διόρθωσις· καὶ ὁ *Α* μὲν ποιήσασα, *Β* δὲ καὶ *Γ* καὶ τὰ βοηθ. ποιήσας ὡς καὶ ὁ λατ. κῶδ. ἡμεῖς διωρθώσαμεν ποιήσαντι ἐξομοιώσαντες τῇ δοτικῇ σοί. *Ζερβός*.

[1] *Πρωτ.* φησί· τὸ μὲν ἔμβρυον νηχόμενον ἐν τῷ περιεχομένῳ ὑγρῷ ὑπὸ τῆς μήτρας, τῷ συναχθέντι ἀπὸ τοῦ ἱδρῶτος τοῦ ἐμβρύου, . . . βασιζόμενον δὲ ἀπὸ τοῦ ὀμφαλοῦ διὰ τῶν ἀγγείων τῶν προσαγόντων τό τε αἷμα καὶ τὸ πνεῦμα. . . . Ὅταν δὲ τῇ γυναικὶ ὁ χρόνος τοῦ τόκου παραγίνεται, συμβαίνει τῷ παιδίῳ κινουμένῳ καὶ σκαρίζοντι ποσὶ καὶ χερσὶ ῥῆξαί τινα τῶν ὑμένων· ῥαγέντος δὲ ἤδη ἑνός, οἱ ἄλλοι ἀσθενεστέραν δύναμιν ἔχουσι καὶ ῥήγνυνται πρῶτον οἱ ἐκείνου ἐχόμενοι, ἔπειται δὲ ὁ ὕστατος. *Ανδ. κ. Σελ.* 248.

ΠΕΡΙ ΠΟΙΟΝ ΕΤΟΣ ΑΡΧΟΝΤΑΙ ΑΙ ΓΥΝΑΙΚΕΣ ΚΑΘΑΙΡΕΣΘΑΙ.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Τὰ δὲ καταμήνια ταῖς γυναιξὶν ἐπιφαίνεται περὶ τὸ τεσσαρεσκαιδέκατον ἔτος ἅμα τῷ ἡβάσκειν καὶ τοὺς μαστοὺς ἐπαίρεσθαι·[1] *οὐ πᾶσαι δὲ κατὰ τὸν αὐτὸν καιρὸν, οὐ δὲ τὸ αὐτὸ μέτρον τῆς κενώσεως, οὔτε τὰς αὐτὰς ἡμέρας καταβιβάζονται. κατὰ δὲ τὸ πλεῖστον φέρεται ἡμέρας δ, πλῆθος δὲ ὅσον κοτυλῶν δύο, ἢ πλεῖον ἢ ἔλασσον.*[2] *Καιρὸς δὲ ταῖς μὲν διὰ κ' ἡμερῶν, ταῖς δὲ πλεῖστον διὰ λ', ἐνίαις δὲ δὶς τοῦ μηνός· παύονται δὲ τοῦ καθαίρεσθαι οὐ πρότερον τῶν λε ἐτῶν, οὔτε μετὰ πεντήκοντα ἐπιφαίνεται, σπάνιαι γὰρ μέχρι τῶν ξ' ἐτῶν ἐκαθάρθησαν· αἱ δὲ καταπίμελοι ταχέως παύονται.*[3] *Ἄρχεται δὲ τὸ πλῆθος ἐκ τοῦ κατὰ μικρὸν ἕως τῆς ἀκμῆς, εἶτα μένει τὴν ἰσότητα φυλάσσον παρὰ τὸ μᾶλλον καὶ ἧττον ἐπὶ χρόνον τινά· ὅταν δὲ μέλλῃ ἐκλείπειν, ἐλαττοῦται πάλιν κατὰ βραχὺ ἕως τέλεον ἐκλείψει. Συνεργεῖ δὲ εἰς τὸ ἀτάκτως ἢ εὐτάκτως φέρεσθαι, ἢ ὀλίγον ἢ πολύ, ἡλικία καὶ ὥρα καὶ δίαιτα καὶ τὰ λοιπὰ ἐπιτηδεύματα, καὶ τῶν τροφῶν ποιότητες, καὶ ἰδιότητες, καὶ νόσων παρεμπτώσεις.*

3 *τεσσαρεσδέκατον Β.* 6 *ἄνευ, καταβιβάζονται Α.* 10 *ἐκαθάρθησαν.* 11 *ἐκαθάρτησαν.* 12 *ἄρχονται Γ.* 13 *ἔτος Β. μίαν Β.* 14 *ἐκλίπειν Γ.* 16 *ὀλίγα ἢ πολλὰ Γ.*

[1] *Αἴτιον δὲ καθ' Ἱπποκρ. τοῖσι παισὶ λεῖα τὰ φλέβια ἐόντα καὶ πληρεύμενα κωλύει τὴν γονὴν ἰέναι . . . καὶ τῇσι παρθένῃσι, μέχρις ἂν νέαι ἔωσιν, οὐ χωρέει τὰ καταμήνια δι' αἴτιον τωὐτό . . . Ἐπὴν δὲ αὔξωνται . . . αἱ φλέβες τῆς παρθένου ἐπὶ τὰς μήτρας εὔροοι γίνονται . . . καὶ τῇ παρθένῳ χωρέει τὰ καταμήνια. Περὶ Γονῆς* VII. *Σελ.* 474. *Οἱ δὲ μαστοὶ κατὰ Γαληνὸν τῆς εὐρυχωρίας τῆς μήτρας σημεῖά εἰσιν, οἳ καὶ ἐνδεικνύουσι τὰς παρθένους πρὸς συνουσίαν ἐπιτηδείους εἶναι, ὅ σφριγᾶν καλεῖν εἴωθεν Ἱπποκράτης.*

[2] *Μέτρια δ' ἐστὶ πάσῃ γυναικὶ χωρέειν, ἢν ὑγειαίνῃ, τὰ ἐπιμήνια ἐλθόντα ὅσον κοτύλαι δύο ἀττικαὶ ἢ ὀλίγῳ πλέονα ἢ ἐλάσσονα, ταῦτα δὲ ἐφ' ἡμέρας δύο ἢ τρεῖς· ὁ δὲ πλείων χρόνος ἢ ἐλάσσων ἐπίνοσος καὶ ἄφορος ἐστί· καὶ μικρὸν κατωτέρω· ᾗσι δὲ τριῶν ἡμερέων ἔλασσον ἡ κάθαρσις γίνεται ἢ ὀλίγα χωρέει, αὗται παχεῖαι καὶ εὔχροοι, ἀνδρικαί τε, οὐ μνησίτοκοι δὲ εἰσίν, οὐδὲ κυΐσκονται. Ἱπποκρ. Περὶ Γυναικ.* VIII. *Σελ.* 30.

[3] *Ἐν δὲ τῷ περὶ Σκυθῶν Ἱππ. φησί· τῇσι δὲ γυναιξὶν ἥτε πιότης τῆς σαρκὸς καὶ ὑγρότης· οὐ γὰρ δύνανται ἔτι ξυναρπάζειν αἱ μῆτραι τὸν γόνον· οὔτε ἐπιμήνιος κάθαρσις αἰτέῃσι γίγνεται ὡς χρεών ἐστιν, ἀλλ' ὀλίγον καὶ διὰ χρόνου· τό τε στόμα τῶν μητρέων ὑπὸ πιμελῆς συγκλείεται καὶ οὐχ ὑποδέχεται τὸν γόνον. Περὶ ἀέρων, ὑδάτων, τόπων. Σ.* 76.

ΤΙΝΑ ΠΡΟΣΗΜΑΙΝΕΙ ΤΑΙΣ ΠΑΡΘΕΝΟΙΣ ΤΗΝ ΜΕΛΛΟΥΣΑΝ ΕΠΙΦΑΙΝΕΣΘΑΙ ΑΥΤΑΙΣ ΚΑΘΑΡΣΙΝ.

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Ταῖς μὲν οὖν παρθένοις μέλλουσαν ἐπιγίνεσθαι κάθαρσιν προσημαίνει μαστῶν κνησμός, πόνος ἤτρου, ὀσφύος, κεφαλῆς, ἔμετος χολωδῶν ἢ φλεγματωδῶν. τούτων προφαινομένων περὶ τὸ τεσσαρεσκαιδέκατον ἔτος, δεῖ τὸν ἰατρὸν τεκμαίρεσθαι ὡς ἐπείγει ἡ κάθαρσις, καὶ συνεργεῖν τῇ τοῦ αἵματος φορᾷ διὰ τῶν ἁπλουστέρων ἀποζεμάτων.

ΠΟΤΕ ΕΠΙΦΑΙΝΕΤΑΙ ΤΟ ΣΠΕΡΜΑ ΚΑΙ ΠΟΤΕ ΑΡΧΕΤΑΙ ΣΥΛΛΑΜΒΑΝΕΙΝ.

ΚΕΦΑΛΑΙΟΝ ς΄.

Καὶ τὸ σπέρμα δὲ ἐπιφαίνεται περὶ τὸ τεσσαρεσκαιδέκατον ἔτος, ταῖς δὲ πλείσταις ἅμα τὸ ἡβᾷν·[1] *γόνιμον δὲ γίνεται τισὶ μὲν περὶ τὸ ὀκτωκαιδέκατον ἔτος, ταῖς δὲ πλείσταις περὶ τὸ εἰκοστὸν, καὶ ἐπιθυμίαι γίνονται τοῦ συνουσιάζειν ἐπιφανέντος εὐθέως τοῦ σπέρματος.*

ΠΩΣ ΣΗΜΕΙΩΤΕΟΝ ΤΑΣ ΔΥΝΑΜΕΝΑΣ ΣΥΛΛΑΒΕΙΝ ΣΩΡΑΝΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

Εὐφυῶς δὲ πρὸς τὸ συλλαβεῖν διακεῖσθαι νομιστέον τὰς ἀπὸ πεντεκαιδεκάτου ἔτους ἡλικίας μέχρι τῶν τεσσαράκοντα ἐτῶν ἐπὶ τὸ πολύ, καὶ μήτε ἀνδρώδεις καὶ πυκνὰς τὴν ἕξιν καὶ κατασκλήρους, μήτε ἄγαν ἐκλελυμένας καὶ καθύγρους, ἢ τὴν κοιλίαν συνεχῶς ὑγραινομένας· εὐσταθεῖς δὲ τὴν διάνοιαν καὶ ἱλαράς· εὐρύτερα τὰ περὶ τὴν ὀσφὺν καὶ τὸ ἐπιγάστριον ἐχούσας, καὶ ἀπαραποδίστως καθαιρομένας, καὶ ἀπηλλαγμένας τοῦ ὑπὸ νοσημάτων συνεχῶς ἐνοχλεῖσθαι, καὶ μάλιστα τὰ περὶ τὴν ὑστέραν· φασὶ δὲ καὶ

Τί προ- γνωστικ εἰ συλλή- ψεται γυνή.

9 ἀποζευμάτων Γ. 13 δέκατον ἔτος Γ. παραλ. „ταῖς δὲ πλείσταις . . . μέχρι „ἔτος" Γ. 18 ἄνευ, σωρανοῦ Γ. 22 ἀνδρώδους Γ. 23 καὶ ἢ Γ. 25 ἄνευ, καὶ Α. 26 ἀπαλλαγμένας Β. 27 μάλιστα τοῦ περὶ . . . Β.

[1] Ὅρ. Σημ. Ι. Σελ. 8.

τοῦτο προγνωστικὸν εἶναι, εἰ συλλήψεται ἡ γυνή[1]· σχηματίσας τὴι γυναῖκα ῥητίνην ὑποθυμία, ἵνα διὰ τοῦ αἰδοίου δέξηται τὸι καπνόν· καὶ ἐὰν εἰς τὸ στόμα αὐτῆς διαδοθῇ ἡ ὀσμή, συλλήψεται εἰ δὲ μὴ οὔ. Ἄλλο. Σκόροδα λεπίσας καὶ ἐρίῳ περιελίσας, δίδοι προστίθεσθαι ὡς πεσσὸν καθεύδειν μελλούσῃ, καὶ ἐὰν πρωΐ ἡ ὀσμὴ τῶν σκορόδων ἐμφαίνηται διὰ τοῦ στόματος αὐτῆς, συλλήψεται· εἰ δὲ μὴ οὔ.[2]

ΠΩΣ ΣΗΜΕΙΩΤΕΟΝ ΤΑΣ ΗΔΗ ΣΥΝΕΙΛΗΦΕΙΑΣ.

ΚΕΦΑΛΑΙΟΝ Η΄.

Συνειληφέναι δὲ γνωσόμεθα τὴν γυναῖκα, ἐκ τοῦ πρῶτον μὲι ἐρωτωμένην ὑπὸ τῆς μαίας εἰπεῖν ὡς οὐκ ἀποκέκριται τὸ σπέρμι τοῦ ἀνδρὸς μετὰ τὴν συνουσίαν, καὶ ἐκ τοῦ κατὰ τὴν συνουσίαι φρικώδους αἰσθήσεως ἀντίληψιν τῇ γυναικὶ γεγονέναι· ἀλγεῖν δ μετρίως περὶ τὸ αἰδοῖον καὶ τὰ περὶ τὸν ὀμφαλὸν μέρη. ἔπειτι καὶ ἐκ τοῦ κατάξηρον καὶ ἄνικμον ἔχειν τόν τε κόλπον καὶ τι στόμιον τῆς μήτρας, μεμυκέναι τε αὐτὸ τὸ τῆς ὑστέρας στόμι χωρὶς σκληρίας καὶ φλεγμονῆς, καὶ ἐπὶ τὸ πρόσω καὶ ἄνω κε χωρισμένως· καὶ ἐκ τοῦ ἀνορεκτοτέρας γίνεσθαι περὶ τὰ ἀφρο δίσια, καὶ ἐκ τοῦ ἐν τῷ εἰωθότι χρόνῳ τὴν κάθαρσιν μὴ ἐπι φανῆναι, καὶ τὰς πρὸς τὸ στῆθος φλέβας πρασιζούσας τῇ χροιᾳ γίνεσθαι, τοὺς δὲ μαστοὺς διοιδίσκεσθαι Προϊόντος δὲ τοῦ χρόνοι καὶ γάλα ῥεῖν, καὶ τὰ κοῖλα τῶν ὀφθαλμῶν ὕπωχρα εἶναι, ποτ δὲ καὶ σπίλους μελανίζοντας τῷ προσώπῳ, ἐνίαις δὲ καὶ ἔφηλι

---

4 *λέπισας B.* 6 *ἐμφένεται ἅπαντες οἱ κώδικ. ἡμ. διόρ. ἐμφαίνεται Ζ* 8 *σημειωσόμεθα Γ.* 10 *πρῶτον μὲν B.* 11 *ἀποκέκρυπται B.* 15 *κατα ξήρους καὶ ἀνίκμους Γ.* 16 *αὐτό τῆς ὑστέρ. στόμ. ἄνευ, τὸ Γ.* 17 *πόσο ἄνω κεχωρηκέναι καὶ ἀνεκτοτέρας Γ.* 19 *ἄνευ, ἐν τῷ B.* 21 *τοὺς δὲ Δ*

---

[1] *Ἐπὶ παύσεως ἐμμήνων φησὶν Ἱπποκ. μετὰ τὴν τοῦ στομίου τῆς μήτρα ἀπόφραξιν, δεῖ ταύτην διακλύζειν οὔρῳ τε κοινῷ ἢ Αἰγυπτίῳ μύρῳ μετὰ λουτρὸν καὶ ἢν εἰς τὰς ῥῖνας ἀνέλθῃ ὁ ὀδμή, ἐλπὶς αὐτὴν ὑγιέα γενέσθαι· καὶ ἀλλαχοῦ καὶ ἢν ἡ ὀδμὴ διὰ τοῦ στόματος δοκέῃ ὄζειν τῶν ἀρωμάτων, σημεῖον οὐ σμικρὸ εἰς σύλληψιν τῇ θεραπείᾳ. Ἱππ. Περὶ Γυν. φύσ.* VII. *Σ.* 322 *καὶ* 440.

[2] *Γαληνὸς δὲ εἰς τὸ γνῶναι ἐκ τοῦ ἀνδρὸς καὶ γυναικὸς ὁποῖός ἐστιν ἄπαις φησί· φακὴν ἀπόρυξον ἐς τῶν ἀμφοτέρων τὸ οὖρον χωρίς, καὶ ὁποῖον φύσει ἐκεῖνός ἐστιν ὁ ποιῶν παῖδα καὶ τὸ μὴ φῦον ἄπαις. Περὶ εὐπορ.* XIV. *Σ.* 546

ἐπιγίγνεσθαι, καὶ ἐκ τοῦ τὸ πρόσθιον μέρος τοῦ τραχήλου θερμότερον εἶναι τὰ δὲ ὄπισθεν ψυχρά· καὶ ἐκ τοῦ περὶ τὸν δεύτερον μῆνα παρὰ τὸ ἔθος αὐτὰς ὀξέων ὀρέγεσθαι καὶ ἁλικῶν, ἐνίαις δὲ καὶ ὁ στόμαχος πλαδοῖ, ὄκνος τε ὑπὸ τὰς ἐνεργείας γίγνεται, καὶ τὸ βλέμμα τακερώτερον, καὶ λίαν θῆλυ ἐπιστάντα προσπίπτει· τρέπεται δὲ καὶ ἡ χρόα ἐπὶ λευκαντίζουσαν ὠχρότητα, προηγουμένου τὰ πολλὰ ἀνδρικωτέρου ἐρεύθου. Περὶ δὲ τὴν τῆς καθάρσεως προθεσμίαν βαρύνονται καὶ πνευματοῦνται τὰ περὶ τοὺς μαστούς, καὶ ἡ ὀσφὺς δυσκάμπτως ἔχει, καὶ ἡ κύστις ἐπιπόνως ἐξουρεῖ πυρῶδες καὶ ἐρυθρόν, τῆς ἐν κόλπῳ θερμασίας αὐτὴν συγκαιούσης, κἀκτοῦ ἔμμηνον διακρινούσης ἐπὶ τὴν οὐρήθραν.

ΤΙΝΑ ΚΑΤΑ ΤΟΥΣ ΑΡΧΑΙΟΥΣ ΣΗΜΕΙΑ ΤΟΥ ΑΡΡΕΝ Η ΘΗΛΥ ΕΙΝΑΙ ΤΟ ΚΥΟΜΕΝΟΝ.

ΚΕΦΑΛΑΙΟΝ Θ΄.

Ἱπποκράτης φησὶ καὶ ἕτεροι τοῦ μὲν ἄρρεν[1] *κύειν σημεῖα, τὸ εὐχρουστέραν ὑπάρχειν τὴν κύουσαν καὶ εὐκινητοτέραν, καὶ τὸ τὸν δεξιὸν μαζὸν μείζονα εἶναι καὶ εὐογκότερον, καὶ μάλιστα τὴν θηλὴν ἐπαίρεσθαι, τοῦ δὲ θῆλυ ὠχροδεστέραν· εἶναί τε τὸν εὐώνυμον μαζὸν ὀγκωδέστερον, καὶ μάλιστα τὴν θηλήν. Καὶ ἐπὶ μὲν τοῦ ἄρρενος τὰ τοῦ δεξιοῦ μέρους ἀγγεῖα, λέγω δὴ αἱ φλέβες μᾶλλον ἐν ὄγκῳ εὑρίσκονται, καὶ μάλιστα αἱ ὑπὸ τὴν γλῶσσαν· ἐπὶ δὲ τοῦ θήλεος αἱ ἐν τοῖς εὐωνύμοις. ἀψευδέστατόν τε καὶ βεβαιότατον ἐστὶ σημεῖον, τὸ ἐπὶ μὲν τῶν ἀρρένων τὸν σφυγμὸν*

---

1 *πρόσθεν Β.* 2 *ὄπισθεν Α.* 3 *ὀξέων ἐπιθυμεῖν Β. ἢ ἁλικῶν ΑΓ.* 3 *„ἐνίας δὲ . . . κλπ. μέχρι τέλους τοῦ κεφαλαίου παραλείπει ὁ Α.* 6 *προηγουμένοις Γ.* 7 *ἐρυθροὺς Γ. ἀντὶ προθεσμίαν ὁ Γ σημασίαν.* 11 *καὶ τὸ κἀκτοῦ Γ.* 13 *εἴη τὸ κυόμ. . . . Γ.* 15 *ἄνευ, καὶ ἕτεροι Γ. ἄρρενα ἅπαντες οἱ κύριοι κώδικες. ἡμεῖς διωρθώσαμεν „ἄρρεν" ὡς ἀντικ. τοῦ κύειν, ὡς καὶ κατωτέρω, θῆλυ, ὑπάργει. Ζερβ. ἄνευ, ἄρρενα Γ. σημεῖον Β.* 16 *τοῦ εὐχ. Β.* 18 *ὠχροδέστερον Β. εἶτε Β.* 22 *ἢ ἐν τοῖς Β.*

---

[1] *Καθ' Ἱπποκρ. τὰ μὲν ἄρσενα ἐν τοῖς δεξιοῖσι, τὰ δὲ θήλεα ἐν τοῖς ἀριστεροῖσι μᾶλλον· καὶ ἀλλαχοῦ ὁ αὐτός. Γυναικὶ χρὴ εἰδέναι τῶν μαζῶν ὁκότερός ἐστιν αὐτέης μείζων, κεῖθι γὰρ τὸ ἔμβρυον· ὁμοίως δὲ καὶ τὸν ὀφθαλμόν· ἔσται γὰρ μέζων καὶ λαμπρότερος τὸ πᾶν εἴσω τοῦ βλεφάρου, ὁκοτέρωθι καὶ μαζὸς μέζων.* IV. *Σελ.* 550—VIII. *Σελ.* 488.

τῆς δεξιᾶς χειρὸς εἶναι τῆς ἐγκύου σφοδρότερον καὶ ταχύτερον καὶ μείζονα καὶ σκληρότερον· ἐπὶ δὲ τῶν θηλέων τὸν τῆς εὐωνύμου χειρὸς τοιοῦτον εἶναι.[1]

ΠΕΡΙ ΚΙΤΤΗΣ ΓΑΛΗΝΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Ι′.

Τὸ περὶ τὸν δεύτερον μῆνα συμβαῖνον ταῖς κυούσαις πάθος κίττη ὠνόμασται, ἐκ μεταφορᾶς ὄρνιθος τινὸς ζῴου οὕτω λεγομένου, ἄλλοτε ἄλλως καὶ ποικίλως φθεγγομένου· γίνεσθαι δὲ φασὶ καὶ ἐκ μεταφορᾶς τοῦ φυτοῦ τοῦ λεγομένου κιττοῦ, προσπλεκομένου δὲ διαφόροις φυτοῖς τοῖς παρατυχοῦσι· καὶ γὰρ αἱ κιττῶσαι γυναῖκες ἐπιθυμοῦσιν ἐδεσμάτων ποικίλων, καὶ μάλιστα ἐκείνων ἅτινα τῆς ὀδύνης καὶ ἡδονῆς ἀντιλαμβάνονται. ἐπιγίνεται δὲ ταῖς κυούσαις τὸ πάθος ὡς ἐπὶ τὸ πολὺ, περὶ τὴν τεσσαρακοστὴν ἡμέραν μετὰ τὴν τῆς κυήσεως ἀρχήν. Ἔστι δὲ πλάδος στομάχου, καὶ ναυτία, καὶ ἀπορία, καὶ ἀλυσμὸς, καὶ ἔμετος σιτίων καὶ χολῆς καὶ φλέγματος, πτυελίζουσί τε συνεχῶς καὶ καρδιαλγοῦσι καὶ ἀσιτοῦσι· ταῦτα δὲ συμβαίνει διὰ πλεονασμὸν αἵματος γίνεσθαι.

2 θηλείων. 3 οὐ τοιοῦτον Β. 7 κίττα Γ. 8 δέ τινες Γ. 9 ἄνευ, καὶ Γ. 9 κίττου Β. 11 ἐπιθυμῶσιν Β. 14 μετὰ τῆς κυήσεως, ἄνευ, τὴν Β. 14 πλάθος Β. 16 δὲ ΒΓ. 17 ταῦτα δὲ σημαίνει ΒΓ. ἄνευ, γίνεσθαι Γ.

[1] Γαληνὸς ἐν τῷ περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων φησίν· Ἐν δὲ τῷ κύειν οἱ σφυγμοὶ μείζονες καὶ πυκνότεροι καὶ ὠκύτεροι γίνονται, τὰ δὲ ἄλλα φυλάττουσι . . . αἰτιολογῶν διὰ τῶν δε· μηκέτι τῆς γυναικὸς ἑαυτῇ μόνον ἀναπνεῖν τε καὶ σφύζειν, ἀλλὰ καὶ τῷ κυουμένῳ δεομένης· ὥστε εὐλόγως ὠκύτεροι μὲν καὶ μείζονες ἔσονται καὶ πυκνότεροι, οὐ μὴν σφοδρότεροί γε ἢ ἀμυδρώτεροι· ἀλλαχοῦ δὲ ὁ αὐτὸς καὶ ἕτερον σημεῖον τοῦ γένους τοῦ κυομένου φησίν· ἐπὶ τῶν ἀρρένων ὡς ἐπὶ τὸ πολὺ ἐν τῷ δεξιῷ μᾶλλον περὶ τὰς ἑβδομήκοντα γίνεται ἡ κίνησις, τῶν δὲ θηλειῶν ἐν τῷ ἀριστερῷ περὶ τὰς ἐνενήκοντα . . . ἐν δὲ τῷ σώματι κίνησιν παρέχεται μᾶλλον ὡς ἐπὶ τὸ πολὺ τὸ ἄρρεν τοῦ θήλεος, καὶ τίκτεται θᾶττον, τὰ δὲ θήλεα βραδύτερον. XVII. Σελ. 444. τοῦ αὐτοῦ Γαληνοῦ· Πρὸς γνῶναι ἢ ἄρρεν ἢ θῆλυ τὸ ἐν γαστρί· Σέλινον μὴ γινωσκούσης ἐπὶ τὴν κεφαλὴν ἐπίθες, καὶ ὃ ἂν φωνήσῃ πρῶτον, εἴτε ἄρρεν, εἴτε θῆλυ, ἐκεῖνο τέξεται· ἀπαράβατόν ἐστιν· ἄλλο· λαβὼν τῆς ἐν γαστρὶ ἐχούσης οὖρον ὄρυξον βοθρίσκους δύο καὶ εἰς τὸν ἕνα βάλε κριθὰς καὶ εἰς τὸν ἕτερον πυροὺς καὶ ἐπίχεε γῆν μετὰ τὸ ἐμβαλεῖν τὸ οὖρον αὐτῆς, καὶ ἐὰν πρῶτον ἐκβλαστήσουσιν οἱ πυροί, ἄρρεν τέξεται, ἐὰν δὲ αἱ κριθαὶ θῆλυ.

τὸ γὰρ εἰωθὸς διὰ τῶν ἐν μήτρᾳ ἀγγείων κατὰ μῆνα ἀποκρίνεσθαι αἷμα, κωλυόμενον ὑπὸ τοῦ ἐμβρύου ἀνατρέχει πρὸς τὰ ἄνω μέρη, καὶ ἐνοχλεῖ τῷ στομάχῳ μάλιστα αἰσθητικωτάτῳ ὑπάρχοντι· ποικίλων δὲ καὶ ἀλλοκότων ἐπιθυμοῦσι πρὸς τὴν τῆς ἐπικρατούσης κακοχυμίας ἰδέαν. αἱ μὲν γὰρ ὀξέων, αἱ δὲ ἁλικῶν, αἱ δὲ γῆς· ἕτεραι ὀστράκων ἢ ἀνθράκων ἐσβεσμένων ἐπιθυμοῦσι. Παρατείνει δὲ ἡ κίττα ἐνίοτε ἄχρι τοῦ τετάρτου μηνός· κατὰ γὰρ τὰς ἀρχὰς ἐλάχιστόν τι τοῦ αἵματος ἀναλίσκεται εἰς τὴν τοῦ ἐμβρύου τροφήν, ὕστερον δὲ μείζονος γενομένου πλεῖον· καὶ οὕτω τοῦ μὲν αἵματος γινομένου καὶ χωροῦντος εἰς τὴν μήτραν εἰς τὴν τοῦ ἐμβρύου τροφήν, τῆς δὲ κακοχυμίας κενωθείσης διὰ τῶν ἐμέτων, ἄνεσις γίνεται τῶν προειρημένων συμπτωμάτων. Ἐφ' ὧν μὲν οὖν ἱκανῶς φαίνεται συνειλεγμένον αἷμα, ὀλίγα ἁρμόζει σιτία καὶ ἡ ναυτία εὔθετος καὶ ἡ ἀποσιτία, καὶ γυμνάσια γυναιξὶ πρέποντα διαφορεῖν δυνάμενα τὸ πλεονάζον·[1] ἐφ' ὧν δὲ δριμὺ ἢ ὀξῶδες ἢ ἁλικὸν ὑπάρχον ἀναδάκνει τὸν στόμαχον καὶ ἐκπυροῖ, εὔθετον χλιαρὸν ὕδωρ πινόμενον πρὸς τὸ εἰς ἔμετον ἐπεγεῖραι τὴν γαστέρα, καὶ ἄκριτον παρασκευάσαι τὸν ἐνοχλοῦντα χυμόν· σιτία δὲ μὴ ἄγαν γλυκέα ἔστω· οἶνος δὲ κιῤῥός, εὔοσμος, παλαιός, καὶ ὑποστύφων. τὸ μέντοι ὅλον ποτὸν ὀλίγον ἔστω πρὸς τὸ μὴ ἐπιπολάζειν τῷ στομάχῳ τὰ σιτία· ἁρμόδιον δὲ πρὸ τῶν σιτίων, ἐλαίας κολυμβάδας διδόναι μετ' ἄρτου κλιβανίτου ἁπαλοῦ δεόντως ἐσκευασμένου· καὶ ἀμύγδαλα πικρὰ πέντε ἢ ἑπτά, ἄλφιτα μετὰ χυλοῦ πυρίνων ἢ ῥοιᾶς πεφρυγμένα ἢ σέρεως χυλοῦ, ἀσπάραγον ἑλίτην, σίσαρον, καὶ τῶν πτηνῶν ὅσα μὴ καταπίμελα καὶ βρωμώδη· ὑῶν πόδας καὶ ῥύγχη καὶ μήτρας καὶ κοιλίας· ἐχίνους θαλασσίους προσφάτους· μετὰ δὲ τροφὴν δοτέον ἀσταφίδας καὶ ῥόας καὶ ἀπίους· σύμμετρα δὲ ἔστω ταῦτα τῷ πλήθει καὶ τὰ προειρημένα. Τὰς δὲ μὴ ἐσθίειν δυναμένας προτρέπειν εἰς ἐδωδήν, τά τε ποικίλα σιτία καὶ τὰ πρὸς ἡδονήν· τὰς δὲ γῆν ἐσθιούσας ὠφελεῖ μᾶλλον

---

3 ἄνευ, καί. 9 πλείονος δεῖται Γ. μείζονος Β. 13 συλλεγμένον Β. 14 ἄνευ, ἀποσιτία Α. ἄνευ, ναυτία ΒΓ. γυμνασία Β. 15 ἄνευ, δὲ Γ. 16 εὔχετον Γ. 18 χυλὸν Β. 24 πυρίνον ῥ. πεφρυγμένον Γ. 26 ἄνευ, ῥύγχη Γ. 27 ῥόας Β. 28 ἅπαντα. Γ. 30 ἡδονὰς Β. ἐσθιομένας Β.

---

[1] Κόποι τε ἐν μέτρῳ καὶ ἀποδημίαι· αἱ δὲ ἀταλαιπώρως εἰθισμέναι διαιτᾶσθαι, οὐ χρηστῶς φέρουσι κύουσαι τὰς ἐξαίφνης ἐπιπονωτέρας κινήσεις. Ζ.

τὸ ἄμυλον ἐσθιόμενον ἀντὶ τῆς γῆς, ἔστω δὲ καὶ πρόσφατον· πρὸς δὲ φάρμακον δοτέον ἀνδράχνης ἀπόβρεγμα, καὶ αὐτὴ ἐσθιομένη ὠφελεῖ, καὶ σικύου σπέρμα λελεπισμένον μεθ' ὕδατος πινόμενον· πολυγόνου ἀφέψημα πινόμενον καὶ ἀνήθου ὁμοίως, καὶ ῥέου ποντικοῦ, καὶ ναρδοστάχυος ἀπόβρεγμα· σέρεως χυλόν, καὶ αὐτὴ ἐσθιομένη συνεχῶς ὠμὴ καὶ ἑφθή· εἰ δὲ παχὺ εἴη τὸ ἐμούμενον καὶ διὰ γλισχρότητα δυσκόλως ἐκκρίνοιτο, διδόναι ῥαφανίδας μετ' ὀξυμέλιτος ἐσθίειν καὶ τάριχον, καὶ πάντα τρόπον μηχανητέον ἀλύπως καὶ δίχα σπασμοῦ ἐκκενωθῆναι τὸ λυποῦν. Βοηθεῖν δὲ προσήκει καὶ ἔξωθεν τῷ στομάχῳ ἐξησθενηκότι τοιούτοις· οἰνάνθη, βαλαύστιον, ῥόδα, κίτυνοι, μύρτοι, σμυρνίου καὶ μαράθρου σπέρμα μετ' οἴνου καταπλασθέντα προστίθενται. κηκῖδος, κυμίνου καὶ ἀψινθίου, φοινίκων σάρκας ἐν οἴνῳ ἑψημένας ἢ βεβρεγμένας λειώσαντες, μαλάγματος τρόπον ἐπιθήσομεν· ἢ μῆλα κυδώνια ἐν ὀξυκράτῳ ἐπιθέντες καὶ λεῖα ἀναληφθέντα κηρωτῇ ῥοδίνῃ ἢ ναρδίνῃ, ἢ ὀμφάκινον μετὰ κρόκου· οἰσυπηρά τε ἔρια ἢ ὀθόνιον οἰνελαίῳ ἢ ὀξελαίῳ, ἢ ῥοδίνῳ καὶ ὄξει ἢ ναρδίνῳ μετ' οἴνου βρέξας ἐπιτίθει τῷ στομάχῳ. Ἐπικουφίζει δὲ τοὺς καρδιωγμοὺς καὶ τὰς δήξεις καὶ τὸ ἐπιρροφεῖν συνεχῶς θερμοῦ ὕδατος μὴ ζέοντος, καὶ τὸ ἡσύχως βαδίζειν συνεχῶς, καὶ τὸ σκέπειν τὸ ὑποχόνδριον ἐρίῳ μαλακῷ, καὶ θάλπειν, συναλείφειν τε καὶ γυμνάζειν πρὸ τροφῆς τὰ κάτω μέρη πρὸς δύναμιν.[1]

ΠΡΟΣ ΤΑ ΓΙΝΟΜΕΝΑ ΤΑΙΣ ΚΥΟΥΣΑΙΣ ΠΕΡΙ ΤΟΥΣ ΠΟΔΑΣ ΟΙΔΗΜΑΤΑ.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Πρὸς δὲ τὰ συμβαίνοντα ταῖς κυούσαις περὶ τοὺς πόδας οἰδήματα ὄξει καὶ ῥοδίνῳ ἀνατρίβειν, ἐνίοτε δὲ καὶ ἅλας λεῖον συμπλέκοντας, ποιεῖ καὶ κιμωλία γῆ ἐπιχριομένη μετ' ὄξους. ἀγα-

4 *σπέρμα πολ. Γ.* 9 *δίχα σπαραγμοῦ Γ.* 11 *οἰνάνθη . . . μέχρι ἀψινθίου παραλ. ὁ Α.* 14 *κυδωνίας ΒΓ.* 15 *ἑφηθέντα Γ.* 16 *ὀμφακινός Β.* 17 *σὺν ἐλαίῳ Β.* 18 *ἐπιτίθου Β.* 20 *ἡσυχεῖν Α.* 23 *παρὰ τοὺς Γ.* 27 *ἅλας λείους Γ. ἁλῶν λείους Γ. ἡμ. διόρθ. ἅλας λεῖον. Ζερβ.*

[1] *Κατὰ Γαληνὸν ὅμως δεῖ εὖ μάλα σπουδάσαι καὶ ἑκάστου τούτων εἰδέναι τήν τε δύναμιν καὶ τὴν κρᾶσιν, τόντε καιρὸν καὶ τὸ μέτρον τῆς χρήσεως. Ζερβός.*

θὸν δὲ καὶ τοῦ ἐντὸς τῶν κυτρίων τὸ ἀφέψημα καταντλούμενον· καλὸν δὲ ἀνθίλην ὄξει βεβρεγμένην ἐπιδεῖν μετὰ φύλλων κράμβης ἐπικειμένων πλατέως.

ΠΕΡΙ ΕΠΙΜΕΛΕΙΑΣ ΤΩΝ ΚΥΟΦΟΡΟΥΣΩΝ ΑΣΠΑΣΙΑΣ.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Τῶν δὲ κυοφορουσῶν προνοητέον παραφυλαττομένους ἐπὶ τῶν προσφάτους συνειληφυιῶν, φόβους εἰσβάλλειν καὶ λύπας καὶ πᾶσαν ἰσχυρὰν ταραχὴν διανοίας· αἰώρας τε τὰς δι' ὀχημάτων, καὶ τὰ βίαια γυμνάσια, καὶ πνεύματος σφοδρὰς κατοχὰς καὶ πληγὰς κατὰ τῶν ἰσχίων, καὶ βάρος αἴρειν, καὶ πηδήματα καὶ σκληρὰς καθέδρας, καὶ δριμέων ἐδεσμάτων ἢ ἐμπνευματούντων προσφοράς, καὶ κλυστῆρας[1] δριμεῖς, καὶ ἔνδειαν καὶ πλεονασμὸν τροφῆς ἢ οἴνου, καὶ ῥύσιν αἵματος διὰ ῥινῶν, ἢ αἱμορροΐδων, ἢ ἑτέρου τόπου·[2] πάντα γὰρ ταῦτα βλαβερὰ ταῖς κυούσαις. χρηστέον δὲ τροφαῖς συμμέτροις, εὐχύμοις, εὐστομάχοις, αἰώρᾳ διὰ φορείου, περιπάτοις πραέσι, τρίψει μαλακῇ, ταλασιουργίᾳ. Περὶ δὲ τὸν ὄγδοον μῆνα, ὅστις βαρύτατος ὢν κοῦφος λέγεται, ὑποστέλλειν χρὴ τὴν τροφὴν καὶ τὰς σφοδρὰς κινήσεις περιΐστασθαι· εἰ δὲ καὶ ἡ κοιλία ἐπέχεται διὰ τὸ περιπιέζεσθαι τὸ ἀπευθυσμένον ὑπὸ τῆς μήτρας, διδόναι τροφὰς ὑπακτικὰς τῆς κοιλίας· οἷον πτισάνης χυλόν, λάπαθον ἑφθήν, μαλάχην, κνίδας. περὶ δὲ τὸν ἔννατον μῆνα συνεχέστερον τοῖς βαλανείοις χρῆσθαι, ἀναχαλασμοῦ χάριν τῶν σωμάτων καὶ τὸ ὅλον προνοητέον, ὅπως ἰσχύῃ ἡ τίκτουσα τὰς ὀδύνας ὑπομεῖναι.

Τίνας φασ τροφὰς ὑπακτικὰς τῆς κοιλίας

2 „καλὸν . . . μέχρι τέλους παραλ. *Α.* 7 προσφάτως *Γ.* εἰσβάλλοντας *Γ.* 10 ἄρσιν *Γ.* 13 χρῆσιν *ΒΓ.* 16 διαφορείου *Β.* 17 οὔτις *Β.* 18 περίστασθαι *ΒΓ.* 21 ἑφθὸν *ΒΓ.*

[1] Περὶ κλυσμῶν ἢ κλυστήρων ἁπαλῶν τε καὶ δριμέων, τῆς σκευασίας καὶ χρήσεως αὐτῶν ὅρα Γαλ. XVI. Σ. 144—147· ὃ δὲ περίεργον, καὶ ἐργαλεῖον εὕρηται ὁ κλυσμός, ὡς καὶ νῦν ἔτι καθωμίληται, ἐν τοῖς „Εὐπορίστοις" αὐτοῦ. Ἐργαλεῖον νεφριτικὸν, ἐργαλεῖον ἰσχιαδικὸν κλπ. XIV. Σελ. 227.

[2] Καὶ Ἱπποκρ. ἐν τῷ περὶ Γυν. τὸ πρῶτον· ὅσῃσιν ἐχούσῃσιν ἐν γαστρὶ ἐπιφαίνεται τὰ ἐπιμήνια, τρωσμοὶ γίνονται, ἢν πλέονα ᾖ καὶ κάκοδμα, ἢ νοσώδεα τὰ ἔμβρυα γίνεται. VIII. Σ. 72. Ἐν δὲ τοῖς ἀφορισμοῖς ὁ αὐτός· ἢν γυναικὶ ἐν γαστρὶ ἐχούσῃ αἱ καθάρσεις πορεύωνται, ἀδύνατον τὸ ἔμβρυον ὑγιαίνειν.

ΤΙΝΑ ΣΗΜΕΙΑ ΠΡΟΗΓΕΙΤΑΙ ΤΗΣ ΜΕΛΛΟΥΣΗΣ ΓΙΝΕΣΘΑΙ ΚΑΤΑ ΦΥΣΙΝ ΑΠΟΚΥΗΣΕΩΣ.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Παρέπεται δὲ ταῖς μελλούσαις ἀποτίκτειν βάρος ἤτρου καὶ ἐπιγαστρίου, καὶ πύρωσις τοῦ γυναικείου αἰδοίου· ἥ τε ὑστέρα προχωρεῖ τοῦ αἰδοίου, ὥστε ῥαδίως τὴν μαῖαν σημειουμένην ἅψασθαι αὐτῆς· καὶ διέστηκεν αὐτῆς τὸ στόμα μετὰ εὐαφίας καὶ καθυγρασμοῦ. ἐγγιζούσης δὲ τῆς ἀποτέξεως, συμπίπτει μὲν τὸ ὑπογάστριον, διογκοῦνται δὲ βουβῶνες καὶ ἐφήβαιον, καὶ συνεχὴς γίνεται πρὸς ἀπούρησιν προθυμία· φέρεται δὲ ὑγρὸν πλεῖστον εἶτα καὶ αἷμα ταῖς πλείσταις, ῥηγνυμένων τῶν ἐν τῷ χορίῳ λεπτῶν ἀγγείων.

ΤΙΝΑ ΔΕΙ ΠΑΡΑΙΝΕΙΝ ΤΑΙΣ ΚΑΤΑ ΦΥΣΙΝ ΤΙΚΤΟΥΣΑΙΣ.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Τίνα δεῖ προπαρασκευάζειν καὶ ὅπως βοηθεῖν ταῖς κατὰ φύσιν τικτούσαις, περιττὸν ἡγοῦμαι γράφειν, ἐξ ἔθους οὐ μόνον τῶν μαιῶν, ἀλλὰ καὶ τῶν ἄλλων γυναικῶν ταῦτα ἐπισταμένων ὅπερ δὲ ἐστὶν ἀναγκαῖον ἐπίστασθαι γραφήσεται. Παραινεῖν χρὴ ταῖς τεκτούσαις κατέχειν μὲν τὸ πνεῦμα, καὶ εἰς τοὺς κάτω τόπους τοῦτο διωθεῖν, καὶ μὴ κατὰ τὸν τράχηλον τοῦτο συνάγειν, ὡς ἔνιαι ποιοῦσι τῶν ἀπείρων. ἐκ τούτου γὰρ πολλαῖς βρογχοκῆλαι κατεσκευάσθησαν, ὅπερ ἐστὶν ἀνεύρυσμα τοπικόν· ἔστι δὲ ἀνίατος ἡ διάθεσις.

ΠΕΡΙ ΕΠΙΜΕΛΕΙΑΣ ΔΥΣΤΟΚΟΥΣΩΝ ΑΣΠΑΣΙΑΣ.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Δυστοκίας δὲ γενομένης καὶ μεμυκότων τῶν τόπων, ἀκτέον τὴν πάσχουσαν εἰς βαλανεῖον καὶ ἐμβιβαστέον τῇ θερμῇ δεξαμενῇ ἢ προκλύσμασι χρηστέον καὶ ἐγκαθίσμασιν ὀλισθον ποιεῖν δυναμένοις, καὶ διαχρίστοις· οἷον ἐλαίῳ χλιαρῷ, καὶ ᾠῶν τοῖς λευκοῖς ἀνακεκομμένοις, καὶ ἀφεψήμασι μαλάχης, τήλεως, λινοσπέρματος

---

1 τῆς κατὰ *B*. 4 ἄνευ, ἤτρου *BΓ*. 7 τὸ σῶμα *A*. 8 ἀποτήξεως *Γ* 8 ἄνευ, τῆς *BΓ*. 13 ἄνευ, ταῖς *B*. 18 ὅσπερ *A*. 20 ἄνευ, τοῦτο *Γ* 21 ἀπείρως *Γ*. 26 τόκων *BΓ*. 27 ἐμβιβατέον *AB*.

καὶ πτισάνης ἢ κηρωτῇ ὑγρᾷ διὰ κυπρίνου, μάλιστα δὲ καταχριστέον τοὺς τόπους καὶ τοὺς βουβῶνας· καὶ ἡ τῶν χελιδόνων δὲ καλιά, λέγω δὴ ἡ κοίτη διαλυομένη μετ' ἐλαίου καὶ ἐπιχριωμένη τῇ ὀσφύϊ κατὰ τῆς ῥάχεως ὄπισθεν, ταχεῖαν τὴν ἀπότεξιν ποιεῖται.[1] Φασὶ δὲ ὅτι καὶ τιθυμάλλου τοῦ μεγάλου ἡ ῥίζα εἰς ῥάκος λινὸν περὶ τὸν μηρόν ἐνδεσμουμένη βοηθεῖ σφόδρα, καὶ σύραξ ὁμοίως καὶ κορίανον χλωρόν καὶ πολυγόνου ἡ ῥίζα καὶ ἀλκυόνιον καὶ σικύου ἀγρίου σπέρμα· δεῖ δὲ, φασὶ, μετὰ τὴν ἀπότεξιν λύειν ταῦτα καὶ ἀφαιρεῖν εὐθέως. Μετὰ δὲ τὴν ἀπότεξιν, εἰ τὸ χορίον μὴ ἀποδοθείη, οὐ χρὴ ἀποσπᾶν βίᾳ ἀλλὰ πταρμόν κινεῖν, κατέχουσαν τὸ πνεῦμα καὶ ἀποφράττουσαν τὰς ῥῖνας καὶ τὸ στόμα. Εἰ δὲ χρονίζοι, συμπράττειν τῇ τούτου ἀποβολῇ καθὼς ἐν τοῖς μετὰ ταῦτα δηλωθήσεται.[2]

ΤΙΣΙΝ ΑΘΕΤΟΝ ΣΥΛΛΑΒΕΙΝ, ΚΑΙ ΕΓΧΡΗΣΤΕΟΝ ΕΠ' ΑΥΤΩΝ ΦΘΟΡΙΟΙΣ.

ΚΕΦΑΛΑΙΟΝ ις'.

Τινὲς τῶν γυναικῶν ἐν γαστρί λαμβάνουσαι, κινδυνεύουσιν ἐν ταῖς ἀποτέξεσιν ἢ διὰ στενότητα τοῦ τραχήλου τῆς ὑστέρας ἢ μικρᾶς ὅλης τῆς μήτρας ὑπαρχούσης καὶ μὴ δυναμένης ὑπουργεῖν μέχρι τελειώσεως ἢ κατὰ τὸ στόμιον τῆς μήτρας κονδύλωμα ἤ τι τοιοῦτον ἕτερον γιγνόμενον, κώλυμα γίνεται τῆς ἀποτέξεως, αἷς πολλῷ μὲν ἄμεινον ἐστὶ τὸ μὴ συλλαβεῖν, εἰ δὲ ἄρα συλλάβοι, βέλτιον ἐστὶ τοῦ ἐμβρυοτομηθῆναι τὸ φθεῖραι· διὸ ἀκόλουθόν ἐστι περὶ φθορίων διαλαβεῖν καὶ ἀτοκίων.

---

2 τοὺς πόδας Γ. 3 ἐπιχεομένη 7 κολιάνδρον Γ. 12 χρονίζει ΒΓ. 15 φθορίσις Β. 17 συλλαμβάνουσαι ΒΓ. 20 μετὰ τό στόμιον ΒΓ. 21 γινόμενον Β. 22 ἄμυλον Α.

---

[1] Καὶ Γαγάτης λίθος, φασί, τῇ ἀριστερᾷ κρατούμενος ἢ νυκτερίδος ὀστᾶ ταχεῖαν τὴν ἀπότεξιν ποιεῖται· Ζερβ. Ὀρφεύς δὲ ἐν τοῖς λιθικοῖς. Γαγάτης — — θηλυτέρη δ' εἴ κεν πολυφάρμακον ἀμφιβεβῶσα, καπνόν ὑπὸ σπλάγχνοισιν ἀναΐσσοντα δέχηται ἀθρόος ἔνδοθεν ὦκα μέλας καταλείβεται ἰχώρ, ὅστε γυναικεῖῃ νεάτῃ μίμνων ἐνὶ γαστρὶ κέκλεισται . . . XII. Σελ. 473.

[2] Ἀλλὰ καὶ σικύου τοῦ ἀγρίου, φασί, τὸ ἐκπηδῆσαν πρῶτον σπέρμα αὐτομάτως ἐκ τῶν βαλανίων τοῦ καρποῦ, ἔμβαλλε ἐρίῳ ἐκ τῶν μεσοκεράτων τοῦ κριοῦ καὶ ἀποδέσας ἔχε. Ἐπὶ δὲ τῇ χρείᾳ περίδησον ἐν τοῖς ἰσχίοις, καὶ ἐπειδὰν τέκῃ, ἄφελε. Πρός δὲ ἀριστολοχίας μακρᾶς λαβέ δάκτυλον καὶ ὑπόθες τῇ γυναικί περιβάλλων αὐτὴν καθαρίως, ἵνα μὴ διαπνέῃ ἀλλ' εἰς τὸ σῶμα αὐτῆς φέρηται ὁ ἀτμός, καὶ εὐθέως τέξεται, φασὶ, χωρὶς δυσκολίας. Ζερβός.

ΠΕΡΙ ΑΤΟΚΙΩΝ ΚΑΙ ΦΘΟΡΙΩΝ.

Ἀτόκιον δὲ φθορίου διαφέρει· τὸ μὲν γὰρ ἀτόκιον οὐκ ἐᾷ γίγνεσθαι σύλληψιν, τὸ δὲ φθόριον φθείρει τὸ συλληφθὲν καὶ ἐκβάλλει. Πρὸς μὲν οὖν τὸ μὴ συλλαβεῖν παραφυλάττεσθαι χρὴ μὴ συνουσιάζειν ἐν τοῖς ἐπιτηδείοις πρὸς σύλληψιν καιροῖς, οἷον ἀρχομένων ἢ ληγόντων τῶν καταμηνίων, ἐν δὲ τῷ καιρῷ τῆς συνουσίας ὅταν ὁ ἀνὴρ ἀποκρῖναι τὸ σπέρμα μέλλῃ, κατέχειν χρὴ τὸ πνεῦμα καὶ ἀφέλκειν ἑαυτὴν εἰς τὸ μὴ ἐν τῷ κύτει τῆς μήτρας ἀκοντισθῆναι τὸ σπέρμα, καὶ διεγερθεῖσαν εὐθέως καὶ ὀκλάξ καθίσασαν πταρμόν κινεῖν καὶ περιμάξασθαι τὸν κόλπον ἐπιμελῶς. Βοηθεῖ δὲ τῇ ἀσυλληψίᾳ καὶ τὸ προχρίειν τὸ στόμιον τῆς μήτρας μέλιτι ἢ ὀποβαλσάμῳ ἢ κεδρίᾳ κατ' ἰδίαν καὶ μετὰ ψιμμυθίου ἢ κηρωτῇ μυρσινίνῃ ὑγρᾷ ἐχούσῃ ψιμμύθιον ἢ στυπτηρίᾳ ὑγρᾷ ἢ χαλβάνῃ μετ' οἴνου. Τὰ γὰρ τοιαῦτα, εἰ μὲν στυπτικά εἴη καὶ ἐμπλαστικὰ καὶ ψυκτικά, μύειν παρασκευάζει τὸ στόμα τῆς ὑστέρας πρὸ τοῦ καιροῦ τῆς συνουσίας καὶ οὐκ ἐᾷ παρελθεῖν εἰς τὸν πυθμένα αὐτῆς τὸ σπέρμα.[1] Τὰ δὲ θερμά ἐρεθίζοντα, οὐ μόνον τὸ τοῦ ἀνδρὸς σπέρμα ἐναπομεῖναι τῷ κύτει τῆς μήτρας οὐ συγχωροῦσιν ἀλλὰ καὶ ἑτέραν ὑγρότητα ἐξ αὐτῆς ἕλκουσι· τοῦ γένους δὲ τῶν ἀτοκίων καὶ κωλυτικῶν τῆς συλλήψεως ἐστὶ καὶ τὰ τοιαῦτα.

Ἐπιτήδειοι καιροὶ συλλήψεως.

ΠΕΣΣΟΙ ΑΤΟΚΙΟΙ.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Ἀτόκια.

Πίτυος φλοιοῦ, ῥοός βυρσοδεψικοῦ, ἑκάστου ἴσον τρίβε μετ' οἴνου στεμφυλίτου καὶ προστίθει μετ' ἐρίου πρὸ τῆς συνουσίας,

3 γενέσθαι. 4 ἄνευ, ἐκβάλλει ΒΓ. 10 καθευθεῖσαν Γ. παραμάξασθαι Γ. 11 τὸ στόμα ΒΓ. 13—14 στυπτηρίαν ὑγρὰν ΒΓ. 15 ψυκτικὰ εἴη ΒΓ. περισκευάζει Α. 17 ἄνευ, τὰ δὲ θερμὰ Α. 20 κοτυλικῶν Γ. ἐμποδιζόντων Β. 24 πιτύος Γ.

[1] Καὶ Ἱπποκρ. μὲν φησίν· ἡ δὲ γονή τοῦ ἀνδρός ἔρχεται ἀπὸ παντός τοῦ ὑγροῦ τοῦ ἐν τῷ σώματι ἐόντος, τὸ ἰσχυρότατον ἀποκριθέν. Ἀριστοτέλης δὲ σπέρμα εἶναι, φησί, τὸ περίττωμα τροφῆς καὶ τῆς ἐσχάτης ἤτοι αἷμα ἢ τὸ ἀνάλογον· Πυθαγόρας ἀφρόν τοῦ χρηστοτάτου αἵματος ἢ περίττωμα τῆς τροφῆς. Ἀλκμαίων ἐγκεφάλου μέρος· Πλάτων τοῦ νωτιαίου μυελοῦ ἀπόρροιαν. Ἐπίκουρος ψυχῆς καὶ σώματος ἀπόσπασμα. Δημόκριτος ἀφ' ὅλου τοῦ σώματος καὶ τῶν σαρκῶν, ὀστῶν καὶ ἰνῶν τὸν γόνον ἀπορρεῖν, Διοκλῆς δὲ ἀπόρροιαν ἐγκεφάλου καὶ νωτιαίου. Ζερβός.

καὶ μετὰ ὥρας β. ἀφαιροῦσα ἡ γυνὴ συνουσιαζέτω. Ἄλλο. Σιδίων[1] νεαρῶν τὸ ἐντὸς λεάνας μεθ' ὕδατος προστίθει. Ἄλλο. Σιδίων μέρη δύο, κηκίδων μέρος ἕν, λειώσας ἀνάπλασσε βαλάνια μικρὰ καὶ ὑποτίθει μετὰ τὴν λῆξιν τῶν καταμηνίων. Ἄλλο. Κηκίδων δραχ. γζ΄. σμύρνης δραχ. β΄. ἀνάπλασσε μετ' οἴνου ὀρόβων μέγεθος καὶ ξήραινε ἐν σκιᾷ, καὶ πρὸ τῆς συνουσίας δίδου προστίθεσθαι τῷ πεσσῷ. Ἄλλο. Ἰσχάδων σάρκας λειώσας μετὰ νίτρου προστίθει. Ἄλλο. Κυτίνων δραχ. β΄. κηκίδων δραχ. β΄. ἀψινθίου δραχ. α΄. λειώσας ἀναλάμβανε κεδρίᾳ[2] καὶ ἀνάπλασσε κριθῆς μεγέθη καὶ προστίθει μετὰ τὴν λῆξιν τῶν καταμηνίων εὐθέως ἐφ' ἡμέρας β΄. καὶ μενέτω ἄλλην μίαν ἡμέραν καὶ οὕτως εἰ βούλοιτο, ἀνδροκοιτείτω, πρὶν δὲ μή· ἔστι δὲ ἀδιάπτωτον ἐκ τῆς πολλῆς πείρας. Πινόμενος δὲ κωλύει τὴν σύλληψιν ὀπὸς κυρηναϊκὸς ὅσον ἐρεβίνθου μέγεθος μετὰ κυάθων δύο κράματος, διδόναι δὲ τοῦτον ἅπαξ τοῦ μηνός, κινεῖ γὰρ καὶ τὸ καταμήνιον. Ἄλλο. Ὀπόν κυρηναϊκόν, ὀποπάνακα, πηγάνου φύλλα,[3] ἴσα λειώσας ἀνάπλασσε καὶ παραπλάσας χυλῷ δίδου καταπίνειν κυάμου μέγεθος καὶ ἐπιρροφείτω οἶνον κεκραμμένον· κινεῖ καὶ καταμήνια. Ἄλλο. Ἀλόης δραχμ. α΄, λευκοΐου[4] σπέρμα, τριωβόλου ζζ δραχ. πεπέρεως, κρόκου β΄. δίδου μετ' οἴνου τὸ ὅλον μερίσας εἰς δόσεις τρεῖς· δίδου δὲ μετὰ τὴν λῆξιν τῶν καταμηνίων εὐθέως. Ἀτόκιον δὲ ἐστὶ καὶ τὸ τῶν χαλκέων ὕδωρ ἐν ᾧ σίδηρος ἀποσβέννυται, συνεχῶς πινόμενον καὶ μάλιστα μετὰ τὴν λῆξιν τῶν καταμηνίων εὐθέως.[5] Ἐφεξῆς δὲ λεύκης τοῦ δένδρου τῆς ῥίζης δραχ. α. μετὰ τοῦ ὕδατος κοτύλης τὸ ζ ἐξ ἀφέδρου οὔσῃ, πάρεχε πιεῖν ἅπαξ μόνον τοῦ

Ἀτόκια.

Πόμα πρὸς τὰ τοιαῦτα

1 ἄνευ, γυνὴ Γ. συνουσιαζέσθω Β. 2 ἐντίθει ΒΓ. 3 μέρος ΒΓ. 3 κεκίδων Γ. 5 ἄνευ, μετ' οἴνου ΒΓ. 9 κριθοῦ μεγέθει Β. 10 λῆψιν Β. 11 βούλει ΒΓ. ἄνευ, ἀνδροκοιτείτω ΒΓ. 15 ἄνευ, ἄλλο Α. ὀποῦ κλπ. ΒΓ. 16 καὶ ἀνάπλασσε Β. 17 κηρῷ Γ. πηλῷ Α. 19 ἐριόβολον ΒΓ. 20 μίρισας Β. ἄνευ, δὲ Α. 25 „παρέχε" ΑΒΓ. ἡμ. διόρθ. „πάρεχε" Ζερβ.

[1] Καρπός τῆς σίδης, ῥοιᾶς καὶ ῥόας ἄλλως καλουμένης, Λατ. malum punicum. Ζερβ.

[2] Ἡ ἐκ κέδρου ῥητίνη.

[3] Διοσκορίδης δὲ φησί· Πήγανον — — πινόμενον ὠφελεῖ ἐπιληπτικοῖς — — κινεῖ δὲ καὶ καταμήνια, τὰ δὲ ἔμβρυα φθείρει. Περ. ὕλ. Ἰατρ. βιβλ. Γ΄. Σελ. 394. I.

[4] Λευκόν ἴον, κ. μενεξές.

[5] Ἅπαν τὸ μέρος τοῦτο „Ἐφεξῆς δὲ κλπ. μέχρι τῶν φθορίων Ἀσπασίας" παραλείπει ὁ Β. κῶδιξ.

μηνός. Ἀσύλληπτον. Ἧπαρ γαλῆς ἐν σωλῆνι εἰς τὸν ἀριστερὸν πόδα ἢ τοὺς ὄρχεις τοῦ ζῴου αὐτοῦ ἐν σωλῆνι περὶ τὸν ὀμφαλὸν φορείτω. Ἄλλο. Στέαρ λεοντείας μήτρας ἐν κυθριδίῳ ἐλεφαντίνῳ φορείτω, ἔστι γὰρ ἐνεργέστατον· ἢ ψιμμύθιον μετ᾽ ἐλαίου ἐν πεσσῷ πρὸ μίξεως ἐντιθέτω, ἢ καὶ μᾶλλον κυτίνων ῥόας καὶ σιδίων καὶ κηκίδων καὶ ὀμφακοῦ ἀνὰ δραχ. β΄. ἀψινθίου δραχ. α΄. ἀναλαβὼν κεδρίᾳ καὶ ποιῶν κριθῆς μέγεθος, προστίθει μετὰ

Ἄλλο. ἀφέδρου ἡμέρας β΄. καὶ οὐ συλλήψεται. Ἄλλο ἀτόκιον. Ὅσον χρόνον βούλει ἀσύλληπτον μένειν αὐτὴν, τόσους κόκκους κισσοῦ μελανθέντας μετὰ ἀφέδρου δός εἰς εὔκρατον πίνειν, ἢ ὑοσκυάμου σπέρμα πρὶν εἰς τὴν γῆν πεσεῖν ἐκ τῆς βοτάνης ἀνελὼν, λείου γάλακτι ὀνείῳ μετὰ σμύρνης ὀλίγης καὶ ἑνὸς κόκκου κισσοῦ μέλανος ἢ τῶν κορύμβων, καὶ ἐνδύσας λαγείῳ ἢ ἡμιόνου δέρματι φορείτω ἢ ἀπὸ ἐλάφου· μὴ θίγῃ δὲ τῆς γῆς τὸ σύνολον τὸ περιαφθέν· ἢ ὕδωρ χαλκείου νήστει πότιζε ψυχρὸν μετὰ ἀφέδρων

Ἄλλα. Ἄλλο. Χρῶ τῷ ζέματι τοῦ φλοιοῦ τῆς ἰτέας συνεχῶς μετὰ χρυσαττικοῦ[1] διὰ τὸ πικρὸν. Ἄλλο. Ὀδόντα παιδὸς πρῶτον πεσόντα γῆς μὴ θίγοντα, περικείσθω ἡ γυνὴ δακτυλίῳ ἢ τὸν ἐκ λατομίου σκώληκα περίαμμα. Ἄλλο διὰ πείρας. Ὑοσκυάμου σπέρμα λειώσας σὺν γάλακτι ἵππου ἡμιόνιον τρεφούσης, ἔνδυσον ἐν ἐλαφείῳ δέρματι καὶ περίαπτε ἀριστερῷ βραχίονι καὶ φυλάττου μὴ χαμαὶ πέσῃ· καὶ κόρεως[2] δὲ τοῦ σπέρματος τῆς βοτάνης καταπινομένου ἐπὶ ἐνιαυτὸν ἄτοκον διαφυλάττει. Ἄλλο. Ὁ ἀνὴρ τινὶ τῶν στυπτικῶν χριέσθω, οἷον [στυπτηρίᾳ] σχιστῇ ἢ σιδίου ἢ κηκίδων μετὰ ὄξους λειωθέντων, ἅλμῃ προανιψάμενος καὶ οὐ γονοποιήσει ἔστι δὲ ὡς ἐπὶ τὰ σπληνικὰ πάντα βοηθήματα ἀσύλληπτα. Ποιοῦσι δὲ καὶ ὄρχεις εὐνουχισθέντων ἡμιόνων κεκαυμένοι καὶ μετὰ ζέματος ἰτέας πινόμενοι.

5 προσμίξεως Β. 7 κεδρίαν Β. 10 μελανθέντος Γ. 17 μέλιτος ἀττικοῦ Γ. 19 περίαμον. Β. 20 ἱππείῳ ΑΒΓ. ἡμ. διόρθ. ἵππου. Ζερβ 22 κορίας ΑΒΓ. ἡμετέρ. διόρθωσ. κόρεως, Ζερβ. 24 ἄνευ, στυπτηρίᾳ, ἄμφω οὔτε ΑΒ καὶ Γ. ἡμετέρα προσθήκη ἐστὶ τὸ „στυπτηρία" πρὸς συμπλήρωσιν τῆς ἐννοίας τοῦ κειμένου. Ζερβ. 27 εὐνουχισθέντος ΑΒΓ. ἡμετ. διόρθωσις, εὐνουχισθέντων, Ζερβ. ζεμίτος Β.

[1] Χρυσαττικοῦ μέλιτος.

[2] Διοσκορίδης ἐν τῷ περὶ ὕλ. Ἰατρ. Ἀρτεμισία — — ἀποζεννυμένη ἁρμόζει εἰς γυναικεῖα ἐγκαθίσματα, πρός ἀγωγὴν ἐμμήνων καὶ δευτέρων καὶ ἐμβρύων λύσιν τε καὶ φλεγμονὴν τῆς ὑστέρας. I. Σελ. 464.

ΦΘΟΡΙΑ ΑΣΠΑΣΙΑΣ.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Εἰ δὲ ἀμελήσασα ἡ πρὸς τὸ συλλαβεῖν ἀνεπιτήδειος οὖσα γυνὴ συλλάβοι, τὸ μὲν πρῶτον ἕως ἡμερῶν λ. τὰ ἐναντία οἷς ἔμπροσθεν εἰρήκαμεν ἐν τῇ ἐπιμελείᾳ τῆς κυοφορούσης προσάγειν. Παραινοῦντες σφοδρότερον κινεῖσθαι καὶ πηδᾶν καὶ βαστάζειν τὰ εἰς δύναμιν βάρη, ἀφεψήμασι δὲ διουρητικοῖς χρῆσθαι τοῖς δυναμένοις καὶ τὰ καταμήνια κινεῖν καὶ τὴν γαστέρα λαπάττειν, καὶ κλύζειν δριμυτέροις κλύσμασι· τρίβειν τε ἐπιγάστριον καὶ ἐφήβαιον καὶ ὀσφὺν ἐν λουτρῷ καθ' ἡμέραν καὶ ἐγχρονίζειν χλιαρωτέρᾳ τῇ ἐμβάσει καὶ ἐγκαθίζειν εἰς ἀφέψημα τήλεως, ἀλθαίας, ἀρτεμισίας, καὶ ἐγχυματίζειν ἐλαίῳ παλαιῷ κατ' ἰδίαν καὶ μετὰ πηγάνου χυλοῦ καὶ μέλιτος. Κἂν ἐπιμένῃ καταπλάσσειν τὸ ὑποχόνδριον καὶ τὴν ὀσφὺν θερμίνῳ ἀλεύρῳ μετὰ χολῆς ταυρείας καὶ τοῖς παραπλησίοις ἐπιθέμασι χρῆσθαι, ἅ καὶ εἰσὶ ταῦτα· κυκλαμίνου, ἐλατέρος, ἀρτεμισίας ἀνὰ δραχ. ε'. ἀψινθίου, κόκκου κνίδου ἀνὰ δραχ. ι'. νίτρου δραχ. η'. σικύου ἀγρίου ῥίζης δραχ. ε'. ὀποπάνακος δραχ. α'. θέρμων πικρῶν, χελιδονίου ῥίζης, λευκοΐου σπέρμα ἢ τῆς ῥίζης ἀνὰ δραχ. στ'. κυπρίνου ἐλαίου τὸ ἀρκοῦν εἰς τὸ ἔμπλαστρον ποιῆσαι τὸ φάρμακον. Πυριάσας δὲ τὸ ὑπογάστριον ἀφεψήματι ἀρτεμισίας ἐπιτίθει, καὶ κατὰ τῆς ὀσφύος ἐπικειμένου τοῦ ἐπιθέματος δίδου ἐντίθεσθαι τῷ κόλπῳ ἰσχάδας μετὰ νίτρου ἤ τι τῶν παραπλησίων ἢ διαχριέσθω κεδρίᾳ μετ' ἐλαίου παλαιοῦ. Ἁπλοῦν δὲ ἐστὶ δόκιμον κυπαρίσσου φύλλα ἑφθά λειωθέντα καὶ ἀπὸ λουτροῦ καταπλασσόμενα τῇ γαστρί πρὸς κοίτην, μενέτω δὲ ὑπτία ὅλην τὴν νύκτα κειμένη· ἢ ὀποπάνακος κολλύριον ποιήσας ἔνθες ἢ σκορόδων λέπη[1] καὶ τρίχας ἀνδρῴας ὑποθυμία. Μὴ διαλυομένου δὲ πρὸς ταῦτα τοῦ σπέρματος ἐπὶ τὰ δραστικώτερα τῶν φθορίων δεῖ παραγίνεσθαι, μὴ ὡς

---

3 *πρὸ τοῦ Α.* 4 *συλλάβῃ ΑΒ.* 5 *ἐπιμέλεια Β.* *χρὴ προσάγειν Γ.* 7 *οὐρητικοῖς Β.* 8 *ἄνευ, τοῖς Α.* *ἄνευ, τὰ ΒΓ.* *κατάμηνία Α.* *καταμηνία ΒΓ.* *ἡμ. διόρ. καταμήνια. Ζερβ.* 9 *λαπάττειν Β.* *δὲ, ἀντὶ, τὲ Β.* 11 *χλιαρώτερον ΒΓ.* 13 *ἐπιμένει Β.* *καταπάσσειν ΑΒ.* 18 „*θερμῶν*“ *ἅπαντες οἱ κώδικ. ἡμ. διόρθ.* „*θέρμων*“ *Ζερβ.* 18 *χελιδόνος ΒΓ.* 20 *προπυριάσας Γ.* 21 *ἐπιτίθει δὲ Γ.* 23 *κεδρίαν Α.* 24 *ἁπλοῦν δὲ μέχρις, ὑποθυμία, παραλ. Α.* 28 *πρὸς τούτων Β.*

[1] *Πεδ. Διοσκορίδ. περ. ὕλ. Ἰατρ. Σκορόδου — — τῆς κόμης τὸ ἀπόζεμα ἐγκάθισμα ἐμμήνων καὶ δευτέρων ἀγωγόν.* I. *Σελ.* 292.

ἔτυχε· κινδυνώδης γάρ ἐστι πᾶσα ἐμβρύου φθορά, καὶ μάλιστα ὅταν ἰσχυρά τῷ σώματι ἡ γυνή τύχῃ καὶ σκληροτέραν καὶ πυκνοτέραν τὴν μήτραν ἔχουσα. Διὸ φυλάττεσθαι μὲν χρὴ τὸν δεύτερον μῆνα καὶ τὸν τέταρτον, κατὰ γάρ τινα φυσικὸν λόγον, δυσαρεστησίαι καὶ νωθρεῖαι καὶ πρὸς τό νοσεῖν ἐπιτηδειότητες κατὰ τὸ πλεῖστον ἐν τοῖς ἀρτίοις γίνονται μησίν· αἱρεῖσθαι δὲ ἕνα χρόνον τὸν τοῦ τρίτου μηνός, μήτε δὲ πρότερον μήτε ὕστερον. Τὴν δὲ μέλλουσαν φθείρειν χρὴ πρὸ ἡμερῶν τινῶν ὀλίγῃ χρῆσθαι τροφῇ, λουτροῖς τε συνεχέσι καὶ πεσσοῖς μαλακτικοῖς, καὶ οἴνου ἀπέχεσθαι, εἶτα φλεβοτομεῖν καὶ πλέον ἀφαιρεῖν. Γυνὴ γὰρ ἐν γαστρὶ ἔχουσα καὶ φλεβοτομηθεῖσα ἐκτιτρώσκει, φησίν Ἱπποκράτης. Εἶτα μετὰ δύο ἡμέρας ἢ τρεῖς εἰ ἐπιμένοι, ἐμέσασα ἀπὸ δείπνου λαμβανέτω νῆστις λινοζώστεως θηλείας[1] φύλλα ἑφθά μετ' ἐλαίου καὶ γάρου[2] ἠρτυμένα καὶ ἐπιρροφείτω τὸν ζωμόν, πινέτω δὲ καὶ ἀγαρικοῦ μεθ' ὑδρομέλιτος ἢ λευκοΐου σπέρματος δραχ. α'. ἢ ἀρτεμισίας ἢ δικτάμνου ἢ γεντιανῆς ἢ καστορίου ἀνὰ δραχ. α'. ἀμμωνιακοῦ θυμιάματος ἢ σμύρνης ἢ δαφνίδος μετὰ ὑδρομέλιτος ἢ θύμου κορύμβων δραχ. ι'. ἢ χολῆς ταυρείας ψυγείσης ἀνέσας λεπτοκαρύου μέγεθος, εἰς οἶνον εὐώδη πότιζε· ταῦτα καὶ τὰ θνήσκοντα τῶν ἐμβρύων ἐκβάλλει. Ἐλπὶς μὲν οὖν ὑπὸ τούτων φθοράν τοῦ συνειλημμένου γίνεσθαι· εἰ δὲ μήγε, μοχλευθήσεται διὰ τῶν ὑπογεγραμμένων. Δεῖ δὲ πρὸ τῶν πομάτων καὶ τῶν τῇ ὑστέρᾳ προσαγομένων φθορίων πταρμόν κινεῖν, προσάγοντας ταῖς ῥισὶ τινὰ τῶν δραστικώτερον πταρμόν κινούντων.

Φησίν Ἱπποκράτης ὅτι γυνὴ ἐν γαστρὶ ἔχουσα καὶ φλεβοτομηθεῖσα ἐκτιτρώσκει.

Τίνα ἐκβάλλει καὶ τὰ θνήσκοντα τῶν ἐμβρύων.

ΠΕΣΣΟΣ ΦΘΟΡΙΟΣ ΑΣΤΑΛΗΣ.

Ἴρεως, χαλβάνης, κόκκου κνιδείου, τερεβινθίνης ἀνὰ δραχ. α'. μετὰ σουσίνου καὶ ῥοδίνου καὶ κυπρίνου ἴσων ἀναληφθέντων,

---

2 *τυγχάνει Γ.* 3 *δι' ἐμφυλάττεσθαι Β. διαφυλάττεσθαι Γ.* 5 *πρόςτόνωσιν ΑΒ.* 7 *ἄνευ, τοῦ Β. μετὰ δὲ πρ... Β.* 8 *φθεῖραι Β.* 12 *ἐπιμένει ΒΓ.* 13 *ἐμέσα Α.* 16 *ἢ δικτάμνου μέχρις, ὑδρομέλιτος, παραλ. Α.* 18 *κορύμβους Γ.* 20 *„ποτίζε" τὰ κείμενα ἡμετ. διόρθ. „πότιζε" Ζερβ.* 22 *μέγα Β.* 24 *δραστικωτέρως Β.* 25 *ἀσταλός Β. ἀσθαλής Γ.*

---

[1] *Πεδ. Διοσκορίδης ἐν τῷ περ. ὕλ. Ἰατρ. Λινοζώστεως . . . τὰ μὲν τῆς θηλείας φύλλα, δοκεῖ, λεῖα πινόμενα καὶ προστιθέμενα μετὰ τὴν κάθαρσιν τοῖς αἰδοίοις, σύλληψιν θήλεως ποιεῖσθαι.* I. *Σελ.* 682.

[2] *Συνήθως τὸ ἐν ταριχευτοῖς ὀψαρίοις ἁλμυρόν ὕδωρ, ἔτι δὲ καὶ τὰ τῶν ἰχθύων ἡλατισμένα σπλάγχνα οὕτω καλοῦνται. Ζερβ.*

προλουσαμένη προστιθέσθω καὶ διακρατείτω δι' ὅλης τῆς νυκτός, ἔωθεν δὲ ἐγκαθιζέτω εἰς ἀφέψημα τήλεως καὶ ἀρτεμισίας. Καὶ εἰ μὴ ὑπακούοι μετὰ τὸ λουτρόν ἕτερον ὑποτιθέναι, λευκοΐου σπέρμα, νίτρον καὶ ἀψίνθιον ἐν ἐρίῳ μετ' οἴνου. Ἄλλο. Πηγάνου φύλλων, σμύρνης, δαφνίδων ἀνὰ δραχ. β'. μετ' οἴνου προστίθει.

ΚΟΛΛΥΡΙΟΝ ΑΛΥΠΩΣ ΕΚΒΑΛΛΟΝ ΤΡΙΜΗΝΙΑΙΑ.

Καρδάμου σπέρματος, λευκοΐου, σμύρνης, ἀψινθίου, ἀνὰ δραχ. α'. ὕδατι ἀναπλάσας κολλύριον προστίθει λουσαμένη, πινέτω δὲ ἐν τῷ προστίθεσθαι γλήχωνος ἀφέψημα. Ἄλλο δόκιμον. Ἀβρότονον[1] ὅσον βούλει ἑψήσας σὺν ὕδατι ἕως ὅλον τὸ ὕδωρ ἀναλωθῇ, ἐκπιέσας εὑρήσεις ὑποκάτω ὑγρόν μελιτώδη ὑγράν σύστασιν ἔχον· τοῦτο ἐρίῳ ἀναλαβών δίδου προστίθεσθαι. Χρῶ δὲ καὶ τοῖς πρὸς τὰ ἐπεχόμενα ἔμμηνα ἀναγραφησομένοις βοηθήμασι καὶ τοῖς ἐπιθέμασι,[2] φασὶ δὲ καὶ κόπρον περιστερᾶς θυμιωμένην ἐκβάλλειν. Κόκκοι τε ἀγριοσικύου εἰς φάρος ὑποδεχθέντες αὐτόματοι ἐκθρώσκοντες, ἵνα γῆν μὴ θίγωσι, περιαπτόμενοι φθόριον.

ΤΙΝΑ ΠΡΟΗΓΕΙΤΑΙ ΣΗΜΕΙΑ ΜΕΛΛΟΥΣΗΣ ΓΙΝΕΣΘΑΙ ΦΘΟΡΑΣ.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Μελλούσης δὲ γίνεσθαι τοῦ ἐμβρύου φθορᾶς, προηγεῖται κένωσις ὑδατώδης εἶτα ἰχωρώδης ἢ ὕφαιμον ὑγρόν καὶ οἷον ἀπόπλυμα κρεῶν. Ὅταν δὲ πρὸς τῇ λύσει ὑπάρχῃ, αἷμα καθαρόν ἐπὶ τέλει δὲ θρόμβοι, εἶτα αὐτοῦ τοῦ ἐμβρύου ἔκκρισις ἢ τετυπωμένου ἢ ἀδιατυπώτου. Ταῖς δὲ πλείσταις βάρος καὶ πόνος ὀσφύος καὶ ἰσχίων καὶ ἤτρου καὶ κεφαλῆς καὶ ὀφθαλμῶν, στομάχου δῆξις, περίψυξις, λειποθυμία, φρικώδης πυρετός, ἐνίαις

1 προστίθεσθαι Β. 3 ὑπακούει Β. λευκίου Α. 6 ἐμβάλλον Β. 11 ἐκπιάσας Γ. μελιτῶδες Γ. 12 τούτῳ Β. 13 ἀναγραφομένοις Β. 14 βοηθήμασι, μέχρι φθόριον, παραλ. Α. 15 θυμιωμένης Β. ἀντὶ δὲ, τὲ ΑΒΓ. ἡμ. διόρθ. τὲ Ζ. 15—16 ὑποδεχθέντας Β. θιγῶσι Β. 23 τοῦ ἐμβρύου αὐτοῦ Β. 26 παράψυξις Β. ἄνευ, φρικώδης Γ.

[1] Διοσκορίδης δὲ· Ἀβρότονον — — δύναμιν ἔχει θερμαντικὴν, ποιοῦσαν πρὸς τὰς ἐν ὑστέρᾳ μύσεις καὶ σκληρίας, ἄγον ἔμμηνα καὶ δεύτερα. Περὶ ὕλης Ἰατρ. Ι. Σελ. 63.

[2] Ἅπαν τὸ μέχρι τοῦ τέλους τοῦ κεφ. τούτου παραλείπει ὁ Α. κῶδιξ.

δὲ καὶ σπασμοὶ ἐπιγίνονται ὀπισθοτονικοὶ ἢ ἐπιληπτικοί. Ταῦτα
δὲ μάλιστα παρέπεται ταῖς ἐκ φαρμακείας φθειρούσαις, ταῖς δι
χωρίς τινος φαρμακείας ἐκτιτρωσκούσαις προηγεῖται, καθὼς
Ἱπποκράτης φησί, παράλογος μαστῶν ἴσχνωσις,[1] μηρῶν ψύξις
βάρος ἐγκαθήμενον ὀσφύϊ καὶ μηροῖς. Πρὸς δὲ τὸ φθείρει
ἀλυπότερον διατίθενται, αἷς ὑγιεινότερόν ἐστι τὸ σῶμα καὶ ἡ
κοιλία φυσικῶς εὔλυτος καὶ οἱ κατὰ τὴν ὑστέραν τόποι κάθυγρο
καὶ τὸ πολλάκις τετοκέναι ἀλύπως μεγάλα βρέφη καὶ αἱ προβε
βηκυῖαι ταῖς ἡλικίαις καὶ αἱ ὀλίγαιμοι καὶ οὐ πιμελώδεις.

ΟΠΩΣ ΔΕΙ ΣΥΝΕΡΓΕΙΝ ΤΗ ΑΠΟΒΟΛΗ ΤΟΥ ΦΘΕΙΡΟΜΕΝΟΥ ΕΜΒΡΥΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Κ΄.

Δεῖ δὲ μετὰ τὸ ἀπολυθῆναι τὸ ἔμβρυον, εἰ ἐπέχοιτο ἐν τῷ
τραχήλῳ τῆς ὑστέρας, ἐγχυματίζειν κυπρίνῳ συντετηκυῖαν ἔχοντ
τερεβινθίνην καὶ ὅλον τὸ σῶμα μάλιστα δὲ τὰ περὶ τὴν ὑστέραν
καὶ μετὰ τὴν ἔκκρισιν αὐτοῦ τοῖς διὰ τοῦ κυπρίνου ἐλαίου ἐγ
χυματισμοῖς χρῆσθαι· εἰ δὲ μὴ ὑπακούει, ἐγκαθίζειν εἰς ἀφέψημα
ἀρωμάτων καὶ πταρμοὺς κινεῖν καὶ ὑποθυμιᾶν ῥητίνην ξηράν
ἄσφαλτον, πρόπολιν,[2] χαλβάνην, καρκίνους ποταμίους ξηρούς
ταῦτα δὲ καὶ τὰ τοιαῦτα ποιητέον, εἰ μὴ φλεγμονὴ ἐπιγένοιτο
Φλεγμονῆς γὰρ παρούσης, τοῖς χαλᾶν καὶ παρηγορεῖν δυναμένοι
ἐγκαθίσμασιν ἀρκεῖσθαι, εἰ δὲ δι' αὐτὴν τὴν μύσιν τῆς ὑστέρα
χωρὶς φλεγμονῆς ἐγκατέχεται τὸ ἔμβρυον, καὶ τοῖς ἐσκελετευμένοι
σπόγγοις ἢ παπύροις χρῆσθαι, πρῶτον μὲν ἰσχνοτέρους ἐντι
θέναι ὕστερον δὲ ἁδροτέρους, κεχρισμένων τῶν ἄκρων ὀποπάνακ
ἢ τῇ ῥίζῃ αὐτοῦ μετὰ μέλιτος ἢ τερεβινθίνης. Ἐκκριθέντος δὲ το

---

2 φθορούσαις ΒΓ. 4 παραλόγος Γ. 6 ἀλυπότερα Γ. 7 τόκοι
9 καὶ αἱ πιμελώδεις ΒΓ. 13 ἢ ἐπέχοιτο Β. 14 συντηχτικυίαν Β. 17 ὑπα
κούει Β. 20 ἐπιγίγνοιτο Γ. 22 διὰ τὴν μύσιν — — Β. 23 ἐσκελευτο
μένοις Β. 24 ἰσχνοτέρως Α. 26 ἄνευ, τερεβινθίνης Α. τερεβινθίναν

---

[1] Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἢν οἱ μασθοὶ ἐξαίφνης ἰσχνοὶ γίνωνται, ἐκτι
τρώσκει· καὶ κατωτέρω· Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἢν ὁ ἕτερος μασθὸς ἰσχν
γένηται, δίδυμα ἐχούσῃ, θἄτερον ἐκτιτρώσκει· καὶ ἢν μὲν ὁ δεξιός γένηται,
ἄρρεν· ἢν δ' ὁ ἀριστερός τὸ θῆλυ. Ἱπ. Ἀφορισμ. 37—33. IV. Σελ. 544.

[2] Ἡ ἐκ τῶν ἀνθέων ὑπὸ τῆν μελισσῶν συλλεγομένη ῥητινώδης ἢ κομμιώδ
οὐσία κοιν. μελισσοκόμμι ἢ πισσόκηρος. Ζερβ.

ἐμβρύου, εἰ μὴ ἀπολελυμένον εἴη τὸ χορίον, οὐ χρὴ βίᾳ ἐναποσπᾶν οὐδὲ μὴν ἀποκόπτειν τὸν ὀμφαλὸν καὶ καταλείπειν τὸ χορίον, πνιγμοί γὰρ ἔσχατοι καὶ κίνδυνοι ἐπακολουθοῦσι, τούτου γινομένου. Ἀλλ' εἰ χρονίζοι, ἀποκόψαντας τὸν ὀμφαλὸν δεῖ παραδεσμεῖν αὐτόν τῷ μηρῷ τῆς γυναικός[1] *καὶ πάντα ποιεῖν πρὸς τὴν ἔκπτωσιν τοῦ χορίου, καθὼς ἐν τῷ περὶ ἐμβρυοτομίας τόπῳ δηλωθήσεται.*

ΠΕΡΙ ΤΩΝ ΔΙΜΗΝΑ ΚΑΙ ΤΡΙΜΗΝΑ ΦΘΕΙΡΟΥΣΩΝ.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Ὁκόσαι μετρίως ἔχουσαι τὸ σῶμα ἐκτιτρώσκουσι δίμηνα καὶ τρίμηνα ἄνευ φανερῆς προφάσιος, ταύτῃσιν αἱ κοτυληδόνες μύξης εἰσὶ μεσταὶ καὶ οὐ δύνανται κρατέειν τὸ ἔμβρυον ἀλλ' ἀπορρήγνυνται, φησὶν Ἱπποκράτης. Θεραπεύειν οὖν χρὴ ταύτας, πᾶν μὲν τὸ σῶμα καθαίροντας τοῖς φλεγμαγωγοῖς φαρμάκοις· ὁ γὰρ πρὶν κενώσας τὸ πᾶν σῶμα καὶ κωλύσας τὸ φερόμενον ἐπὶ χεῖρας εὐθὺς ἐξ ἀρχῆς ἐκ τῶν τόπων κενώσας, ὅμοιός ἐστι τῷ ὕδωρ ἀπὸ φρέατος ἀντλοῦντι ἀένναον ἔχον τοῦ χορηγουμένου τὴν ἀνάβλυσιν. Μετὰ δὲ τὴν τοῦ παντός σώματος κένωσιν τὴν ὑστέραν χρὴ κενοῦν τοῖς φλεγμαγωγοῖς ὁμοίως πεσσοῖς τοῖς διὰ κολοκυνθίδος σκευαζομένοις, οἵτινες ἀναγραφήσονται πρὸς τὰς μὴ συλλαμβανούσας δι' ὑγρότητα πλείστην. Ἄριστον δὲ κλύσμα καθαρτικὸν ὑστέρας πρὸς ἐκμοχλείαν τοῦ φλέγματος τοιοῦτον· κολοκυνθίδα λαβὼν εὐμεγέθη καὶ τὴν κορυφὴν τρήσας καὶ κενώσας ὅλον τὸ σπέρμα καὶ βαλὼν ἐπὶ τόπῳ τὴν ἐντεριώνην, ἐλαίῳ ἰρίνῳ αὐτὴν πληρώσας καὶ τῷ ἐξ αὐτῆς ἐκτμηθέντι πόματι σκεπάσας, ἔα ἡμέραν καὶ νύκτα· εἶτα ἐπιθείς τὴν κολοκυνθίδα ἐπὶ θερμοσποδιάν ἕψε ἐπὶ πολὺ, εἶτα διηθήσας τὸ ἔλαιον διὰ ῥάκους, ἐγχυ-

1 ἄνευ, βίᾳ *A.* 2 μὲν *B.* 4 γενομένου *B.* ἀποκόψαντες *Γ.* 11 ἄτερ φανερῆς *A.* ταύτῃσιν, μέχρις ἀπορρήγνυνται, παραλ. *B.* 14 φλεγμαγώγοις *B.* 15 ἐπὶ χειρῶν. 16 κενῶσαι *ΒΓ.* τὸ ὕδωρ *B.* 20 ἀγραφήσονται *B.* 23 εὐμεγέθει *B.* ποιήσας καὶ κενώσας *Γ.* 26 θερμοσποδιᾷ *B.*

[1] *Καὶ νῦν ἔτι ἡ τοῦ Ἀετίου μέθοδος πάγκοινός ἐστι πλείσταις ὅσαις Ἰατρικαῖς Σχολαῖς. Ἡ δὲ Γερμανικὴ μετὰ τὴν τοῦ ὀμφαλίου λῶρου τομήν, λαβίδι αἱμοστατικῇ πεπιεσμένον αὐτὸν ἔχουσα, καταλείπει ἐλεύθερον ἀντισηπτικῇ ἢ ἀσήπτῳ γάζῃ τετυλιγμένον, μέχρι τελείας ἐκπτώσεως τοῦ χορίου Ζερβός.*

Ἄριστον κλύσμα καθαρτικὸν ὑστέρας, ὅπερ πολλὰς ἀτόκους τοκάδας εἰργάσατο.

μάτιζε τὴν μήτραν τῷ ἐλαίῳ χλιαρῷ, μηδὲν παραλιμπάνων ἐξ αὐτοῦ. Τοῦτο πολλὰς ἀτόκους τοκάδας εἰργάσατο, ἀποξύσαν τοῦ βάθους τὸ παρεμποδὼν γινόμενον τῇ κυήσει φλέγμα. Δίαιταν δὲ θερμαίνουσαν καὶ ξηραίνουσαν προκρίνειν μετὰ γυμνασίων συμμέτρων καὶ τρίψεων, παραφυλακτέον δὲ καὶ πᾶσαν ψύξιν.[1] *Ταῖς δὲ κατὰ φυσικὴν ἀτονίαν καθεκτικαῖς φθειρούσαις φυσικῶς, βοηθεῖ ἐχίνου χερσαίου δέρμα κεκαυμένον ὕδατι ἢ οἴνῳ λειωθέν, καὶ καταχριομένου τοῦ στομίου τοῦ γυναικείου καὶ ποτιζομένου· ποιεῖ δὲ καὶ ὁ θαλάσσιος καὶ τὰ μύδια ζῶντα κεκαυμένα, μύρτα τε μετ' οἴνου ἢ σχιστοῦ ἢ σουσίνου*[2] *χριόμενα. Τὰ δὲ διὰ μυρσίνης καὶ βάτου καὶ τῶν ὁμοίων ζεμάτων ἐπαντλητέον, τά τε ἔμβρυα καὶ τὰς ἐγκύους ἀβλαβεῖς φυλάττει καὶ μήτραν ἐπέχει μὴ ὀλισθαίνειν. Λίθος ἀετίτης κατὰ τῆς γαστρὸς φορούμενος [ἐμβρύων κάτοχος] καὶ ὁ ἐντὸς ἄρτου εὑρισκόμενος σίτου κόκκος ἀριστερῷ βραχίονι φορούμενος. Ὁμοίως ἐμβρύων κάτοχα· σαρδόνιον λίθον ἀπάρτισον λίνῳ καὶ φορείτω περὶ τὸ ἦτρον ἡ κύουσα ἄχρι καιροῦ ὠδῖνος, ἀφαιροῦ δὲ ὅταν ὁ τόκος ἐπιστῇ· ἢ λαβὼν λίθον τὸν εὑρισκόμενον ἐν μήτρᾳ ἢ καρδίᾳ ἐλάφου ἢ ἐντέροις περίαπτε, ἄριστον γάρ ἐστι βοήθημα κάτοχον ἐμβρύων· ἢ λίθου τοῦ εἰς φυτὸν ἀποσφηνωθέντος μέρος.*[3]

ΚΑΤΑ ΠΟΣΟΥΣ ΤΡΟΠΟΥΣ ΓΙΝΕΤΑΙ ΔΥΣΤΟΚΙΑ ΕΠΙ ΤΩΝ ΠΑΡΑ ΦΥΣΙΝ ΓΕΝΝΩΜΕΝΩΝ, ΑΣΠΑΣΙΑΣ.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ΄.

Δυστοκία γίνεται κατὰ διαφόρους τρόπους· ἢ γὰρ παρὰ τὸ τὴν τίκτουσαν τῇ ψυχῇ ἢ τῷ σώματι ἢ ἀμφοτέροις ἀσθενῆ

1 *καταλιμπάνων Γ.* 4 *ἐγκρίνειν Γ.* 6 *ταῖς δὲ — — τῆς καθεκτικῆς φθειρούσαις ΒΓ. ἡμ. διόρθ. ὡς νῦν τὸ κείμ. ἔχει. Ζερβ.* 9 *μύσια Β.* 10 *στιστοῦ Β.* 11 *μετὰ τὸ ἐπαντλητέον ὑπάρχει ἡ λεξις „ούμεναι" ἣν ἀφῄρεσα. Ζ.* 14 *ἡ ἐντὸς ἀγγυλῶν ἐκ τοῦ κωδεικέλ.* 15 *σαρδόνον ΑΒΓ. ἡμετέρ. διόρθ. Ζ.* 18 *περιόπτε Β.* 19 *ἔμβρυον Β. λίθον Γ. τὸν Γ.* 20 *μέρους Β.* 22 *ἄνευ, Ἀσπασίας Γ.*

[1] *Ἅπαν τὸ, ταῖς δὲ, κλπ. μέχρι τοῦ τέλους τοῦ Κεφ. μέρος παραλείπει ὁ Α΄.*

[2] *Τὸ ἐκ σούσων, ἴων, κρίνων, λειρίων, ἔλαιον. Διοσκορίδ.*

[3] *Καὶ Γαληνὸς παραπλησίων μνείαν ποιεῖται ὡς ταχυεργῶν βοηθημάτων κοινῇ πιστευομένων. Ζερβ.*

ὑπάρχειν ἢ δειλήν, ἢ παρὰ τὸ μικράν ἔχειν τὴν μήτραν καὶ στενόπορον. Ὡς ἐπίπαν δὲ αἱ μικρομεγέθεις τὴν ἡλικίαν καὶ τὴν μήτραν ἀναλογοῦσαν τοῖς λοιποῖς μέρεσι κέκτηνται. Γίνεται δὲ δυστοκία καὶ παρὰ τὸ σκολιόν ἔχειν τὸν τράχηλον τῆς μήτρας, ἢ παρὰ τὸ σάρκα παρὰ φύσιν ἐπιπεφυκέναι τῷ τραχήλῳ ἢ τῷ τῆς ὑστέρας στόματι, ἢ παρὰ τὸ φλεγμονήν ἢ ἀπόστημα ἢ σκίρρον ἔχειν, ἢ παρὰ τὸ ἰσχυρόν ὄντα τὸν τοῦ προρρήγματος χιτῶνα μή ἰσχύειν τὸ ἔμβρυον τοῦτον ἀπορρῆξαι, ἢ ἐκκριθέντος τοῦ ἠθροισμένου ἐν τῇ μήτρᾳ ὑγροῦ πρὸ τοῦ δέοντος καιροῦ, ἄνικμοι καὶ κατάξηροι μένουσιν οἱ τόποι κατ' αὐτόν τὸν χρόνον τῆς ἀποκυήσεως, ὅτε χρεία τούτου τοῦ ὑγροῦ ὄλισθον καὶ εὐπετῆ διέξοδον παρέχοντος τῷ ἐμβρύῳ ἐπὶ τοῦ δέοντος καιροῦ. Γίνεται δυστοκία καὶ παρὰ τὸ λίθον ἔχειν ἐν τῇ κύστει τὴν τίκτουσαν καὶ τῇ θλίψει τοῦ τραχήλου τῆς ὑστέρας δυσχέρεια γίνεται, ἢ παρὰ τὸ κατάσαρκον καὶ καταπίμελον εἶναι τὴν τίκτουσαν, ἔτι δὲ δυστοκία γίνεται τῶν τῆς ἥβης ὀστῶν ἀλλήλοις συμπεφυκότων, ὡς μὴ ἰσχύειν ἐν τῷ τόκῳ διάστασιν δέχεσθαι. Καὶ γὰρ ἐπὶ τῶν γυναικῶν οὐχ ὥσπερ ἐπὶ τῶν ἀνδρῶν κατὰ ἁρμονίαν συμπεφύκασι τὰ τῆς ἥβης ὀστᾶ, ἀλλὰ καὶ σύνδεσμος ἰσχυρός ταῦτα πρὸς ἄλληλα συνδεῖ. Γίνεται δυστοκία καὶ παρὰ τὸ κοιλότερον εἶναι τὸν κατὰ τὴν ὀσφύν τόπον καὶ παραπιέζειν τὴν μήτραν, ἢ διὰ περιττωμάτων πλῆθος ὑποκείμενον ἐν τῷ ἀπευθυσμένῳ ἢ τῇ κύστει, ἔνιαι δὲ διὰ τὸ προβεβηκέναι τῇ ἡλικίᾳ ἀτονοῦσαι, δυστοκοῦσιν,[1] ἕτεραι διὰ τὸ πρώτως τίκτειν καὶ ἀγωνιᾶν καὶ ἀπείρως ἔχειν σχηματίζειν τὸ σῶμα.[2] Δυστοκία γίνεται καὶ παρὰ τὰ γεννώμενα· ἢ παρὰ τὸ ὅλον μέγα εἶναι τὸ ἔμβρυον, ἢ παρὰ τὸ μέρη τινὰ εὐμεγέθη ἔχειν, οἷον κεφαλὴν,

Οἱ τῆς δυστοκία τρόποι ἐ τῶν παρ φύσιν γε νωμένω

2 *στενοχωροῦσαν Β.* 5 *ἐκπεφυκέναι Γ.* 10 *ἄνικμοι, μέχρι καιροῦ* (13) *παραλ. Β.* 13 *περὶ τὸ, Α.* 15 *ἄνευ, δυσχέρεια Α. δυσέργεια Γ.* 19 *ἄνευ, καί, ΒΓ.* 21 *ἄνευ, τὸ ΒΓ.* 24 *πρότερον, ἀντὶ πρώτως Β.* 25 *ἀπείρως ἔχειν, παραλ. Β. οὐ δύνανται Β.* 26 *γινόμενα Β. ὅλος Β.*

[1] *Αἱ μὲν γὰρ νέαι ὑγρότεραι καὶ πολύαιμοι ὡς ἐπὶ τὸ πουλὺ, αἱ δὲ πρεσβύτεραι ξηρότεραι καὶ ὀλίγαιμοι, αἱ δὲ μέσαι μέσον τι ἀμφοῖν ἔχουσιν. Ἱππ.* VIII. 240.

[2] *Ἢ διὰ τὸ σμικρὰν εἶναι τὴν ἡλικίαν καὶ μειρακίζειν ἔτι τὴν παιδίσκην, ἢ διὰ τὸ ἀσθενῆ καὶ ἀδύνατον εἶναι τὴν τίκτουσαν, καὶ τὰς δυνάμεις μήπω κεκτῆσθαι τῆς ἀκμῆς. Ζερβός.*

Ἄριστον κλύσμα καθαρτικὸν ὑστέρας, ὅπερ πολλὰς ἀτόκους τοκάδας εἰργάσατο.

μάτιζε τὴν μήτραν τῷ ἐλαίῳ χλιαρῷ, μηδὲν παραλιμπάνων ἐξ αὐτοῦ. Τοῦτο πολλὰς ἀτόκους τοκάδας εἰργάσατο, ἀποξύσαν τοῦ βάθους τὸ παρεμποδὼν γινόμενον τῇ κυήσει φλέγμα. Δίαιταν δὲ θερμαίνουσαν καὶ ξηραίνουσαν προκρίνειν μετὰ γυμνασίων συμμέτρων καὶ τρίψεων, παραφυλακτέον δὲ καὶ πᾶσαν ψύξιν.[1] Ταῖς δὲ κατὰ φυσικὴν ἀτονίαν καθεκτικαῖς φθειρούσαις φυσικῶς, βοηθεῖ ἐχίνου χερσαίου δέρμα κεκαυμένον ὕδατι ἢ οἴνῳ λειωθέν, καὶ καταχριομένου τοῦ στομίου τοῦ γυναικείου καὶ ποτιζομένου· ποιεῖ δὲ καὶ ὁ θαλάσσιος καὶ τὰ μύδια ζῶντα κεκαυμένα, μύρτα τε μετ' οἴνου ἢ σχιστοῦ ἢ σουσίνου[2] χριόμενα. Τὰ δὲ διὰ μυρσίνης καὶ βάτου καὶ τῶν ὁμοίων ζεμάτων ἐπαντλητέον, τά τε ἔμβρυα καὶ τὰς ἐγκύους ἀβλαβεῖς φυλάττει καὶ μήτραν ἐπέχει μὴ ὀλισθαίνειν. Λίθος ἀετίτης κατὰ τῆς γαστρός φορούμενος [ἐμβρύων κάτοχος] καὶ ὁ ἐντός ἄρτου εὑρισκόμενος σίτου κόκκος ἀριστερῷ βραχίονι φορούμενος. Ὁμοίως ἐμβρύων κάτοχα· σαρδόνιον λίθον ἀπάρτισον λίνῳ καὶ φορείτω περὶ τὸ ἦτρον ἡ κύουσα ἄχρι καιροῦ ὠδῖνος, ἀφαιροῦ δὲ ὅταν ὁ τόκος ἐπιστῇ· ἢ λαβὼν λίθον τὸν εὑρισκόμενον ἐν μήτρᾳ ἢ καρδίᾳ ἐλάφου ἢ ἐντέροις περίαπτε, ἄριστον γὰρ ἐστὶ βοήθημα κάτοχον ἐμβρύων· ἢ λίθου τοῦ εἰς φυτόν ἀποσφηνωθέντος μέρος.[3]

ΚΑΤΑ ΠΟΣΟΥΣ ΤΡΟΠΟΥΣ ΓΙΝΕΤΑΙ ΔΥΣΤΟΚΙΑ ΕΠΙ ΤΩΝ ΠΑΡΑ ΦΥΣΙΝ ΓΕΝΝΩΜΕΝΩΝ, ΑΣΠΑΣΙΑΣ.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Δυστοκία γίνεται κατὰ διαφόρους τρόπους· ἢ γὰρ παρὰ τὸ τὴν τίκτουσαν τῇ ψυχῇ ἢ τῷ σώματι ἢ ἀμφοτέροις ἀσθενῆ

1 καταλιμπάνων Γ. 4 ἐγκρίνειν Γ. 6 ταῖς δὲ — — τῆς καθεκτικῆς φθειρουσαις ΒΓ. ἡμ. διόρθ. ὡς νῦν τὸ κείμ. ἔχει. Ζερβ. 9 μύσια Β. 10 στιστοῦ Β. 11 μετὰ τὸ ἐπαντλητέον ὑπάρχει ἡ λεξις „ούμεναι" ἣν ἀφήρεσα. Ζ. 14 ἡ ἐντὸς ἀγγυλῶν ἐκ τοῦ κωδεικέλ. 15 σαρδόνον ΑΒΓ. ἡμετέρ. διόρθ. Ζ. 18 περιόπτε Β. 19 ἔμβρυον Β. λίθον Γ. τὸν Γ. 20 μέρους Β. 22 ἄνευ, Ἀσπασίας Γ.

[1] Ἄπαν τὸ, ταῖς δὲ, κλπ. μέχρι τοῦ τέλους τοῦ Κεφ. μέρος παραλείπει ὁ Α'.

[2] Τὸ ἐκ σούσων, ἴων, κρίνων, λειρίων, ἔλαιον. Διοσκορίδ.

[3] Καὶ Γαληνός παραπλησίων μνείαν ποιεῖται ὡς ταχυεργῶν βοηθημάτων κοινῇ πιστευομένων. Ζερβ.

ὑπάρχειν ἢ δειλήν, ἢ παρὰ τὸ μικράν ἔχειν τὴν μήτραν καὶ στενόπορον. Ὡς ἐπίπαν δὲ αἱ μικρομεγέθεις τὴν ἡλικίαν καὶ τὴν μήτραν ἀναλογοῦσαν τοῖς λοιποῖς μέρεσι κέκτηνται. Γίνεται δὲ δυστοκία καὶ παρὰ τὸ σκολιόν ἔχειν τὸν τράχηλον τῆς μήτρας, ἢ παρὰ τὸ σάρκα παρὰ φύσιν ἐπιπεφυκέναι τῷ τραχήλῳ ἢ τῷ τῆς ὑστέρας στόματι, ἢ παρὰ τὸ φλεγμονήν ἢ ἀπόστημα ἢ σκίρρον ἔχειν, ἢ παρὰ τὸ ἰσχυρόν ὄντα τὸν τοῦ προρρήγματος χιτῶνα μὴ ἰσχύειν τὸ ἔμβρυον τοῦτον ἀπορρῆξαι, ἢ ἐκκριθέντος τοῦ ἠθροισμένου ἐν τῇ μήτρᾳ ὑγροῦ πρὸ τοῦ δέοντος καιροῦ, ἄνικμοι καὶ κατάξηροι μένουσιν οἱ τόποι κατ' αὐτόν τὸν χρόνον τῆς ἀποκυήσεως, ὅτε χρεία τούτου τοῦ ὑγροῦ ὄλισθον καὶ εὐπετῆ διέξοδον παρέχοντος τῷ ἐμβρύῳ ἐπὶ τοῦ δέοντος καιροῦ. Γίνεται δυστοκία καὶ παρὰ τὸ λίθον ἔχειν ἐν τῇ κύστει τὴν τίκτουσαν καὶ τῇ θλίψει τοῦ τραχήλου τῆς ὑστέρας δυσχέρεια γίνεται, ἢ παρὰ τὸ κατάσαρκον καὶ καταπίμελον εἶναι τὴν τίκτουσαν, ἔτι δὲ δυστοκία γίνεται τῶν τῆς ἥβης ὀστῶν ἀλλήλοις συμπεφυκότων, ὡς μὴ ἰσχύειν ἐν τῷ τόκῳ διάστασιν δέχεσθαι. Καὶ γὰρ ἐπὶ τῶν γυναικῶν οὐχ ὥσπερ ἐπὶ τῶν ἀνδρῶν κατὰ ἁρμονίαν συμπεφύκασι τὰ τῆς ἥβης ὀστᾶ, ἀλλὰ καὶ σύνδεσμος ἰσχυρός ταῦτα πρὸς ἄλληλα συνδεῖ. Γίνεται δυστοκία καὶ παρὰ τὸ κοιλότερον εἶναι τὸν κατὰ τὴν ὀσφύν τόπον καὶ παραπιέζειν τὴν μήτραν, ἢ διὰ περιττωμάτων πλῆθος ὑποκείμενον ἐν τῷ ἀπευθυσμένῳ ἢ τῇ κύστει, ἔνιαι δὲ διὰ τὸ προβεβηκέναι τῇ ἡλικίᾳ ἀτονοῦσαι, δυστοκοῦσιν,[1] ἕτεραι διὰ τὸ πρώτως τίκτειν καὶ ἀγωνιᾶν καὶ ἀπείρως ἔχειν σχηματίζειν τὸ σῶμα.[2] Δυστοκία γίνεται καὶ παρὰ τὰ γεννώμενα· ἢ παρὰ τὸ ὅλον μέγα εἶναι τὸ ἔμβρυον, ἢ παρὰ τὸ μέρη τινὰ εὐμεγέθη ἔχειν, οἷον κεφαλήν,

Οἱ τῆς δυστοκίᾳ τρόποι ἐ[πὶ] τῶν παρ[ὰ] φύσιν γε[ν]νωμένω[ν]

2 στενοχωροῦσαν Β. 5 ἐκπεφυκέναι Γ. 10 ἄνικμοι, μέχρι καιροῦ (13) παραλ. Β. 13 περὶ τὸ, Α. 15 ἄνευ, δυσχέρεια Α. δυσέργεια Γ. 19 ἄνευ, καί, ΒΓ. 21 ἄνευ, τὸ ΒΓ. 24 πρότερον, ἀντὶ πρώτως Β. 25 ἀπείρως ἔχειν, παραλ. Β. οὐ δύνανται Β. 26 γινόμενα Β. ὅλος Β.

[1] Αἱ μὲν γὰρ νέαι ὑγρότεραι καὶ πολύαιμοι ὡς ἐπὶ τὸ πουλύ, αἱ δὲ πρεσβύτεραι ξηρότεραι καὶ ὀλίγαιμοι, αἱ δὲ μέσαι μέσον τι ἀμφοῖν ἔχουσιν. Ἱππ. VIII. 240.

[2] Ἢ διὰ τὸ σμικρὰν εἶναι τὴν ἡλικίαν καὶ μειρακίζειν ἔτι τὴν παιδίσκην, ἢ διὰ τὸ ἀσθενῆ καὶ ἀδύνατον εἶναι τὴν τίκτουσαν, καὶ τὰς δυνάμεις μήπω κεκτῆσθαι τῆς ἀκμῆς. Ζερβός.

θώρακα ἢ κοιλίαν, ἢ παρὰ τὸ δίδυμα εἶναι τὰ τικτόμενα καὶ ἀθρόως ἀμφότερα ἐρχόμενα τῷ τραχήλῳ τῆς μήτρας σφηνοῦσθαι, ἢ παρὰ τὸ τεθνηκέναι τὸ ἔμβρυον καὶ μὴ συνεργεῖν τῇ ἀποτέξει ἢ καὶ ἀποθανόν διῳδηκέναι, ἢ παρὰ τὸ παρὰ φύσιν ἐσχηματίσθαι.[1]

Σχήματα ἐμβρύου.

Καὶ γὰρ κατὰ φύσιν σχῆμα τοῖς γεννωμένοις τὸ ἐπικέφαλον ἐστὶ, παρατεταμένων τῶν χειρῶν τοῖς μηροῖς καὶ ἐπ' εὐθὺ φερομένου τοῦ ἐμβρύου.

Ἐπικέφαλον.

Τὸ δὲ παρὰ φύσιν, ἢ παρεγκεκλιμένη ἡ κεφαλή εἰς τὰ δεξιά ἢ εἰς τὰ ἀριστερά μέρη τῆς μήτρας ἐρείδεται, ἢ ἡ μία χείρ ἔξω ἢ αἱ δύο ἐκπίπτουσι τὰ δὲ σκέλη ἔνδοθεν ἐστήκασιν ἐπ' ἀλλήλων. Τῶν δὲ λοιπῶν σχημάτων

Ἐπὶ πόδας.

ἄμεινον τὸ ἐπὶ πόδας ἐστί, καὶ μάλιστα ὅταν ἐπ' εὐθείᾳ φέρηται τῶν χειρῶν παρὰ τοὺς μηροὺς τεταγμένων. Τὰ δὲ ἢ ἕν τι τῶν σκελῶν προβεβληκότα τὸ δὲ ἕτερον ἔνδον ἔχοντα ἢ δεδιπλωμένα ἢ ἐνερείδοντα τινὶ μέρει τῆς ὑστέρας, διορθώσεως χρήζει, καὶ τὰς χεῖρας ἀνατεταμένας ἔχοντα· καὶ τῶν λοιπῶν δὲ σχηματισμῶν ἀμείνων ἐστὶν ὁ πλάγιος.

Πλάγια.

Τρεῖς γὰρ εἰσὶ πλάγιοι σχηματισμοὶ, ὅ τε ἐπὶ πλευράν ὁποτέραν καὶ ὁ ἐπὶ κοιλίαν, ἀμείνων δὲ ὁ ἐπὶ πλευράν· τόπον γὰρ δίδωσι τῇ χειρί τῆς μαίας εἰς τὸ μετασχηματίσαι ἢ ἐπὶ κεφαλὴν ἢ ἐπὶ πόδας.

Δεδιπλωμένα.

Τὰ δὲ δεδιπλωμένα φερόμενα, χείριστα πάντων τῶν σχημάτων εἰσὶ καὶ τούτων ὅσα ἐπὶ τὰ ἰσχία φέρεται. Τριχῶς γὰρ καὶ τὰ δεδιπλωμένα σχηματίζεται· ἢ γὰρ πρὸς τῷ στόματι τῆς ὑστέρας τά τε σκέλη καὶ ἡ κεφαλή ὑπάρχει ἢ τὸ ἐπιγάστριον ἢ τὰ ἰσχία. Ἄμεινον δὲ τὴν κοιλίαν ἔχειν πρὸς τὸ στόμα τῆς ὑστέρας, παρ' ἡμῶν γὰρ διελόντων τὸ ἐπιγάστριον καὶ κομισαμένων τὰ ἐνδοσθίδια, συμπεσόντος τοῦ σώματος εὐχερής γίνεται ὁ μετασχηματισμός. Παρὰ δὲ τὸ ἐκτὸς δυστοκία γίνεται· ἢ τῷ ἔμψυχρον καὶ χειμερινὴν εἶναι τὴν ὥραν καὶ διὰ τοῦτο πυκνοῦσθαι τοὺς πόρους, ἢ τῷ ἔκθερμον καὶ ἐκλυτικόν. Ταῦτα πάντα ἐπανερωτᾶν χρὴ τὸν ἰατρόν

4 ἀποθανών B. διωδοικέναι A. διοιδηκέναι ΓB. ἡμ. διόρθ. διῳδηκέναι Ζερβ. 5 τὸ γὰρ Γ. 7 καὶ ἐπ' οὐδὲν B. 8 ἄνευ, ἢ εἰς τὰ ἀριστερὰ A. 9 ἡ μία B. ἢ μία AΓ. ἡμ. διόρθ. ἢ ἡ μία. Ζερβ. 10 ἔνδον B. ἐπεστήκασιν ἀπ' A. 11 ἐπὶ ποδὶ τίς ἐστὶ A. ὁ ἐπὶ πόδ. B. ἐπ' εὐθείας B. 12 τεταμένων B. ἕν τινι A. 14 ἐνερείδονται B. 17 ὅ τε ὁ ἐπὶ ABΓ. ἡμ. ἀφηρέσαμ. τὸ „ὁ“ Ζερβ. ὁπτέραν B. 19 διπλώματα Γ. 20 σχηματισμῶν AΓ. 21 τριχός B. 26 στόματος AB. 27 ἐντός. 29 ὑπέρθερμον Γ.

[1] Ἢ παρὰ τὸ ἀνωμάλως τὴν μήτραν ἢ τὸν κόλπον ἐσχηματίσθαι κλπ. Z.



Ἐπικέφαλον σχῆμα α.

[illegible] ὠδῖνος προβάλλει τοῦ αἰδοίου.

τὴν μαίαν ἐπὶ δυστοκούσης γυναικός, καὶ μήτε εὐθέως ἐγχειρεῖν τῇ χειρουργίᾳ μήτε μὴν ἐπὶ πολὺ συγχωρεῖν τῇ μαίᾳ διασπαράττειν τὴν μήτραν. Εἰ μὲν οὖν διὰ τὸ κοίλην ἔχειν τὴν ὀσφὺν τὴν τίκτουσαν ἡ δυστοκία γίγνοιτο, σχηματίζειν αὐτήν χρὴ ἐπὶ τὰ γόνατα, ἵνα ἡ ὑστέρα μεταπεσοῦσα εἰς τὸν κατὰ τὸ ἐπιγάστριον τόπον κατ' εὐθὺ σχηματισθῇ τῷ τραχήλῳ, ὁμοίως δὲ καὶ τὰς πιμελώδεις καὶ κατασάρκους σχηματιστέον. Εἰ δὲ τὸ στόμιον τῆς ὑστέρας μέμυκεν, τοῖς λιπάσμασι μαλάσσειν καὶ ἀναχαλᾶν.[1] Λίθου δὲ αἰτίου ὄντος τῆς δυστοκίας, διώσασθαι χρὴ τὸν λίθον καθετῆρι ἐκ τοῦ τραχήλου τῆς κύστεως· εἰ δὲ πεπληρωμένη οὔρου ἡ κύστις ᾖ, κομιστέον καὶ τὸ οὖρον διὰ τοῦ καθετῆρος. Εἰ δὲ ἐν τῷ ἀπευθυσμένῳ περιττώματα εἴη, κλυστῆρι κενωτέον, εἰ δὲ διὰ φλεγμονήν ἢ ἕλκος ἢ οἴδημα ἢ σκληρίαν ἤ τι τῶν παραπλησίων δυστοκοῦσι, τῶν ἐνοχλούντων παθῶν ἐπιμελητέον. Εἰ δὲ διὰ σαρκός ἐπίφυσιν κατὰ τοῦ τραχήλου τῆς μήτρας ἢ χιτῶνος ἐπίφυσιν ὡς ἐπὶ τῶν ἀτρήτων γυναικῶν, ἀφαιρεῖν χρὴ τὰ παρεμποδών γινόμενα.[2] Εἰ δὲ ὁ τοῦ προρρήγματος χιτών στερεός ἐστι, διαιρετέον αὐτόν. Ἐφ' ὧν δὲ πρὸ τοῦ δέοντος καιροῦ συρραγέντος τοῦ περιέχοντος τὸ ὑγρόν χιτῶνος, ἔκκρισις γέγονε τῶν ἠθροισμένων ὑγρῶν καὶ ξηρότεροι ἔμειναν οἱ τόποι, ἐγχυματίζειν χρὴ ᾠῶν τοῖς λευκοῖς σὺν μαλάχης ἢ τήλεως ἀφε-

3 ἔχει Γ. 4 ἡ δυστοκία Β. 8 πέπτωκε. 9 λίθου δὲ μέχρι κύστεως παραλ. Β. 11 εἴη Γ. κομίσεον Β. 18 σχιζέσθω Β. 20 ἄμειναν Β.

[1] Καὶ εἰ διά τινα στένωσιν ἢ νάρκην ἢ σφήνωσιν ἡ δυστοκία, οἱ ἀρχαιότεροι ἐπὶ τὸ χαλᾶσαι συνήργουν διά τε ἐγκαθισμάτων θερμῶν καὶ ὑποκλυσμῶν καὶ τῆς τοῦ ἀέρος τοῦ οἴκου θερμάνσεως καὶ τῶν ἀπὸ βαλανείων διαχαλασμῶν, εἰ μὴ πυρετός ἢ ἕτερόν τι ἐκώλυε, καὶ ἐν τόπῳ τῷ θερμοτέρῳ διὰ φορείου ἐκίνουν τὴν τίκτουσαν· τινές δὲ καὶ κατασεισμοῖς ἐντόνοις ἐχρῶντο ἐπὶ τούτων. Ταῖς δὲ διὰ κλίσιν ἄτονον ἐς ἀπότεξιν, τοῖς πυκνοῦσί τε καὶ συστέλλουσι καὶ τονοῦσι, οὐ μὴν καὶ τοῖς μετ' ὄξους ὀσφραντοῖς καὶ οἴνῳ ῥοδίνῳ καὶ τοῖς λοιποῖς διεγείρουσι ῥαντίσμασιν. Εἰ δὲ διὰ τὸ παρὰ φύσιν σχῆμα τοῦ ἐμβρύου ἐστιν ἡ δυστοκία, ἐπὶ τὸ κατὰ φύσιν ἐπανακτέον ὡς οἷόν τέ ἐστι· ταῦτα δὲ πάντα ποιεῖν τὸν ἰατρόν ἠρέμα καὶ εὐαφῶς καὶ μὴ σπαράττειν τὴν μήτραν, ἐπικίνδυνον γὰρ καὶ ὀλέθριόν ἐστιν. Ζερβός.

[2] Παραμένοντα γὰρ ταῦτα καὶ μὴ ἀφαιρούμενα τὸν μὲν τόκον βραδύνουσιν ἐπὶ μακρόν, τῷ ἐμβρύῳ παρέχουσι τὸν ἐξ ἀσφυξίας θάνατον, τῇ δὲ τικτούσῃ φλεγμονάς τῶν παρὰ τὴν μήτραν οὐχὶ τέλεον ἀκινδύνους. Ζερβός.

ψήματι διηθημένῳ ἢ πτισάνης χυλῷ χλιαρῷ. Εἰ δὲ διὰ τὴν μικρότητα τῆς μήτρας γένηται, λιπαίνειν τοὺς τόπους καὶ θάλπειν καὶ τοῖς δακτύλοις ἐπιδιϊστᾶν τὸ στόμα τῆς μήτρας, βιαιότερόν τε ἕλκειν τὸ ἔμβρυον· μὴ ὑπακούοντος δὲ τοῦ τόκου, ἐμβρυοτομεῖν. Τὸ αὐτό δὲ ποιητέον καὶ εἰ μέγα ᾖ τὸ ἔμβρυον καὶ εἰ τέθνηκε· καταληψόμεθα δὲ εἰ τέθνηκεν ἐκ τοῦ κατεψυγμένου ὑποπίπτειν τῇ ἀφῇ τὸ ἔμβρυον καὶ ἀκίνητον εἶναι. Εἰ δὲ δύο ἔμβρυα ᾖ καὶ τρία[1] καὶ ἅμα παρασφηνωθῇ τῷ τραχήλῳ τῆς μήτρας, ἄνωθεν προσήκει ποιεῖν τὰ ἄλλα ἐπὶ τὸ κύτος τῆς μήτρας, καὶ οὕτω προκομίσασθαι τὸ προχειρότερον. Εἰ δὲ διὰ τὸ μέγεθος τῆς κεφαλῆς ἢ τοῦ θώρακος ἢ τῆς κοιλίας ἡ δυστοκία γίγνοιτο, πᾶσα ἀνάγκη ἐμβρυοτομεῖν.[2]

ΠΕΡΙ ΕΜΒΡΥΟΥΛΚΙΑΣ ΚΑΙ ΕΜΒΡΥΟΤΟΜΙΑΣ, ΦΙΛΟΥΜΕΝΟΥ.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ′.

Προσήκει τὸν ἰατρόν πρότερον ἐπὶ τούτων σημειοῦσθαι, εἴτε πυρεκτικῶς ἔχοιεν εἴτε καὶ μή, καὶ εἴτε ἐγχειρῆσαι ἢ ἀπαγορεῦσαι. Αἱ μὲν οὖν ὀλεθρίως διακείμεναι καταφέρονται ληθαργωδῶς καὶ ἐμπύρετοί εἰσιν καὶ σχεδόν ἄφωνοι, κἂν ἀνακληθῶσι, πρὸς τὰς ἐκβοήσεις ἀσθενῶς ἀποκρινόμεναι πάλιν καταφέρονται· τινές δὲ καὶ συνέλκονται παλμωδῶς ἢ τρέμουσιν, ὁ δὲ σφυγμός πυκνότατος καὶ ἀσθενέστατος παραλαμβάνεται. Αἱ δὲ σωθησόμεναι οὐδὲν τοιοῦτον πάσχουσι. Κατακλινέσθω τοίνυν ἐπὶ τῆς κλίνης ὑπτία καὶ μᾶλλον κατάρροπος, τὰ δὲ σκέλη αὐτῆς ἐπηρμένα καὶ διεστηκότα ἀπ᾽ ἀλλήλων καὶ ὑποκεκαμμένα διακρατείτωσαν γυναῖκες ἔμπειροι καὶ ἰσχυραὶ ἑκατέρωθεν,[3] προδιδόναι τε τῇ πασχούσῃ

1 διηθημένον Β. 2 γένονται Β. 6 κατεψημένου Β. 8 ἄνευ, ᾖ ΒΓ. 16 περιεστηκός Γ. ἄνευ, καὶ Β. 18 καὶ ἄν Β. 19 ἐπικρώμενοι Β. 20 ἄνευ, παλμωδῶς Γ. 23 κατάρροπον ΒΓ. ἐπαρμένα Β. 24 ἀπαλλήλων Α. 25 ἔμπυροι Β.

[1] Ἡρόφιλος δὲ ἱστόρισεν ἔμβρυα πέντε, φησίν Π. Αἰγιν βιβλ. III. 56, 20.

[2] Καιρός δὲ τῆς καθέδρας εἰς τὸν δίφρον τοῦ τοκετοῦ, ἐπειδάν τοῖς ἀντισηπτικοῖς ὑμῶν δακτύλοις εὕρητε τὸ τῆς ὑστέρας στόμον τέλεον ἀνεῳγός καὶ προκύπτον τὸ πρόρρηγμα. Ζερβός.

[3] Εἰ δὲ μὴ παρεῖεν τοιαῦται διά τινων ταινιῶν διακρατείσθω ὁ θώραξ τῆς γυναικός, τά τε πρὸς τὰς ἐπινεύσεις καὶ τὰς κατανεύσεις ἀκολουθοῦντα σκέλη δεῖ οὐχ ἀτονίαν ἐπιφέρειν, ἀλλ᾽ ὑπερειδόμενα πρὸς τὰς δυνάμεις συμβάλλεσθαι τῆς τικτούσης. Ζερβός.

ψωμοὺς δύο ἢ τρεῖς οἴνῳ βεβρεγμένους διὰ τὴν λειποθυμίαν, καὶ συνεχῶς ἐν τῇ χειρουργίᾳ οἴνῳ τὸ πρόσωπον καταρραντιζέσθω. Ὁ δὲ χειρουργὸς διὰ τῆς διόπτρας[1] πρότερον κατανοήσας ὁποῖόν ἐστι τὸ τῆς δυστοκίας αἴτιον, οἷον θύμων ἐκφύσεις ἢ τυλώδεις ὑπεροχαὶ ἢ ἕτερόν τι τῶν προειρημένων, ταῦτα τῷ ἀγκίστρῳ ἀνατείνοντα, ἀφαιρεῖν τῷ πολυτόμῳ καθὼς ἐν τοῖς μετὰ ταῦτα ῥηθήσεται. Εἰ δὲ ὑμὴν ἐμφράττει τὸ τῆς μήτρας στόμιον, καὶ τοῦτον διαιρεῖν καθὼς ἐν τῷ περὶ ἀτρήτων δηλωθήσεται. Εἰ δὲ ὁ τοῦ προρρήγματος χιτὼν στερεὸς εἴη, ἀνατείνοντας ἀγκίστρῳ εἰ ἐνδέχοιτο, τότε διαιρεῖν αὐτὸν τῷ σκολοπομαχαιρίῳ ἢ τινι τῶν ὁμοίων. Διαιρεθέντος δὲ τοῦ χιτῶνος, διαστέλλειν τοῖς δακτύλοις καὶ τόπον αὐτάρκη ποιεῖν πρὸς τὴν ἔκληψιν τοῦ ἐμβρύου. Τῆς δὲ κεφαλῆς τοῦ ἐμβρύου ἐσφηνωμένης, μεταστρέφειν δεῖ ἐπὶ πόδας καὶ οὕτως αὐτὸ κομίζεσθαι, ἰσχυρῶς δὲ ἐσφηνωμένης καὶ μηδ' εἰς τὸ βάθος ἀπωθεῖσθαι δυναμένης, κατεμπείρειν δεῖ τὴν τοῦ ἐμβρυουλκοῦ καμπὴν εἰς ἕνα τῶν ὀφθαλμῶν ἢ τὸ στόμα ἢ τὸν ἀνθερεῶνα καὶ ἐξέλκειν· εἰσάγειν δὲ τὸν ἐμβρυουλκόν τῇ δεξιᾷ χειρί κατέχοντα τὴν δὲ καμπὴν αὐτοῦ τοῖς δακτύλοις τοῖς ἀριστεροῖς ἐγκρύβοντα, καὶ πράως συνεισφέροντα καὶ καταπείροντα ἐν τοῖς εἰρημένοις τόποις ἄχρι κενεμβατήσεως, καὶ ἀντίθετον καὶ τούτῳ δεύτερον ἐμβρυουλκόν καταπείρειν, ὅπως ἰσόρροπός τε καὶ μὴ ἑτεροκλινὴς ἐπισπασμός γένηται καὶ ἀσφαλέστερος ἴσως τοῦ ἑνός ἐξολισθαίνοντος ὀργάνου ἐν τῇ ἕλξει καὶ ἀφιέντος τὸ ἔμβρυον. Ἕλκειν δ' ὁμαλῶς καὶ μὴ μόνον ἐπ' εὐθείας ἀλλὰ καὶ εἰς τὰ πλάγια, καὶ τὸν δάκτυλον λελιπασμένον καθιέναι μεταξὺ τοῦ στομίου τῆς ὑστέρας καὶ τοῦ σφηνωθέντος μέλους, καὶ προσάγειν κύκλῳ οἱονεί περιδέροντα. Ἐπακολουθοῦντος δὲ τοῦ ἡμίσεως τοῦ ἐμβρύου, τὸν πρότερον ἐμβρυουλκόν κατὰ μέρος εἰς τὰ ὑπερκείμενα μέρη καταπείρειν δεῖ ἐναλλάξ. Εἰ δὲ ὑπερ-

6 ἀνατείναντα B. τῷ πολυποτόμῳ B. 9 ἢ B. ἀνατείνοντος ΒΓ. ἀνατεῖνον Δ. ἡμετέρ. διόρθωσις, ἀνατείνοντας. Ζερβ. 10 ἢ τινός B. 12 αὐτάρκεα B. 15 μήδ' ΔΒ. ἀποθεῖσθαι B. καταπείρειν B. 16 τὴν τοῦ ἐμβρύου καμπὴν B. 17 „εἰσάγειν“ κλπ. μέχρις „ἐναλλάξ“. (19) παραλείπ. ὁ Δ. 20 καταπείραντα B. 21 ἀντιθετῶν B. 23 ἀμφυέντος Γ. 25 λελυπασμένον Γ. 29 εἴ δ' B.

[1] Διόπτρα κ. μητροσκόπιον οὗ πολλὰ εἴδη καὶ πλεῖστα μεγέθη ἐγίνωσκε καὶ ἐχρήσατο ὁ Ἀέτιος. Ζερβ.

Ἐμβρυοτομία, Κεφαλοθρυψία, Ἐμβρυουλκία.

βάλλοι τῷ μεγέθει ἡ κεφαλὴ ἢ φύσει ἢ δι' ὑδροκέφαλον, διελόντα αὐτὴν τῷ πολυτόμῳ σπαθίῳ ἢ τῷ κοινῷ σμιλίῳ, συμπεσοῦσαν ἕλκειν. Εἰ δὲ μὴ δ' οὕτως ἥκει, καὶ τὸ βρέγμα συνθλάσαντα καὶ τὰ ὀστᾶ τοῖς δακτύλοις ἐξαιρεῖν· εἰ δέ τινα ἐξέχοι τῶν ὀστῶν, ὀστάγρᾳ ἢ ῥιζάγρᾳ ἑλκύσαντας, τότε καταπείρειν τὸν ἐμβρυουλκὸν καὶ ἐξαίρειν τὸ βρέφος. Προβιβασθείσης δὲ τῆς κεφαλῆς, ἐὰν κατὰ τὸν θώρακα σφήνωσις γένηται, τὸ σκολοπομαχαίριον ἢ τὸ πολύτομον κρύψας μέσον τῶν δύο δακτύλων δίελε τοὺς κατὰ τὰς κλεῖς τόπους μέχρι βάθους, ἵνα τῶν ὑγρῶν ἐκκριθέντων συμπέσῃ τὸ τοῦ θώρακος μέγεθος, διαιρείσθω δὲ καὶ κατὰ τὰ μεσοπλεύρια. Εἰ δὲ μετὰ τὴν τοῦ θώρακος ἔκληψιν ἐμπεφυσημένον ᾖ τὸ ἐπιγάστριον ἐναποτεθνηκότος τοῦ ἐμβρύου καὶ ὑδροπιάσαντος, δεήσει τῇ αὐτῇ ἀκολουθίᾳ χρωμένους διακόπτειν τὸ ἐπιγάστριον καὶ ἐξέλκειν τὰ ἔντερα. Ἐφ' ὧν δὲ χεὶρ προπέπτωκεν εἰς τὸν κόλπον, ἀπὸ τοῦ ἄρθρου τοῦ ὤμου τὴν χεῖρα ἀποκόπτειν. Δεῖ τοιγαροῦν ῥάκος μὲν ἐπιτιθέναι τῇ προβεβλημένῃ χειρὶ καὶ βιαιότερον ἐπισπᾶσθαι, ἵνα τὸ τοῦ ὤμου ἄρθρον φανερὸν γένηται, καὶ τότε τὰ τοῦ αἰδοίου πτερυγώματα διαστῆλαι τοῖς δακτύλοις, ἔπειτα σμιλίῳ διακόπτειν τὸ ἄρθρον, εἶτα καθιέναι τὴν ἀριστερὰν χεῖρα καὶ ἀπευθύναι τὸ κεφάλιον καὶ οὕτω κομίσασθαι τὸ ἔμβρυον. Εἰ δὲ ἀμφότεραι προπέσοιεν, ἀμφοτέρας ἀποκόπτειν εἶτα τὸ κεφάλιον συνθλᾶν καὶ οὕτως ἐξέλκειν. Τῶν δὲ ἐπὶ πόδας φερομένων ἡ μὲν παρέγκλισις ῥᾳδίως ἀπευθύνεται πρὸς τὸ στόμιον τῆς ὑστέρας, εἰ δὲ κατὰ τὸ ἐπιγάστριον σφηνωθῇ, διὰ ῥάκους ἐπισπᾶσθαι δεῖ βιαιότερον τὰ σκέλη, ἵνα ὁ κατὰ τὴν ἥβην τόπος καὶ τὸ ἦτρον ἐμφανὴς γένηται, κἀκεῖνον διελεῖν τρυφερὸν ὂν καὶ ἐξέλκειν τὰ ἔντερα καὶ τὰ λοιπὰ σπλάγχνα. Εἰ δὲ τὸ ἕτερον σκέλος εἰς τὸν κόλπον συμπέσῃ, εὐτόνως διὰ ῥάκους ἐπισπασάμενοι καὶ διαστείλαντες τὰ τοῦ αἰδοίου πτερυγώματα, ἀφαιρησόμεθα τὸ σκέλος κατὰ τὸν βουβῶνα. Εἰ δὲ διπλοῦν

1 ἄνευ, ἢ φύσει ἢ δι' ὑδροκέφαλον *A*. διελόντων *B*. 2 πολυπίκῳ *Γ*. σπάθῃ *A*. ἄνευ, συμπεσοῦσαν ἕλκειν· 3 εἰ δὲ μὴ δ' οὕτως ἥκει *A*. 4 ἄνευ, ἐξαιρεῖν *A*. 5 ἄνευ, ὀστάγρᾳ *B*. 8 πολύποτον *Γ*. τὸν τῶν δύο *B*. ἄνευ, τοὺς κατὰ τὰς κλεῖς, *A*. 12 ἀναποτεθνηκότος *B*. 13 ἄνευ, αὐτῇ *B*. 14 ἄνευ, δὲ *BΓ*. ἐκ τῶν κόλπων *B*. 16 βιότερον *A*. 22 ἢ τὸ κεφάλ. *B*. 22 ἐπὶ πόδα *B*. 23 παρεγκλίσει *Γ*. ἀπεξοθύνεται *B*. 24 σφηνωθείη *Γ*. 27 ὄντα *AB*. 28 εὐπόνως *A*. 30 ἀφαιρήσομαι *Γ*.



ὑποπεσὸν τὸ ἔμβρυον ἀδυνατοῦμεν μετασχηματίζειν, εἰ μὲν ἑτοιμότερον ᾖ τὸ κεφάλιον, συνθλᾶν τὰ ὀστᾶ μὴ διαιροῦντας τὸ δέρμα τούτου καὶ καταπείροντας κατά τι μέρος τὸν ἐμβρυουλκὸν ἐπισπᾶσθαι τὸ κεφάλιον, ἔπειτα ἀναβαστάζειν τὰ σκέλη καὶ οὕτως ἀφελκῦσαι τὸ ἔμβρυον· εἰ δὲ τὰ σκέλη μᾶλλον ἐν ἑτοίμῳ ᾖ, ἄρθρον τοῦ μηροῦ ἀποκόψαι καὶ οὕτως τοὺς μηροὺς ἀναβιβάσαι, ὥστε μεῖναι τὴν κεφαλὴν εὔθλιπτον πρὸς εὐχερῆ κομιδήν. Εἰ δὲ ἡ σφήνωσις τοῦ διπλώματος σφοδρὰ ᾖ προπεσόντων μᾶλλον τῶν ποδῶν, τὴν κεφαλὴν ἀποτέμνειν χρὴ ἀπὸ τῆς πρὸς τὸν σπόνδυλον διαρθρώσεως, καὶ οὕτως ἀναβιβάσαντας τὸν θώρακα ἕλκειν τοὺς πόδας. Εἰ δὲ τῶν λοιπῶν ἀφῃρημένων μερῶν τὸ κεφάλιον ἀνάδρομον ἐγκατασχεθῇ, καθιέναι χρὴ τὴν ἀριστερὰν χεῖρα ἐλαίῳ λελιπασμένην εἰς τὸ βάθος καὶ τὸ κεφάλιον ἀναζητήσαντας κινῆσαι τοῖς δακτύλοις καὶ πρὸς τὸ τῆς μήτρας στόμιον καταβιβάσαι, ἔπειτα κατεχομένου ὑπὸ τῆς χειρός τοῦ κεφαλίου, ἐμβρυουλκὸν ἕνα ἢ δύο ἐν αὐτῷ καταπείραντας ἐξέλκειν.

Τόποι καταπάρσεως ἐμβρυουλκο

Ἐπιτήδειοι δὲ πρὸς τὴν κατάπαρσιν τοῦ ἐμβρυουλκοῦ τόποι ἐπὶ μὲν τῶν ἐπὶ κεφαλὴν φερομένων, οἵ τε ὀφθαλμοί καὶ οἱ τῶν ὤτων πόροι τό τε στόμα καὶ ὁ ὑπὸ γένυν τόπος καὶ μασχάλαι καὶ ὁ ὑπὸ τὰς κλεῖδας καὶ τὰ ὑποχόνδρια, ἐπὶ δὲ τῶν ἐπὶ πόδας φερομένων τὰ τῆς ἥβης ὀστᾶ καὶ αἱ ἐπὶ τῶν πλευρῶν καὶ πρὸς τὸ στέρνον καὶ τοὺς σπονδύλους διαρθρώσεις καὶ αἱ σφαγαὶ καὶ τὸ στόμιον. Φλεγμαίνοντος δὲ τοῦ τῆς ὑστέρας στόματος, μὴ βιάζεσθαι ἀλλ' ἐγχυματισμοῖς λιπαροῖς δαψιλέσι χρῆσθαι ἐγκαθίσμασί τε καὶ ἐμβροχαῖς ταῖς ὁμοίαις καὶ καταπλάσμασιν, ὅπως χαλασθείσης ποσῶς τῆς φλεγμονῆς καὶ διαστάντος τοῦ στομίου κομισθῇ, ὡς προείρηται, τὸ ἔμβρυον.

Μετὰ τὴ ἐμβρυοτομίαν.

Μετὰ δὲ τὴν ἐμβρυοτομίαν συντιθέναι χρὴ τὰ μέλη πάντα τοῦ ἐμβρύου καὶ ἐπισκέπτεσθαι ἀκριβῶς, εἰ πάντα κεκόμισται καὶ μηδὲν ἔνδον ὑπολέλειπται, κἄπειτα καὶ τὸ χορίον εὐθὺς ἐκλαμβάνειν.

---

1 ὑποπεσών Β. 2 συνεθλᾶν Β. 5 ἐφελκῦσαι Γ. εἰ δὴ Β. 7 ἀναβιβάσαντα Γ. 10 ἀναβιβάσαντες Β. 11 μέλων Β. 14 κυλίσαι Γ. 18 ἐπὶ κεφαλῆς ΑΒΓ. ἡμετ. διόρθ. ἐπὶ κεφαλὴν. Ζερβ. οὔτε ὀφθαλμοὶ Β. 19 οὔτων Β. 20 οἱ ὑπὸ τὰς Γ. 21 ὑπὸ τῶν πλευρῶν. Γ. 29 ἢ πάντα Β.

ΠΕΡΙ ΧΟΡΙΟΥ ΕΚΛΗΨΕΩΣ, ΦΙΛΟΥΜΕΝΟΥ.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

Τὸ Χορίον καὶ δεύτερον[1] *καλεῖται· ἐπὶ μὲν οὖν τῶν κατισχημένων χορίων ποτὲ μὲν εὑρίσκεται μεμυκός τὸ στόμιον τῆς ὑστέρας, ποτὲ δὲ διεστηκός· καὶ ποτὲ μὲν φλεγμαῖνον, ποτὲ δὲ ἀφλέγμαντον. αὐτὸ δὲ τὸ χορίον ποτὲ μὲν ἀπολέλυται τῆς πρὸς τὸν πυθμένα τῆς μήτρας συνεχείας, ποτὲ δὲ συμπέφυκεν αὐτῷ. Διεστῶτος μὲν οὖν τοῦ στομίου τῆς ὑστέρας καὶ τοῦ χορίου ἀπολελυμένου καὶ περί τι μέρος τῆς μήτρας σφαιροειδῶς συνεστραμμένου, ῥάστη ἐστὶν ἡ κομιδή· τὴν γὰρ ἀριστερὰν χεῖρα θερμὴν [καὶ] λελιπασμένην εἰς τὸ βάθος δεῖ καθιέναι καὶ ἐπὶ ποσόν τὸ χορίον ἐκλαβεῖν,*[2] *εἰ δὲ προσπεφυκός ᾖ τῷ τῆς ὑστέρας πυθμένι, καθιέναι μὲν ὁμοίως τὴν χεῖρα θερμὴν καὶ λελιπασμένην, συλλαβόντα δὲ τὸ χορίον ἕλκειν μὴ ἀπ' εὐθείας διὰ τὸν τῆς προπτώσεως φόβον τῆς μήτρας ἀλλὰ μή δὲ μετὰ βίας ἰσχυρᾶς, πειθηνίως δὲ· καὶ τὸ μὲν πρῶτον ἀνειμένως μετάγειν ἐπὶ τὰ πλάγια τῇδε κἀκεῖσε περιάγοντας, εἶτα καὶ εὐτονώτερον ποσῶς ἐφέλκειν, ὑπακούει γὰρ τούτῳ τῷ τρόπῳ καὶ ἀπολύεται τῆς προσφύσεως. Εἰ δὲ μεμυκός εὑρεθῇ τὸ στόμα τῆς ὑστέρας, ἐγχυματισμῷ χρῆσθαι διά [τε] τῶν δακτύλων τῆς ἀριστερᾶς χειρὸς πρᾳότερον διανοίγειν καὶ διαστέλλειν κατ' ὀλίγον· εἰ δὲ μὴ ὑπακούοι, κατακλίνειν τὴν γυναῖκα καὶ καταπλάσσειν ὠμῇ λύσει τὸ ἦτρον καὶ πάλιν ἐγχυματίζειν καὶ ἐπάνωθεν λιπάσμασι καὶ θερμάσμασι χρῆσθαι· εἰ δὲ εὔτονος εἰς τὴν δύναμιν ἡ πάσχουσα, ἀποπειρᾶσθαι χρὴ κατὰ τοῦτον τὸν καιρόν καὶ πταρμικόν ταῖς ῥισὶ προσαγαγεῖν διὰ*

---

1 *ἐκλείψεως Γ.* 3 *κατασχημένων Β.* 8 *διεστότα Α.* 9 *ἅπας ὁ στίχ. καὶ „περί τι μέρος — συνεστραμμένου" παραλ. ἐν τῷ Β.* 11 *[καὶ] ἡμ. προσθ. Ζερβ.* 11 *καὶ ὑποπεσεῖν ἀντὶ, ἐπὶ ποσόν Γ.* 12 *εἴη ἢ Β.* 14 *δὲ μὴ Β.* 15 *ἀλλὰ μετὰ, ἄνευ, μὴ δὲ Γ.* 16 *ἀνιέμενος Γ.* 17 *περιέλοντας Β. μετάγοντας Γ.* 18 *καὶ τούτῳ Β.* 20 *„διὰ τῶν" τὰ κείμ. ἡμ. προσθ. τὸ „τὲ" Ζερβ.* 21 *ἡ δὲ μὴ Β. ὑπακούει Β.* 22 *ἐμῇ Β.* 25 *πταρμόν Β. ἐντιθέναι ἀντὶ προσαγαγεῖν Γ. τὸ διὰ καστ. Γ.*

[1] *Καὶ νῦν ἔτι δεύτερον, δευτέρι καὶ λευτέρι καλεῖται κατὰ παρετυμολογίαν ἐκ τοῦ ἐλευθέραν τὴν τίκτουσαν εἶναι μετὰ τὴν ἐκείνου ἔξοδον. Παρά τισι δὲ λαοῖς ἔθος ἐστὶ καίειν τὸ χορίον καὶ συνθλίβειν αὐτὸ ἐπιμελῶς. Ζερβός.*

[2] *Τῆς μεθόδου ταύτης καὶ νῦν ἔτι χρῆσιν ποιούμεθα· οὐ μὴν πειρατέον πρῶτον τὴν τοῦ μητρικοῦ μυός διέγερσιν τῇ τε ἔξωθεν ῥυθμικῇ αὐτοῦ μαλάξει καὶ τῇ μετρίᾳ πιέσει, ὅτε ἡ τοῦ χορίου ἔκπτωσίς ἐστι ῥάστη. Ζερβ.*



Ἀπάρσις Χορίου μετὰ τὴν ἀποκόλλησιν

καστορίου καὶ πεπέρεως, καὶ διδόναι τι τῶν τὰ ἔμμηνα κινεῖν δυναμένων πομάτων περὶ ὧν μετὰ ταῦτα γραφήσεται, καὶ ταῦτα ἐπὶ μίαν ἢ δευτέραν ποιεῖν. Χρῆσθαι δὲ καὶ ὑπατμισμῷ διὰ χύτρας ἀρώματα ἐχούσης ἑψημένα, οἷον κασίαν, νάρδον, σχίνου ἄνθος, ἀρτεμισίαν, ἶριν, βράθυ, δίκταμνον, γλήχωνα καὶ τὰ παραπλήσια, ὑποτιθεμένης τῆς χύτρας τῷ δίφρῳ ἐφ' ᾧ καθέζεται ἡ γυνὴ πάντοθεν ἱματίοις περισκέποντας αὐτὴν, μετὰ δὲ ταῦτα σημειοῦσθαι. Καὶ εἰ μὲν διεστὼς εὑρεθῇ τὸ στόμιον τῆς μήτρας, καθιέναι τὴν χεῖραν καὶ ὡς προείρηται πειρᾶσθαι ἐξέλκειν, εἰ δὲ μὴ δὲ οὕτως ὑπακούοι, οὐ προσήκει σπαράττεσθαι, μετὰ γὰρ ἡμέρας ὀλίγας μυδῆσαν[1] καὶ διαλυόμενον εἰς ἰχῶρας ἐκπίπτει. Ἐπειδὴ δὲ δυσωδίας παρέχει πολλάς, ὥστε τὴν κεφαλὴν σφηνοῦν καὶ στόμαχον ἀνατρέπειν, ὑποθυμιατέον κάτωθεν συνεχῶς τὰ εὐώδη καὶ δυνάμενα ταῖς τοιαύταις ἀποφοραῖς ἀπομάχεσθαι καὶ τὸ χορίον κατάγειν, δεδοκίμασται δὲ πρὸς τοῦτο τό τε καρδάμωμον καὶ ἰσχάδες ἐπιτηδείως ὑποθυμιώμενα καὶ τὸ βδέλλιον μετὰ βράθυος καὶ λιβανωτός μετὰ στύρακος καὶ ὄνυξ ἀρωματικὸς καὶ τὸ λάδανον·[2] πότιζε δὲ αὐτὰς καὶ καστορίου δραχ. α', μετὰ γλήχωνος ἴσου ἐμμελικράτου καὶ τὰ ἁπλούστερα τῶν καταμήνια ἀγόντων[3] καὶ τὸ ζέμα τῆς ἀρτεμισίας καὶ δαφνῶν μετὰ μέλιτος. Προσθετὰ δὲ πρὸς τόδε· σμύρνην καὶ κυκλάμινον μύρῳ μιγέντα, προβάτου δὲ ἢ αἰγός χορίον ξηρόν κοπὲν καὶ μετ' οἴνου ποτιζόμενον ἢ μετὰ μύρου προστιθέμενον ἢ καὶ περιαπτόμενον μόνον, ἀλύπως ἡ μήτρα ἃ κατέχει κατάσπᾷ. Ἄλλο. Σταφίδων σάρκας, κυμίνου, ῥητίνης, τερεβινθίνης, ἀφρονίτρου ἀνὰ δραχ· ι', μετὰ μέλιτος προστίθει ἢ πότιζε. ποιεῖ ἐγκαθίσασα ἀφεψήματι ἀρτεμισίας, δάφνης ἢ ἀνήθων καὶ χαμαιμήλων.

Τρόποι ἐκλήψεω χορίου.

Ἄλλο.

1 τὰ τὰ B. 2 ποτισμῶν B. ῥηθήσεται B. 3 πιεῖν B. 7 ἱματίως B. περισκέποντες B. 9 ἐξαρκεῖ Γ. 10 ἄνευ, δὲ B. 11 μηδεῖσαν A. μηθεῖσαν Γ. καὶ εἰς BΓ. 13 σφιγγοῦν Γ. 15 καταγαγεῖν Γ. 16 ὑποθυμιώμεναι Γ. 18 λάθανος Γ. 19 ἐμπλούστερα B. 20 „δάφνων" ἅπαντ. τὰ κείμ. ἡμετ. διόρθ. δαφνῶν Ζερβ. 21 τὸ δὲ AB. 22 μιγέντι B. 25 σταφίδος B. 26 ἐγκαθίσας B.

[1] = σαπὲν καὶ διαλυόμενον κτλ. Z.

[2] καὶ λήδανον φέρεται ἡ ῥητίνη, τὸ κοιν. κόμμι. Z.

[3] Τὸ „καὶ τὸ ζέμα κλπ." μέχρι τοῦ τέλους τοῦ κεφ. „ἀνήθων καὶ χαμαιμήλων" παραλείπει ὁ A. κῶδ.

ΠΕΡΙ ΕΠΙΜΕΛΕΙΑΣ ΜΕΤΑ ΤΗΝ ΕΜΒΡΥΟΤΟΜΙΑΝ, ΑΣΠΑΣΙΑΣ.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

Ἀποδοθέντος δὲ τοῦ χορίου εἴτε εὐθὺς μετὰ τὴν τοῦ ἐμβρύου κομιδὴν εἴτε μετὰ ταῦτα καὶ μηδενὸς ἐν τῇ μήτρᾳ περιττοῦ ὑπολιμπανομένου, συνάγειν χρὴ τὰ σκέλη ἵνα συνέλθωσιν οἱ διεσπασμένοι τόποι. Καὶ εἰ μὲν ἀρκούντως ἐκαθάρθησαν, προκλύζειν τοὺς τόπους μαλάχης ἢ τήλεως ἀφεψήματι καὶ ἐγχυματίζειν ἐλαίῳ θερμῷ καὶ καταβρέχειν τὸ ἐφήβαιον καὶ τὴν ὀσφὺν τῷ τοιούτῳ ἐλαίῳ καὶ σκέπειν ἐρίοις πλείστοις ἁπαλοῖς ἐλαίῳ θερμῷ βεβρεγμένοις, τροφὰς δὲ ῥοφηματώδεις διδόναι καὶ ὑδροποσίας τηρεῖν· εἰ δὲ μὴ καθαρθεῖεν δεόντως, ἐγκαθίζειν εἰς ἀφέψημα τήλεως, ἀρτεμισίας, ἀλθαίας, γλήχωνος, καὶ ποτίζειν συνεχῶς τὸ τοῦ γλήχωνος ἀφέψημα καὶ τὸ τῆς τήλεως. Εἰ δὲ ὑπὲρ δύναμιν καθαρθῇ, ταῖς μετρίως στυφούσαις ἐμβροχαῖς χρηστέον καὶ ἐγκαθίσμασι, καὶ τὸ ὑπογάστριον μακρῷ ἐπιδέσμῳ[1] ἐπιδεῖν καὶ τροφὰς διδόναι στυφούσας· εἰ δὲ φλεγμονὴ ἐπιγένοιτο, ὡς πρὸς φλεγμονὴν πάντα ποιητέον, εἰ δὲ καὶ αἱμορραγία πολλὴ γένοιτο, βοηθεῖν ὡς ἐν τῷ περὶ αἱμορραγούσης μήτρας ἐροῦμεν. Εἰ δὲ μηδὲν τούτων εἴη, μόνον λιπαίνειν καὶ θερμαίνειν τούς τε τόπους καὶ τὸν τράχηλον καὶ τὴν κεφαλήν.

ΑΙΤΙΑΙ ΑΝΔΡΩΝ ΚΑΙ ΓΥΝΑΙΚΩΝ ΔΙ' ΑΣ ΟΥ ΠΑΙΔΟΠΟΙΟΥΣΙ, ΚΑΙ ΘΕΡΑΠΕΙΑ ΚΑΙ ΣΗΜΕΙΑ ΣΥΛΛΗΨΕΩΣ.

ΚΕΦΑΛΑΙΟΝ Κϛ'.

Ἀσυλληψία περὶ ἄνδρα.

Ἀσυλληψία γίνεται ἢ περὶ τὸν ἄνδρα ἢ περὶ τὴν γυναῖκα ἢ καὶ περὶ ἀμφοτέρους. Περὶ μὲν τὸν ἄνδρα ἢ τῷ διένθερμον σφόδρα καὶ οἱονεὶ πεφρυγμένον τὸ σπέρμα προΐεσθαι ἢ παρὰ

---

1 ἐπὶ τὴν ἐμβρυοτομίαν Β. 5 τοῦ λελιμπανομένου Γ. 11 καθαρθεῖ Α. καθαρθεῖν Β. 14 καθαρθεῖ Α. ταῖς μεμετρίαις Β. 16 ὡς πρὸς — — μέχρι βοηθεῖν, παραλ. Β. 19 καὶ μηδὲν τούτων μόνον λιπαίνειν Γ. 25 δι' ἀμφοτέρους Γ. 25 διάθερμον Γ.

---

[1] Καὶ νῦν ἔτι πολλαχοῦ τῆς Ἑλλάδος παραμένει τὸ ἔθος τοῦτο τῆς διὰ μακρᾶς ταινίας ἐπιδέσεως τοῦ ὑπογαστρίου μετὰ τὴν ἔκπτωσιν τοῦ χορίου. Ζερβ.

τὸ κατάψυχρον[1] ἢ παρὰ τὸ λεπτὸν καὶ ὑδατῶδες[2] καὶ ἄτονον καὶ ἀσθενὲς τῇ δυνάμει εἶναι, ὁποῖον καὶ οἱ ὑπεργεγηρακότες ἐκκρίνουσιν, ἢ παρὰ τὸ παχὺ εἶναι ὑπὲρ τὸ δέον ἢ παρὰ τὸ ὑποσπαδιαίους εἶναι τοὺς ἄνδρας ἢ σμικρότατα ἔχειν τὰ αἰδοῖα καὶ οὐκ ἰσχύειν εἰς τὸ ἐντός τῆς μήτρας τὸ σπέρμα ἐξακοντίζειν, συμβαίνει δὲ καὶ ἐπὶ τῶν σφόδρα καταπιμέλων[3] εὔογκον τὴν κοιλίαν ἐχόντων, ἐμποδίζεσθαι τὸν τοῦ σπέρματος ἀκοντισμόν ἐσωτάτω εἰς τὴν μήτραν γίνεσθαι. Περὶ δὲ τὴν γυναῖκα ἐμποδίζεσθαι τὴν κύησιν ἢ παρὰ τὸ ἔνθερμον καὶ πυρώδη εἶναι τὴν μήτραν ἢ κατάψυχρον καὶ κάθυγρον[3] ἢ κατάξηρον καὶ αὐχμηρὰν ἢ καταπίμελον[4] καὶ σαρκώδη ἢ ἄσαρκον καὶ λεπτὴν καὶ ἀσθενῆ ἢ στενὴν καὶ σμικράν, ἢ παρὰ τὸ τὰ ἐν αὐτῇ ἀγγεῖα μεμυκέναι ἢ ἐμπεφράχθαι ἢ ἀποτετυφλῶσθαι οὐλῆς γενομένης, ἢ παρὰ τὸ ὑμένας ἐπιπεφυκέναι τῷ στόματι τῆς ὑστέρας καὶ ἀτρήτους εἶναι καὶ τὸν τράχηλον σκολιὸν ἔχειν τὴν μήτραν, ἢ τὸ στόμα αὐτῆς μεμυκέναι ἢ σφόδρα ἀνεῳγμένον εἶναι διὰ παντός, ἢ παρὰ τὸ ἕτερόν τι πάθος τὸ ἐφεξῆς ῥηθησόμενον εἶναι περὶ τὴν ὑστέραν. Εἴη δ' ἂν κώλυμα τοῦ μὴ κυΐσκειν καὶ τὸ ἀνάγκῃ καὶ μὴ ἐθέλουσαν μίσγεσθαι τῷ ἀνδρὶ τὴν γυναῖκα, ἡ γὰρ ἀγαπῶσα συναρμόζει τὴν γονήν, καὶ διὰ τοῦτο αἱ μετ' ἔρωτος μίξεις ταχυτεκνόταταί εἰσι. Γίνεται δὲ καὶ παρὰ τὴν ἡλικίαν ἢ

Περὶ γυναι[...]

Αἰτία μὴ κυΐσ[...] σθαι, φ[...] καὶ τ[...] ἀκουσί[...] μίσγεσ[...] τῷ ἀν[...] τὴν γυ[...] κα.

6 ἔνογκον Β. 7 ἐμποδίζεται Γ. 8 παρὰ Γ. 9 ἄνευ, παρὰ Γ. 11 αὐχμηρόν ΑΒΓ. αὐχμηρὰν ἡμ. διόρθ. Ζερβ. λεπτὸν ΑΒΓ. ἡμ. διόρθ. λεπτὴν Ζερβ. 13 ἢ οὐλῆς Γ. 14 ὑμένος Β. 15 τὸ τράχηλον Β. σκόλιον Β. ἀντὶ ἔχειν Γ. 16 ἀνεῳγέναι Γ. 17 τὸ τῶν ἐφεξῆς Γ. 20 ἀγάπῃ Β.

[1] Οἱ μέγα τὸ αἰδοῖον ἔχοντες, ἀγονώτεροι εἰσὶ τῶν μετριαζόντων, διὰ τὸ μὴ γόνιμον εἶναι τὸ σπέρμα τὸ ψυχρόν, ψύχεσθαι δὲ φερόμενον λίαν μακράν. Ἀνων. Εἰσαγ. Σελ. 50. Καὶ Ἀριστοτέλης. Συμβαίνει καὶ ἐπὶ τῶν μέγα τὸ αἰδοῖον ἐχόντων· ἀγονώτεροι γὰρ εἰσὶ τῶν μετριαζόντων διὰ τὸ μὴ γόνιμον εἶναι τὸ σπέρμα τὸ ψυχρόν, ψύχεσθαι δὲ τὸ φερόμενον λίαν μακράν. Ἀρ. περ. Ζ. Γενέσ. Α'. Σελ. 54.

[2] Διὰ τί τῶν οἰνοφλύγων τὸ σπέρμα οὐ γόνιμον ὡς ἐπὶ τὸ πολύ; ἢ ὅτι ἡ κρᾶσις τοῦ σώματος ἐξύγρανται; τὰ δὲ ὑγρὰ σπέρματα οὐ γόνιμα, ἀλλὰ τὰ συνεστῶτα καὶ πάχος ἔχοντα. Ἀριστ. Προβλ. Γ. II. Σελ. 871.

[3—4] Ἐν τῷ περὶ Σκυθῶν φησιν ὁ ἀρχαῖος Ἱπποκρ. Τῇσι δὲ γυναιξὶν ἥ τε πιότης τῆς σαρκὸς καὶ ὑγρότης· οὐ γὰρ δύνανται ἔτι ξυναρπάζειν αἱ μῆτραι τὸν γόνον, οὔτε ἐπιμήνιος κάθαρσις αὐτέῃσι γίγνεται ὡς χρεών ἐστιν, ἀλλὰ ὀλίγον καὶ διὰ χρόνου· τό τε στόμα τῶν μητρέων ὑπὸ πιμελῆς συγκλείεται καὶ οὐχ ὑποδέχεται τὸν γόνον. Περὶ ἀέρ. ὑδ. τόπων Σελ. 76.

πάνυ νέαν ἢ πρεσβυτέραν εἶναι, οὐδ' εὐθὺς ἀρχομέναις ἡβάσκειν συνοικίζειν προσήκει, ἀλλὰ τὸν μὲν ἄνδρα τριάκοντα ἐτῶν τὴν δὲ γυναῖκα δέκα καὶ ὀκτώ· μάλιστα δὲ γίγνεται ἀσυλληψία καὶ περὶ τὴν ἄθετον διάπλασιν τῆς γυναικός. Εἶναι γὰρ προσήκει τὴν ἐπίτεκνον γυναῖκα τοιάνδε· μήκει σύμμετρον, τὰ περὶ τὸ ἰσχίον καὶ τὸ ὑπογάστριον πλατέα ἔχουσαν, γλουτούς ἐξέχοντας, ἐπιγάστριον εὔογκον, στέρνον στενόν, καὶ τιτθοὺς μείζονας, αἱ τοιαῖδε δὲ γυναῖκες κυΐσκουσι ταχύ, αἱ δὲ τἀναντία πανταχοῦ ἔχουσαι ἀτεκνότεραι. Τάχα δέ τις καὶ ἄρρητος παρὰ τὰς προειρημένας αἰτίας ἐστὶ πρόφασις τοῦ μὴ κυΐσκεσθαι,[1] αἱ δὲ ἐπίκαιροι αἰτίαι τοιαῦταί εἰσι· τῶν μὲν οὖν ἀνδρῶν ὅσοι διά τινα δίαιταν ἢ διαγωγήν μοχθηράν τὸ σπέρμα φθείρουσι, τῇ μεταθέσει τῆς διαίτης ὑγιεινοτέρᾳ καὶ τεταγμένῃ ἀρωγῇ χρησάμενοι, γόνιμον ἕξουσι τὸ σπέρμα, καὶ οἱ ἀσυμφώνως πρὸς τὰς ἑαυτῶν γυναῖκας διακείμενοι μεταλαβόντες ἄλλας, παιδοποιήσονται· ὑποσπαδιαῖοι χειρουργηθέντες καὶ οἱ γονορροϊκοὶ θεραπευθέντες παιδοποιήσουσιν· οἱ δὲ τυφλωθέντες τοὺς σπερματικούς πόρους, οἷον συμβαίνει τισί τῶν λιθοτομουμένων, ἀνιάτως ἔχουσιν· ὁμοίως καὶ οἱ εὐνουχώδεις οὐκ ἀποκρίνουσι σπέρμα οὐδὲ οἱ στενόποροι ἐξακοντίζουσιν. Εἰ τοίνυν τὰ ἄλλα εὖ ἔχει ἥ τε γυνὴ καὶ ὁ ἀνὴρ καὶ μήτε ἡλικία μήτε ἕξις σώματος μήτε διάθεσίς τις περὶ τὴν ὑστέραν ἐμποδὼν εἴη, διαιτᾶν χρὴ ὧδε· τὴν μὲν γυναῖκα μήτε σφόδρα ἐπιπόνως μήτε ἀταλαιπώρως, ἡ γὰρ ἀργία περιττωμάτων ἐμποιητική, ταλαιπωρία δὲ πλείστη διαφθείρει τὰς καθάρσεις καὶ ξηραίνει τὸ αἷμα· λουτρὰ δὲ μήτε συνεχῆ μήτε διὰ πλεῖστα, σιτία δὲ καὶ πόματα εὐπεπτότερα καὶ ὧν δύναται κρατεῖν καὶ

Καὶ πόσων ἐτῶν προσήκει συνουσιάζειν τόν τε ἄνδρα καὶ τὴν γυναῖκα καὶ ὁποίαν δεῖ εἶναι τὴν ἐπίτεκνον γυναῖκα.

Δίαιτα.

1 εἰ πάνυ ἢ πρεσβυτ. Γ. 3 γίγνεται δὲ Γ. 7 στένον ΑΒΓ. ἡμ. διόρ. στενὸν Ζερβ. τιτθοὶ μείζ. Γ. 8 κυΐσκονται Γ. 10 εἰσὶ προφάσεις Γ. 11 ὧσι διὰ Γ. 12 διαίταν Γ. 13 ὑγιεινότερα τῆς διαίτης καὶ τῆς ἀρωγῆς Γ. 16 χειρ. παιδοποιήσονται Γ. 17 αἱ δὲ τυφλωθέντες Β. 19 εὐνουχισθέντες Γ. 20 ἐξακοντίκτουσι Β. εἴτε γυνὴ Γ. 21 ἄνευ, τις Α. παρὰ τὴν Γ. 22 παρεμποδὼν Γ. ᾧ δὲ Β. 25 λοῦτρα Β. διαπλεῖστα Β. 26 ὢν Β. ἀδύναται Β.

[1] Περὶ δὲ τῆς γυναικείης φύσιος καὶ νοσημάτων τάδε λέγω· μάλιστα μὲν τὸ θεῖον ἐν τοῖσιν ἀνθρώποισιν αἴτιον εἶναι· ἔπειτα αἱ φύσιες τῶν γυναικῶν καὶ χροιαί· αἱ μὲν γὰρ ὑπέρλευκοι, ὑγρότεραί τε καὶ ῥοωδέστεραι, αἱ δὲ μέλαιναι σκληρότεραί τε καὶ στρυφνότεραι, αἱ δὲ οἰνωπαὶ μέσον τι ἀμφοτέρων ἔχουσι. Ἱππ. π. Γυν. φύσ. VII. Σελ. 312.

πέττειν ἡ γαστήρ. Τὸ δὲ δὴ μέγιστον μὴ παρορᾶν περὶ πᾶσαν τὴν ὥραν οὕτως διαιτᾶν, μὴ πιαινόμενον τὸ σῶμα μήτε τῆς γυναικός μήτε τοῦ ἀνδρός σφόδρα γένοιτο, οὐδὲ γὰρ ὁ πιμελώδης ἀνὴρ ἐπιτήδειος εἰς παιδοποιΐαν οὔτε ἡ γυνή· δι' αὐτὸ πρῶτον μὲν μὴ δὲ ὁρμάζειν τοῖς αἰδοίοις καὶ ὅτι ὀλίγον σπέρμα γεννῶσιν οἱ πίονες, ὥστε καὶ ὀλίγον καταμήνιον αἱ γυναῖκες κενοῦσιν αἱ λιπώδεις, τὸ γὰρ πλεῖον τῆς τροφῆς εἰς τὴν πιμελὴν ἁλίσκεται. Ὅπως δὲ χρὴ διαιτᾶν τοὺς πιμελώδεις ἐν τῷ περὶ καθαιρέσεως σαρκῶν λόγῳ κατὰ τὸν τέταρτον λόγον προείρηται. Ἁρμόδιον δὲ πρὸς παιδοποιΐαν καὶ τὸ πρὸς τοῖς σιτίοις προσφέρεσθαι τῶν συνήθως καὶ ἡδέως ἐσθιομένων καὶ πινομένων τὰ παρορμητικὰ πρὸς συνουσίαν καὶ γεννητικὰ τοῦ σπέρματος, οἷα ἐστὶ τὰ ἠρέμα πνευματοῦντα καὶ θερμαίνοντα· οἴνους τε οὖν πρὸ ὑδροποσίας ἐπαινῶ καὶ λαχάνων τὸ ὄρμινον καὶ εὔζωμον, καὶ μαλάχην καὶ τὰ λοιπὰ εἴδη πολλάκις προειρημένα, πήγανον δὲ καὶ ἡδύοσμον καὶ καλαμίνθην πάντων μᾶλλον φυλακτέον τὸ ἡδύοσμον, πολὺν ἄγει σπέρμα λελυμένον δὲ καὶ ἀσθενές ἐστι, τὸ δὲ πήγανον φθείρει.[1] Χρὴ οὖν πλησίον γενομένης τῆς ἐμμήνου καθάρσεως εἰδέναι ὡς καιρός ἐπιτήδειος πάρεστι τῆς συλλήψεως, καὶ τὴν μὲν δαψιλέστερον διαιτωμένην γυναῖκα ἀφαιρεῖν τῶν σιτίων καὶ σύμμετρον προσφέρειν δίαιταν καὶ λεπτύνουσαν καὶ τοῖς εὐχυμοτέροις κεχρῆσθαι· τὴν δὲ ὀλίγαις κεχρημένην τροφαῖς, προσθῆναι ταύταις. Προσπλέκειν μέντοι ταῖς τροφαῖς πάσαις τὰ ἐρεθίζειν τὰς καθάρσεις δυνάμενα, οἷά ἐστι τὰ εὐώδη λάχανα, σκάνδιξ,[2] κρῆθμα,[3] γιγγίδια, μάραθρα, σέλινα, σμύρνια, ἀσπά-

1 πίπτειν B. ἄνευ, δὴ B. δεῖ Γ. ἄνευ, μὴ A. 2 ἄνευ, μὴ A. πιαιγόμενον B. 3 ἄνευ, σφόδρα γένοιτο A. 4 ἄνευ, αὐτὸ B. 5 ἁρμόζειν B. 6 πλείονες, ἀντὶ πίονες AB. 7 δὲ Γ. 7—8 καταναλίσκεται AB. 11 ἐδηδεσμένων AB. 13 οἷα δὲ B. 14 τὸ ὅρμον B. 16 φυλακτέα A. 17 ἀσθενές τι B. ἄνευ, ἐστί Γ. 21 προσφερέσθω Γ. λεπτύνσης Γ. 23 προστιθέναι Γ. ἄνευ, προσθῆναι — — μέχρι, „πάσαις" A. 23 πάσαις δὲ A. 25 ἄνευ, σκάνδιξ A. κρίθαιον A. σέλινον κλπ. αἰτ. ἑνικ. A. ἄνευ, ἀσπάραγον A.

[1] Καὶ Πεδ. Διοσκορ. Πήγανον — — πινόμενον — — κινεῖ καταμήνια, τὰ δὲ ἔμβρυα φθείρει· περ. ὕλ. ἰατρ. βιβλ. γ'. Σελ. 394.

[2] Εἶδος εὐώδους λαχάνου κ. σκάνδιξ. λατ. Scandix Ζερβ.

[3] Καὶ παρ' Ἱπποκράτει τὸ θαλάσσιον κρήταμον καλεῖται Ζερ.

Σημεῖα συλλήψεως.

ραγον, ἐλίτην καὶ τὰ ὅμοια, ἐλπὶς γὰρ καθαρθείσης καλῶς πρὶν ψυχῆναι τὴν ὑστέραν, συλλαβεῖν· εἰ δὲ καὶ μετὰ τὴν συνουσίαν τὰ τῆς συλλήψεως σημεῖα παρέποιτο, πολλαὶ ἐλπίδες. Σημεῖα δὲ τοιάδε· μύει τὸ στόμα τῆς ὑστέρας καί ξηρόν γίνεται καὶ ἀναχωρεῖ ἀπὸ τοῦ αἰδοίου, αἱ δὲ ἔμπειροι τόκου καὶ κινηθείσης αἰσθάνονται τῆς ὑστέρας εὐθὺς μετὰ τὴν τοῦ σπέρματος εἴσοδον, κινεῖται γὰρ περιλαμβάνουσα τὴν γονήν, τισὶ δὲ καὶ λαγῶνες πηδῶσιν, ἐνίαις δὲ καὶ καρδιαλγία καὶ ἔκλυσις ἐπιγίνεται μεθ' ἡδονῆς τινος. Δηλώσει δὲ οὐ σμικρόν πρὸς τοῖς εἰρημένοις καὶ τὸ στραγγουριῶδές τι πάθος πάσχειν τὴν γυναῖκα, μάλιστα δὲ τοῦτο πάσχουσιν αἱ πρῶτον κυϊσκόμεναι, καὶ μάλιστα ἐὰν μὴ καλῶς καθαρθεῖσαι κυήσωσιν· ἀλλὰ καὶ ταῖς ἄλλαις μετρίως συμβαίνει μέχρι τῶν ἑπτὰ ἡμερῶν, μετὰ δὲ τὴν ἑβδόμην ἄρχεται κατὰ βραχὺ τὰ τῆς κίττης σημεῖα, ἐπιθυμίαι ὀξέων καὶ ἁλικῶν βρωμάτων, σκοτώματα, ὠχρότης, ὕπνοι μακρότατοι, δῆλον δὲ ὅτι καὶ ἐμμήνων ἐποχὴ ἀνωδύνως.[1] κινεῖται δὲ τὰ μὲν ἄρρενα, σφοδρότερον καὶ ταχύτερον καὶ μᾶλλον ἐπὶ τὰ δεξιὰ μέρη, ἐπὶ δὲ τῶν θηλέων τὸ ἀνάπαλιν.[2] Τοσαῦτα μὲν περὶ προφυλακῆς εἰρήσθω, νυνὶ δὲ ῥητέον ὅπως χρὴ ἰᾶσθαι ἑκάστην διάθεσιν, ἐφ' ᾗ οὐ κυΐσκονται.

ΨΥΧΡΟΤΕΡΑΣ ΜΗΤΡΑΣ ΘΕΡΑΠΕΙΑ ΚΑΙ ΣΗΜΕΙΑ.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

Εἰ μὲν οὖν διὰ ψυχρότητα τῆς ὑστέρας οὐ γίνεται σύλληψις, τά τε ἄλλα γυμναζομένη καὶ πυρίαις πάσαις πυριωμένη ἀνακαλείσθω

---

4 μύοι *Β*. 5 ἔμπυροι *Β*. 7 ἄνευ, τὴν *Β*. 9 τὰς εἰρημένας *Α*. 11 πρῶτος *Β*. ἄνευ, μάλιστα *Β*. 14 κιττῆς *Β*. 15 μακρότεροι *Γ*. 17 περὶ τὰ *Γ*. 18 „τῆς θηλείας" ἅπαν. οἱ κώδικ. ἡμεῖς διωρθώσαμεν „θηλέων" κατ' ἀντιστροφ. „ἄρρενα" Ζερβ. προφυλάξεως *Γ*. 21 ἄνευ, σημεῖα *Γ*. 23 γένηται *Γ*.

[1] Ὁκόταν γὰρ τὰ ἐπιμήνια κρυφθῇ, ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα. καὶ δοκέει ἐπικεῖσθαι οἱ βάρος, καὶ ἰξύας πονέει καὶ τοὺς κενεῶνας· — — ἡ δὲ ὀδύνη καὶ ἐς τὴν κεφαλὴν καὶ ἐς τὸν τράχηλον φοιτᾷ. Ἱππ. Π. φ. Γυν. Σελ. 338.

[2] Τὸ μὲν ἀτελέστερον ἐν τῇ κινήσει θῆλυ, τὸ δὲ τελειότερον ἄρρεν γίνεται· καὶ ἀλλαχοῦ· τὸ γὰρ θῆλυ τοῦ ἄρρενος καὶ ἀσθενέστερον καὶ ὑγρότερον. Πρωτοσπ. Σελ. 227 καὶ 247.

ἡ γυνὴ τὸ θερμὸν, ὥστε οὐκ ἄτοπον καὶ καστόριον[1] ταύτην πίνειν καὶ ἐκ τῶν εὐωδῶν σπερμάτων κύμινον, ἄνισον, γλήχωνα καὶ τὰ ὅμοια ἑκάστῳ μίσγουσαν πέπερι, βέλτιον δὲ τὴν κοιλίαν κενῶσαι τῷδε τῷ φαρμάκῳ· ἐπιθύμου, εὐφορβίου, πεπέρεως, δαύκου,[2] πετροσελίνου,[3] ἑκάστου ἴσον λειότατον ποιήσας, δίδου πίνειν ὅσον δραχ. β'. τοῦτο καὶ τὴν κοιλίαν καλῶς λύει καὶ θερμαίνει τὴν ὑστέραν, ὥστε καὶ πολλαῖς ἤδη καταμήνια κατέρρηξεν ἔμπροσθεν οὐ καθαιρομέναις. Εἰ δὲ μὴ ἐξαρκεῖ καθαίρειν κάτω, ἐμέτοις χρῆσθαι δι' ἀφεψήματος θύμου ἢ ὀριγάνου,[4] ποτὲ δὲ καὶ ἀπὸ σιτίων, παντὶ δὲ τρόπῳ φλέγματα κενοῦν συμφέρει· μετὰ δὲ τοὺς ἐμέτους πίνειν χρὴ καστόριον καὶ τὰ προρρηθέντα σπέρματα. Αἱ δὲ τῶν ὑστερῶν πυρίαι τοῦτο μὲν ἀτμοὶ ἔστωσαν διὰ καλάμου προστιθεμένου τῷ τετρημένῳ πώματι τῆς χύτρας πυριῶντες, τοῦτο δὲ καὶ αὐτῷ τῷ ἀφεψήματι προσκλύζοντες. ἑψεῖν δὲ χρὴ τῷ ὕδατι ἀρτεμισίαν, πήγανον, κύμινον, γλήχωνα, κύπεριν, ἄκορον, καταπλάττειν δὲ καὶ ἦτρον τούτων ἕκαστον καὶ εἴτι ἄλλο θερμαίνειν δύναται. Ἀγαθὸν δὲ καὶ τὸ πολυάρχιον ἐπίθεμα καὶ τό τοῦ ἀμυθάωνος καὶ εἴ τι ἄλλο τοιοῦτον καὶ ἀνατρίβειν τό τε ἦτρον καὶ τὴν ὀσφύν, ἴρινον, ἀμαράκινον, κύπρινον, καὶ πεσσοὺς δὲ προστιθέναι τῇ ὑστέρᾳ διὰ σμύρνης, πηγάνου, χαλβάνης, καστορίου πεποιημένους, τισὶ δὲ αὐτῶν καὶ τῶν ἰσχυροτέρων μίσγειν, οἷον πέπερι ἢ ἅλας ἢ χολὴν

1 ἄνευ, γυνὴ ΑΓ. ἄνευ, ταύτην Α. 3 ἅπαντ. οἱ κώδικ. ἔχουσιν „ἑκάστου“ ἡμ. διωρθώσαμ. „ἑκάστῳ“ Ζερβ. σμίγουσαν Α. σμίγουσι Γ. δὲ ταύτην Β. 5 ἑκάστοις Γ. 7 πολλῶν Γ. 8 καθαιρεῖν Β. 9 διαφεψήματος Β. 10 φλέγμα Β. 11 καστορίου Γ. 13 τεθρημμένου Β. 14 προσκλυστέον Γ. 16 κύπερον Β. γὰρ, ἀντὶ, δὲ Β. 20 ἄνευ, ὑστέρᾳ Γ. ἄνευ, σμύρνης Γ. 22 ἢ τοὺς ἅλας Β. ἄλλους Γ. ἄλλοις Α. τοὺς ἅλας Β. ἡμ. διόρ. „ἅλας“ Ζερβ.

[1] Καὶ ὁ Ἱππ. πινέτω τὸν κάστορα (ἡ γυνὴ), καὶ ἀσιτέουσα ἀλουτείτω, θυμιωμένη καὶ τὸν κυκεῶνα πίνουσα παρὰ τὸν ἄνδρα ἡκέτω. Περ. Γυν. δεύτ. VIII. Σ. 334.

[2] Οἱ δὲ καὶ δαύκιον καλοῦσι —. Πινόμενον (τὸ σπέρμα) ἐμμήνων, ἐμβρύων καὶ οὔρων ἀγωγόν. Διοσ. I. Σελ. 420.

[3] Πετροσέλινον — — εὐῶδες — — δριμὺ καὶ ἀρωματίζον, οὐρητικόν, ἐμμήνων ἀγωγόν. Διοσ. I. Σελ. 413.

[4] Ἢν τὰ γυναικεῖα μὴ φαίνηται, στύρακα καὶ ὀρίγανον τρίψας λεῖα καὶ ξυμμίξας ἐπίχεε χηνός ἔλαιον, ἔπειτα προστιθέσθω. Ἱππ. περὶ Γυν. VIII. Σελ. 212.

βοείαν, ἰσχυρόν δὲ καὶ τὸ ἐλατήριον ἀλλὰ καὶ ἐπιεικές. Χρὴ δὲ προπυριαθεῖσαν ὑδρομέλιτι ἢ θαλάσσῃ ποτὲ μὲν καθ' αὐτὴν ποτὲ δὲ ὄξει συγκεκραμένῃ, οὕτω προστίθεσθαι τὰ εἰρημένα φάρμακα ἀναλαμβάνουσαν ἐρίῳ μαλακῷ καὶ περιελίττουσαν, ὥστε μὴ τὸν χρῶτα δάκνοντα ἕλκωσιν ἐργάσοιτο· δῆλον δὲ τὸ ἐφ' ἑκάστου μέτρον. πρὸς γὰρ τὰς μεγάλας διαθέσεις καὶ ἐπὶ πολὺ κεκρατηκυίας, καὶ ἐπιτείνειν τὴν δύναμιν τῶν φαρμάκων καὶ ἐπιμένειν αὐτοῖς ἐπὶ χρόνον, ἐπὶ δὲ τῶν ἄλλων καὶ ἀνιέναι τὴν δύναμιν καὶ πρὸς ὀλίγον χρῆσθαι. Τεκμήριον δὲ τῶν ψυχροτέρων ὑστερῶν ἡ τοῦ καταμηνίου ἐπίσχεσις, ὑπὸ γὰρ παχύτητος οὐ χρηστῶς φέρεται,[1] ναρκώδη δὲ γίνεται τὰ περὶ τὸ ἦτρον καὶ ὀσφὺν καὶ σκέλη· ἐγὼ δὲ πολλὰς τούτων ἐθεασάμην καὶ ἀκρατεῖς σκελῶν γενομένας, αἱ δὲ εἰς τέλος ἐψυγμέναι οὐδὲ ἀφροδισίων ἐφίενται, καὶ τὸ στόμα δὲ τῆς ὑστέρας ἀνωτέρω συστέλλεται. Καὶ πρὸς μὲν τὰς ψύξεις οὕτω δεῖ ποιεῖν.

ΘΕΡΜΟΤΕΡΑΣ ΜΗΤΡΑΣ ΣΗΜΕΙΑ ΚΑΙ ΕΠΙΜΕΛΕΙΑ.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

Τὰς δὲ θερμοτέρας τῶν ὑστερῶν διαγνωσόμεθα καὶ ἐκ τούτων· ἐκ τοῦ τό τε ἄλλο σῶμα θερμότερον εἶναι καὶ καταμήνια ὀλίγα φέρεσθαι καὶ σὺν ὀδύνῃ, ὅθεν δακνόμενοι οἱ τόποι ἐνίοτε ἑλκοῦνται, αὐτὰ δὲ τὰ κενούμενα καταμήνια ταύταις μελάντερα ἐστὶ καὶ ἀτάκτως κενοῦνται διὰ τὸν ἐρεθισμόν, αὗται δὲ εὔφοροί εἰσι πρὸς συνουσίαν καὶ ξηρότεραι τῷ παντὶ σώματι. Σιτία μὲν οὖν ὑγρότερα ταύταις ἐπιτήδεια, λαχάνων μὲν θριδακίναι, μαλάχαι, βλίτα, κολοκυνθίς, ἀτράφαξυ,[2] ἀνδράχνη, σίκυος,

1 ἀποικιές Γ. 2 καὶ προπυριασθεῖσαν ΑΒ. 3 „ὄξους" ἄπαντ. οἱ κώδικ. „ὄξει" ἡμετέρ. διόρθωσ. Ζερβ. συγκεκραμμένου ΒΓ. συγεκραμμένην Α. ἡμ. διόρθ. „συγκεκραμένῃ" Ζερβ. προστιθέσθω ΑΒ. 4 „καὶ αναλ..." τὰ κείμ. ἡμ. ἀφηρ. τὸ „καὶ" Ζερβ. 5 δάκνουσα Β. δάκονται ΑΓ. ἡμ. διόρθ. „δάκνοντα" Ζερβ. ἐργάσοιτο ΑΒΓ. ἐν ᾧ προσεδοκᾶτο „ἐργάζεσθαι" Ζερβ. 6 ἐφ' ἑκατέρου ΑΓ. μὲν, ἀντὶ, γὰρ Β. 7 ἐπὶ τοίνυν Γ. 8 ἄνευ, καὶ ἀνιέναι Γ. 9 „κεχρῆσθαι" ἄπ. τὰ κείμ. ἡμ. διόρθ. „χρῆσθαι" Ζερβ. 10 καταμηνιαίου Β. 11 ναρκῶδες Γ. 13 ἐγκρατεῖς Β. 18 τοὺς δὲ Β. 19 ἄνευ, ἐκ τοῦ Β. 22 αὐταὶ Γ. 25 βλίτοι Γ. βλίττα Α. ἀτραφάξος Β.

[1] *Καὶ ὡς ἐπίπαν εἰπεῖν, ἢν τὸ σῶμα φλαύρως ἔχῃ, καὶ τὰ ἐπιμήνια ἐλάσσονα τῇ γυναικὶ χωρήσει καὶ πονηρότερα, ἔστι δ' ὅτε καὶ τέλεον ἐπίσχεται.* Ζερβ.

[2] *Οἱ δὲ χρυσολάχανον ὅμοιον τῷ σπανακῷ, ἔνιοι δὲ αὐτὸ τοῦτό φασι.* λατ. **atriplex** Ζερβ.

καὶ ὅσα ὑγρότερα ἐστὶν ἐν τῇ διαίτῃ· οἶνος λευκὸς καὶ ὑδαρέστερος, ὕπνοι καὶ λουτρὰ γλυκέων ὑδάτων. Τῇ δὲ ὀσφύϊ καὶ τῷ ἦτρῳ προσάγειν τὰ ψύχοντα, στρύχνου χυλόν, κοτυληδόνος, ἕκαστον ῥοδίνῳ μίσγοντας καὶ ἐρίῳ ἀναλαμβάνοντας καὶ προσάγοντας τοῖς τόποις, καὶ ἡ λινοζῶστις δὲ ταῖς θερμοτέραις τῶν ὑστερῶν συμφέρει ἐπιχριομένη τῇ τε ὀσφύϊ καὶ τῷ ὑπογαστρίῳ, καὶ ὁ λιθάργυρος μεθ' ὕδατος ἢ ψιμμύθιον. Τὸ δὲ ποσὸν τῆς χρήσεως μὴ μέγα ἐπὶ πᾶσι δύνασθαι νομιστέον, ὥστε μὴ πλέον τοῦ δέοντος ψύχεσθαι.

ΘΕΡΑΠΕΙΑ ΤΩΝ ΔΙ' ΥΓΡΟΤΗΤΑ ΤΗΣ ΥΣΤΕΡΑΣ ΜΗ ΣΥΛΛΑΜΒΑΝΟΥΣΩΝ.

ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.

Ὅσαι δι' ὑγρότητα τῆς ὑστέρας[1] οὐ κυΐσκουσι, διαιτᾶσθαι χρῄζουσι διαίτῃ ξηροτέρᾳ καὶ ἁδρομερῇ καὶ πλεῖστα γυμνάζεσθαι καὶ τρίβεσθαι καὶ ἐμεῖν δὲ πλειστάκις, ὁτὲ μὲν μετὰ τροφὴν ὁτὲ δὲ καὶ νήστεις, κενώσεως καὶ ἀντισπάσεως χάριν· ξηραίνει δὲ καὶ ὀλιγοσιτία, ὀπτά δὲ μᾶλλον ἔστω τὰ ἐσθιώμενα κρέα καὶ τῶν ἀκμαζόντων ζῴων μᾶλλον, ἰχθύες δὲ σκληρόσαρκοι καὶ πόμα οἰνωδέστερον μὲν καὶ ἀκρατέστερον μὴ πλῆθος δέ, ξηροπυρία δὲ πολλάκις, λουτροῦ σπανία ἡ χρῆσις. Οἱ δὲ ἐξ ἀρχῆς πειρώμενοι τῇ ὑστέρᾳ προσάγειν τὰ ξηραίνοντα καὶ ἐπέχοντα, μεγάλως βλάπτουσιν, ἀνατρέχει γὰρ ἐπὶ τὰ κυριώτερα μόρια ἡ κωλυομένη ὕλη. Ἀπερίττου δὲ γενομένου τοῦ παντός σώματος, ἀσφαλέστερον καὶ τῇ ὑστέρᾳ προσάγειν τὰ στύφοντα καὶ τονοῦντα φάρμακα, οἷά ἐστι σχίνου[2] ἀφέψημα καὶ μύρτων καὶ ῥόδων, βάτου φύλλα καὶ πολυγόνου τοῦ θήλεος,[3] τὸ δὲ ἄρρεν ἀγρώστει μᾶλλον ἔοικεν, ἄνθος ἔχον πυῤῥὸν καὶ φύλλα παρα-

1 ἄνευ, ἐν τῇ διαίτῃ *Γ*. ὑδαρέστατος *Β*. 4 ἀναλαβόντας *Β*. 6 τῇ δὲ *Β*. 8 ἄνευ, μὴ *Β*. 14 χρῄζουσαι *Α*. 15 ὅτι μὲν *Β*. 16 νῆστις τὰ κείμ. ἡμ. διόρθ. „νήστεις" Ζερβ. 21 ἀναξηραίνοντα *Γ*. 24—25 καὶ τονοῦν τὰ φάρμακα *Α*. 25 οἷον *Α*. 26 φύλλων *Β*. πολυγόνου, τοῦ τήλεος *Β*.

[1] Ὅρα σημ. 3—4 σελ. 37.

[2] Λατ. lentiscus, ἀλλὰ καὶ σχοῖνος ἐστί, λατ. juncus. Ἀμφότερα φάρμακα στυπτικὰ καὶ δὴ τῆς αὐτῆς που δυνάμεως Ζερβ.

[3] Λατ. Polygonum τὸ ἄρρεν, τὸ δὲ θῆλυ equisetum Ζ.

Γνωρίσματα ἀρρενοπολυγόνου.

πλήσια πηγάνῳ, σπέρμα δὲ ὑπὸ τὰ φύλλα μικρόν· δύναται δὲ καὶ τοῦτο ἴαμα εἶναι, ὅ ἑψήσας δὸς πίνειν νήστει ὡσαύτως δὲ καὶ τὸ ἕτερον. Ἔστι δέ τινα ἐπιτήδεια πόματα ταῖς καθυγραινομέναις τὴν ὑστέραν καὶ ταῦτα· φλοιόν μυρσίνης τρίψας μετ' οἴνου μέλανος δίδου· κάρυα ποντικά καύσας καὶ λειώσας δίδου μετ' οἴνου· ῥοιᾶς γλυκείας τὸν φλοιόν κόψας δίδου μετ' οἴνου. Ἐπιθέματι δὲ χρῶ τοιούτῳ· ψύλλιον κόψας καὶ φοινίκων σαρκί λελειωμένῃ ὀξυκράτῳ ἀναλαβών ἐπιτίθει, ἤ μῆλα κυδώνια ἀναλαβών τοῖς φοίνιξιν ὁμοίως χρῶ.

ΘΕΡΑΠΕΙΑ ΤΩΝ ΔΙΑ ΞΗΡΟΤΗΤΑ ΤΗΣ ΥΣΤΕΡΑΣ ΜΗ ΣΥΛΛΑΜΒΑΝΟΥΣΩΝ.

ΚΕΦΑΛΑΙΟΝ Λ.

Εἰ δὲ διὰ ξηρότητα συμβαίνει τὴν γυναῖκα μὴ κυΐσκειν, πρόδηλον ὅτι τὴν δίαιταν πᾶσαν ὑγροτέραν χρὴ ποιεῖσθαι, ὑγραινομένου γὰρ τοῦ παντὸς σώματος ἀποκαθίσταται καὶ ἡ ὑστέρα.

ΘΕΡΑΠΕΙΑ ΤΩΝ ΑΛΛΩΝ ΔΙΑΦΟΡΩΝ ΔΙΑΘΕΣΕΩΝ ΕΦ' ΑΙΣ ΟΥ ΚΥΙΣΚΟΥΣΙ ΚΑΙ ΠΕΡΙ ΤΩΝ ΔΙΑ ΠΑΧΟΣ ΧΥΜΟΥ ΤΟΥΤΟ ΠΑΣΧΟΥΣΩΝ ΓΥΝΑΙΚΩΝ. ΠΕΡΙ ΤΩΝ ΔΙΑ ΠΝΕΥΜΑΤΩΣΙΝ ΜΗ ΣΥΛΛΑΜΒΑΝΟΥΣΩΝ. ΠΕΡΙ ΤΩΝ ΜΕΜΥΚΥΙΑΣ ΤΑΣ ΥΣΤΕΡΑΣ ΕΧΟΥΣΩΝ, ΚΑΙ ΠΕΡΙ ΤΩΝ ΚΕΧΗΝΟΣ ΕΧΟΥΣΩΝ ΤΟ ΣΤΟΜΑ ΤΗΣ ΥΣΤΕΡΑΣ ΚΑΙ ΔΙΕΣΤΡΑΜΜΕΝΟΝ.

ΚΕΦΑΛΑΙΟΝ ΛΑ'.

Εἰ δὲ καὶ διὰ πάχος χυμοῦ οὐ κυΐσκουσιν, ἐπίσκεψαι τὸν χυμόν· καὶ εἰ μὲν εἴη τῶν δακνόντων, κάθαιρε τὴν γυναῖκα δίδων πίνειν ὀρρόν γάλακτος πλῆθος κοτύλας πέντε κατὰ βραχὺ,[1] καὶ διαιτᾶν εὐχύμως δεῖ καὶ ἐκ διαλειμμάτων ἐμεῖν κέλευε, τοὺς δὲ

---

2 ὁ ἑψήσας B. ἣν ἑψήσας Γ. κύστει B. 3 ἔτι τὸ ἕτερον Γ. πρόπατα B. ἄνευ, ἐπιτήδεια BΓ. 5 „κάρυα" μέχρις, οἴνου, παραλ. ὁ B. 8 κυδωνίου B. κυδωνίας Γ. 14 δεῖ ἀντὶ, χρή B. 18 κυΐσκονται Γ. 24 ἄνευ, καὶ A. 25 καθαίρε B. καθάραι Γ.

[1] Γνωστόν τυγχάνει ὅτι ὁ τοῦ γάλακτος ὀρρὸς ἐνέχων λεπτὰ μόρια τυρίνης, πολὺ σάκχαρον καὶ ἄφθονα ἅλατα, πινόμενος ὑποκινεῖ εἰς διάρροιαν. Ζερβ.

φλεγματώδεις καὶ ὑδατώδεις[1] χυμούς πόνοις πλείοσι καὶ ἱδρωτοποιΐαις καὶ ἐμέτοις δαπανᾶν, ἀρκέσει δὲ καὶ καστόριον πίνειν καὶ πυριᾶσθαι τοῖς θυμιάμασιν. Ἐπεὶ δὲ καὶ πνεύματα ἐν ὑστέρᾳ γινόμενα κωλύει τὸ κυΐσκειν, τὰ δὲ πνεύματα ὑπὸ δυσπεψίας γίνονται, πρῶτον μὲν ὀλιγοσιτίᾳ χρῆσθαι, ἔπειτα τὰ πρὸς τὰ πνεύματα ἁρμόζοντα προσφέρειν, οἷον πήγανον, κύμινον καὶ τὰ λοιπὰ συνήθη σπέρματα καὶ τὰ ἀρώματα, τούτων δὲ ὑποτιθέναι καὶ μᾶλλον τὸ πήγανον μετὰ μέλιτος καὶ νίτρου βραχέος· τούτοις καὶ πυριᾶν, τούτοις καὶ καταπλάττειν τὸ ἦτρον, ἐκ τῶν τοιούτων καὶ κηρωτὴν προσάγειν, φείδεσθαι δὲ καὶ τῶν ὀσπρίων καὶ τῶν γλυκέων βρωμάτων καὶ φυσωδῶν πάντων. Τὰς δὲ μεμυκυίας ὑστέρας ἀναστομοῦν χρὴ, προσκλύζεσθαι δὲ τοῖς εὐώδεσι καὶ μαλακτικοῖς καὶ διὰ στεάτων χρῆσθαι. Πρῶτον μέντοι προσφέρειν ἐγκαθίσματα μαλακὰ καὶ προσκλύσματα μαλάχης, λινοσπέρματος, τήλεως, ἔλαιον χρηστόν ἐπιχέοντας ἔστι δ' ὅτε καὶ μέλι, μετὰ δὲ τὰ μαλακὰ εἴδη καὶ τὰ ἰσχυρότερα προσάγειν, ἀρτεμισίαν, κόνυζαν, καλαμίνθην, γλήχωνα, ἀμάρακον, ἐπιχέοντα τούτοις καὶ ἴρινον μύρον καὶ κύπρινον καὶ μέλι· τὰ δὲ πρόσθετα ἔστω σμύρνη τρωγλῖτις, τερεβινθίνη, νίτρον, κασία, ἰσχάδων σάρκες, μύρον ἀμαράκινον καὶ τὰ τοιαῦτα. Αἷς δὲ κέχηνε τὸ στόμα τῆς ὑστέρας πλέον τοῦ δέοντος[2] καὶ διὰ τοῦτο οὐ γίνεται σύλληψις, δίαιτα μὲν ξηροτέρα ἁρμόζει καὶ πυρίαι ξηραί, φάρμακά τε πρόσθετα στύφοντα, ὑφ' ὧν τὸ κεχηνός τοῦ στόματος μύσει· τοιαῦτα δέ ἐστι κηκῖδος ἀφέψημα, κύτινοι, σχῖνος, βάτου ῥίζα, μύρτα καὶ τὰ παραπλήσια. Τὰς δὲ διαστροφάς τοῦ στόματος τῆς ὑστέρας[3] πυρίαις μαλακαῖς ἀπευθύνειν, μάλιστα γὰρ ἐπὶ ταῖς

Περὶ μεμυκυί[ας] ὑστέρα[ς]

Περὶ τ[οῦ] κεχηνὸ[ς] ἐχουσῶν στόμα τ[ῆς] ὑστέρα[ς]

Περὶ τ[ῶν] διεστραμ[μένον] ἐχο[υ]σῶν τ[ὸ] στόμα τ[ῆς] ὑστέρα[ς] καὶ τῆ[ς θε]ραπεία[ς]

1 ἱδροποιΐαις B. 2 ἄρχεσθαι Γ. 3 πυριῶσθαι B. οὐ ὑστέρᾳ B. 13 στεάτων χηνῶν AB. 14 „προκλύσματοι" τὰ κείμ. ἡμ. διόρθ. „προσκλύσματα" Ζερβ. 15 μέλιτος Γ. 19 τρωγλοτίδος ΒΓ. 23 ὑπὲρ ὧν B. τῶν στομάτων Γ. 24 κυτῖνοι A. κυτίνοι ΒΓ. „κύτινοι" ἡμ. διόρθ. Ζερβ. 25 μυρτόν B. διατροφάς Γ.

[1] Ἱππ. δὲ διακρίνει πλείστας μορφάς ἐμμήνου ῥύσεως· οἷον φλεγματώδεα καὶ ὑμενώδεα καὶ χολώδεα καὶ ἰχωροειδέα καὶ λεπτὰ ἢ λευκὰ καὶ θρομβοειδέα, καὶ ὅταν μελανά τε καὶ ἀνθρακωειδέα ἢ ζοφοειδέα ἢ δριμέα, ἁλμυρὰ, θολερὰ, πυώδεα. Περὶ Γυναικ. τὸ πρῶτ. VIII. 44.

[2] Ἢν αἱ μῆτραι παρὰ φύσιν χάνωσι, τὰ ἐπιμήνια πλέον τοῦ δέοντος ἔρχονται καὶ γλισχρότερα καὶ πυκνά, καὶ ἡ γονὴ οὐκ ἐμμένει. Περ. Γυν. Φ. Ἱππ. VII. Σελ. 880.

[3] Ἢν περιστραφέωσιν αἱ μῆτραι, τά τε ἐπιμήνια οὐ γίνεται, καὶ — — ὀδύνη

πυρίαις εὐδιόρθωτον γίνεται, χρῆσθαι δὲ καὶ τοῖς μαλακοῖς προσθέτοις καὶ τῇ μήλῃ δὲ καὶ τῷ δακτύλῳ ἀπευθύνειν, μάλιστα δὲ γλήχωνος τὸ ἀφέψημα ἁρμόζει τοῖς παρεστραμμένοις στόμασι τῆς ὑστέρας, καὶ ἀρτεμισία καὶ καστόριον πινόμενον μετὰ μελικράτου· χρῆσθαι δὲ καὶ τῇ λοιπῇ ἐπιμελείᾳ τῇ ἐπὶ παρεγκλίσεως ὑστέρας ῥηθησομένῃ. Ἐπὶ δὲ τῶν διά τινα προσαγωγὴν φαρμάκων μὴ συλλαμβανουσῶν, ἐπιζητεῖν χρή, εἰ δυνατὸν, τὶ τῶν προσενεχθέντων φαρμάκων ὑπῆρχε. Καὶ εἰ μὲν τῷ ἐπισπασμῷ τῶν ὑγρῶν ἐκκλύζοιτο τὸ σπέρμα ἢ τῷ πλήθει τοῦ πνεύματος ἀπορρίπτοιτο ἢ ταῖς στυπτικαῖς δυνάμεσιν ἀποσφίγγοιτο τὸ στόμιον τῆς μήτρας καὶ κωλύοι τὴν εἴσοδον τῆς γονῆς, τὸ ἐλάττωμα διορθωτέον προσαντλήμασι καὶ ἐγκαθίσμασι τοῖς πρὸς ἕκαστον ἐναντιουμένοις, καὶ μάλιστα ἐν τῇ στύψει μύσις γίγνεται καὶ τῶν κοτυληδόνων καὶ τοῦ στομίου τῆς μήτρας· λιπάσματά [τε] προσάγειν καὶ πυρίας καὶ τὰ ὑγρασίαν ἐπισπᾶσθαι δυνάμενα.

Περὶ τῶν διὰ προσαγωγὴν φαρμάκων μὴ συλλαμβανουσῶν.

ΠΕΡΙ ΤΩΝ ΔΙΑ ΤΙΝΑ ΤΩΝ ΑΤΟΚΙΩΝ ΦΑΡΜΑΚΩΝ ΠΡΟΣΑΓΩΓΗΝ ΜΗ ΣΥΛΛΑΜΒΑΝΟΥΣΩΝ, ΟΤΙ ΤΙΝΑ ΤΩΝ ΑΤΟΚΙΩΝ ΠΛΗΡΩΣΙΝ ΤΩΝ ΕΝ ΤΗ ΜΗΤΡΑ ΑΓΓΕΙΩΝ ΕΡΓΑΖΟΜΕΝΑ, ΑΝΙΑΤΟΝ ΩΣ ΕΠΙ ΠΟΛΥ ΤΗΝ ΔΙΑΘΕΣΙΝ ΚΑΤΑΣΚΕΥΑΖΟΥΣΙΝ.

ΚΕΦΑΛΑΙΟΝ ΛΒ′.

Οὐ πᾶσαν μέντοι δύναμιν ἀτοκίου ἐστὶν ἀναλῦσαι, ἔνιά γὰρ τῶν πομάτων πρόσθετον πύρωσιν ἐπιφέρει τῶν τόπων, ἅπερ παραχρῆμα μὲν ἐνίοτε δυνατόν ἐστιν ἰᾶσθαι· ὥσπερ γὰρ τὰ θανάσιμα φάρμακα ἐμέτῳ ἢ κλύσματι ἢ φαρμάκῳ τῷ πρὸς τὰ δηλητήρια ἀναλύονται, χρόνου δὲ ἐγγινομένου ἀδύνατον βοηθείας ἀξιῶσαι, οὕτω καὶ τὰ δραστικὰ τῶν ἀτοκίων ἐν μὲν τῷ παραχρῆμα βοηθούμενα ἔστιν ὅτε ἀναλύονται, χρονίζοντα δὲ ἀνίατα γίνεται.

1 *κεκτημέναι γίγν. Γ. „χρήσασθαι“ τὰ κείμ. ἡμ. διόρθ. „χρῆσθαι“ Ζερβ.* 3 *παρεσπαρμέναις Γ.* 4 *ἀρτεμισίας Β.* 7 *ἄνευ, εἰ δυνατὸν Β.* 8 *ὑπάρχει Β.* 12 *ἐγκαθισμοῖς Α.* 14 *γένηται ΒΓ. κοπυληδόνων Β.* 15 *„τε“ ἡμ. προσθ. Ζερβ.* 15 *ἄνευ, τὰ Β.* 17 *„ὅτι τινὰ κλπ.“ μέχρι „κατασκευάζουσιν‘, ἅπ. τὰ κείμ. ἔχουσιν ὡς ἀρχὴν τοῦ κεφαλ. ἡμ. ἐθέσαμ. ὡς τίτλον αὐτοῦ. Ζερβ. ὅτε Α.* 21 *εἰςπᾶσαν Γ.* 25 *ἀναλοῦνται Γ. ἀμήχανον Γ.* 26 *εἰ μὲν Β. τῷ χρόνῳ Γ.* 27 *γίγνονται Β.*

ἴσχει τὴν νειαίρην γαστέρα καὶ τὰς ἰξύας καὶ τοὺς κενεῶνας, — — καὶ λούειν τῷ θερμῷ δίς τῆς ἡμέρης· — — καὶ ξυνευδέτω τῷ ἀνδρὶ ὡς πυκνότατα, καὶ τὴν κράμβην ἐσθιέτω. Ἱππ. περὶ Γυν. Φ. VII. Σελ. 386.

Τὰ δὲ περὶ τὴν ὑστέραν γενόμενα ἕλκη καὶ φλεγμονάς, ὅπως χρὴ θεραπεύειν καὶ ὅπως τὰ ὑπερσαρκώματα ἢ θύμους ἢ χιτωνίσκους ἀφαιρεῖν, ἐν τοῖς οἰκείοις τόποις ἀκολούθως δηλωθήσεται, περιττὸν γὰρ πλειστάκις περὶ τῶν αὐτῶν γράφειν.

ΕΠΙΜΕΛΕΙΑ ΕΦ' ΩΝ ΟΥΔΕΝ ΟΧΛΗΡΟΝ ΦΑΙΝΕΤΑΙ.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ'.

Εἰ δὲ μηδενὸς ὀχληροῦ φαινομένου μὴ δὲ κατὰ τὸ σῶμα μὴ δὲ κατὰ τὴν ὑστέραν, ἄδηλος ᾖ ἡ τῆς συλλήψεως καὶ ἀσυλληψίας αἰτία, καθάρσει χρηστέον διὰ γάλακτος ὀνείου καὶ εὐχύμῳ τροφῇ καὶ πυρίαις καὶ ὑποθυμιάμασιν εὐώδεσι καὶ πεσσοῖς ἀναστομοῦσι καὶ ἐπισπωμένοις αἷμα, καὶ ἐποχὴ συνουσίας ἐπὶ μῆνας δύο ἢ τρεῖς.

ΠΟΜΑΤΑ, ΠΕΣΣΟΙ ΚΑΙ ΥΠΟΘΥΜΙΑΜΑΤΑ ΣΥΛΛΗΠΤΙΚΑ.

ΚΕΦΑΛΑΙΟΝ ΛΔ'.

Διδόναι δὲ αὐταῖς πίνειν λινόζωστιν μετὰ καστορίου καὶ ἀψινθίου[1] *ἐπὶ ἡμέρας γ'. ἢ δ'. κατὰ τὸν καιρὸν τῆς ἐπιφάνσεως τῶν καταμηνίων, κάλλιστον δὲ καὶ τοῦτο πρὸς σύλληψιν πόμα· ἁλὸς ἀμμωνιακοῦ δραχ. β'. ἐλελισφάκου, κυμίνου ἀνὰ δραχ. α'. δίδου πίνειν μετ' οἴνου λευκοῦ γλυκίζοντος μετὰ τὴν λῆξιν τῶν καταμηνίων καὶ μετὰ ταῦτα συγγινέσθω. Ἀγέσθω δὲ καὶ ὁ ἀνὴρ ἀθλητικῶς καὶ συνουσίας ἀπεχέσθω τὸν ἴσον χρόνον, προκαθαρθεὶς καὶ αὐτὸς τῷ γάλακτι, καὶ διαιτάσθωσαν ἀμφότεροι εὐχυμότερον· καὶ πεσσοὶ δὲ ἁρμόδιοι ταῖς δι' ἄδηλον πρόφασιν μὴ συλλαμβανούσαις οὗτοι, καὶ μάλιστα ταῖς δι' ὑγρότητα μυξώδη μὴ κυϊσκούσαις. Ἐκ δὲ τῶν προρρηθέντων περὶ ἑκάστης διαθέσεως δυνήσει ἑκάστῳ τὸ ἁρμόδιον καὶ ἐκ τούτων προσάγειν.*

1 φλεγμοναὶ *ΑΓ*. 2 θυμούς *Β*. 4 γράφειν ἐπιμέλεια· *Β*. 5 ἐφ' οἷς *Β*. 7 γενομένου, ἀντὶ φαινομένου *Β*. 8 εὔδηλος *Γ*. ᾗ *Β*. ἄνευ, ἀσυλληψίας *Γ*. 9 „χριστέον" ἅπαντ. οἱ κώδικ. ἡμετ. διόρθωσ. „χρηστέον" Ζερβ. 15 „λινοζῶστιν" τὰ κείμ. ἡμ. διόρθ. „λινόζωστιν" Ζερβ. 16 ἐπιφάσεως *Β*. 19 λῆψιν *Β*. ἄνευ, λευκοῦ γλυκίζοντος *Α*. 21 συνουσίαν *Β*. ἄνευ, χρόνον *Β*. 22 διατάσθωσαν *Β*. 23 εὐχυμοτέρως *Β*. 26 συνήσῃ *Β*.

[1] Ἰκτερικοὺς θεραπεύει τὸ ἀπόβρεγμα αὐτοῦ — — ἄγει τε ἔμμηνα πινόμενόν τε καὶ προστιθέμενον μέλιτι. *Δ*. III. 367.

Ἀσκληπιάδου πεσσός μήτρας καθαρτικός.

Ἀσκληπιάδου[1] πεσσός μήτρας καθαρτικός. Κύπερον,[2] νίτρον, στυπτηρίαν σχιστὴν, σμύρναν, λίβανον, κρόκον, ἀφρόν μέλιτος ἴσα. πεπέρεως ὀλίγον τρίψας καὶ μίξας τῷ μέλιτι, καὶ εἰς ὀθόνιον λεπτόν ἤ εἰς ἔριον εἰργασμένον ἐγκρύψας καὶ ἐμβρέξας ἔξωθεν τὸν πεσσόν ῥοδίνῳ, λουσαμένῃ προστίθει. Χρῶ δὲ καθαρτικῷ θαυμασίῳ καὶ τῷ προγραφέντι πρὸς τὰς δίμηνα καὶ τρίμηνα φθειρούσας καὶ μὴ συλλαμβανούσας, τῷ διὰ κολοκυνθίδος καὶ ἰρίνου μύρου.

Ἄλλος πεσσός καθαρτικός.

Ἄλλος πεσσός καθαρτικός. Κυκλαμίνου χυλοῦ, κολοκυνθίδος ἐντεριώνης, νίτρου ἐρυθροῦ, λινοζώστεως ἀνὰ δραχ. δ΄. σμύρνης δραχ. β΄. ἀναλάμβανε λινοσπέρματος ἀφεψήματι, καὶ χρῶ καθὼς προείρηται μετὰ τὴν ἔμμηνον κάθαρσιν.

Ἄλλος.

Ἄλλος. Κολοκυνθίδος ἐντεριώνης, σμύρνης, νίτρου, κυμίνου αἰθιοπικοῦ ἀνὰ δραχ. α΄. σύκων σαρξίν ἀναλαβών, χρῶ μετὰ τὴν ἔμμηνον κάθαρσιν.

Ἄλλος.

Ἄλλος. Ἀνίσου, καρδαμώμου, νίτρου, ἀριστολοχίας,[3] γλήχωνος, τήλεως, σύκων λιπαρῶν σαρκῶν ἀνὰ δραχ. β΄. τὰ ξηρὰ κόπτε, σῆθε, τὰς δὲ σάρκας τῶν ἰσχάδων μετ᾽ οἴνου λεάνας γλυκέος, ἀναλάμβανε αὐταῖς τὰ ξηρὰ καὶ ἀπόθου εἰς πυξίδα κερατίνην, ἐν δὲ τῇ χρήσει αἴρων ὅσον ᾠοῦ περιστερᾶς τὸ μέγεθος καὶ ἐρίῳ ἁπαλῷ περιελίσας καὶ εἰς ἴρινον μύρον ἐμβάψας, προστίθει τῷ στόματι τῆς μήτρας. Οὗτος ἄγει ὑγρασίαν πολλὴν καὶ μυξώδη καὶ τὰ τοιαῦτα τῶν φαρμάκων· Καθάρσεως δὲ ἱκανῆς γενομένης, ἀποπυριαστέον τοὺς τόπους

---

2 ἄνευ, κρόκον B. 3 ἄνευ, εἰς B. 4 ἐγκόψας B. 7 ἄνευ, φθειρούσας AB. 8 κολοκυντίδος B. 9 κολοκυνθίδος, ἐντεριώνης ABΓ. ἡμ. διόρθ. κολοκυνθίδος ἐντεριώνης, Ζερβ. 11 ἄνευ, καθώς Γ. 12 ἄνευ, κολοκυνθίδος A. κολοκυνθίδος, ἐντεριώνης BΓ ἡμ. διόρθ. κολοκυνθίδος, ἐντερ., Z. 13 σάρξινον A. 16 ἄνευ, τῶν B. 17 αὐταῖς Γ. 19 περιειλίσας Γ. 21 μετὰ τοιαῦτα B.

---

[1] Τὸν βιθυνὸν ἰατρὸν καὶ φιλόσοφον ὑπονοεῖ, ἐξ οὗ καὶ ἀσκληπιάδειον ἐφέρετο φάρμακον. ὅρα πλείονα κατωτ. Ζερβ.

[2] Φυτόν ἀρωματικὸν δι᾽ οὗ λαοί τινες ἐν οἷς Σκύθαι ἐταρίχευον τοὺς ἑαυτῶν νεκρούς. λατ. juncus adoratus. Ζερβ.

[3] Ἀριστολοχίας τρία ἐστὶν εἴδη κατά τε τὸν Γαληνὸν καὶ τὸν Διοσκορίδην· ἡ στρογγύλη ἣ καὶ θήλεια καλεῖται, ἡ μακρὰ ἥτις ἄρρην καὶ δακτυλῖτις ὀνομάζεται καὶ ἡ κληματῖτις ἢ λεπτὴ, ὧν ἡ θεραπευτικὴ δύναμις λίαν διάφορος. Ὅπου ὅμως ἁπλῶς ἀριστολοχία ἀναγέγραπται, ἐστὶν ἡ στρογγύλη ὡς ἐπὶ τὸ πολύ, ἧς ἡ θεραπευτικὴ δύναμις πολλῷ δραστικωτέρα καὶ πρὸς τὰς ἰάσεις χρησιμωτέρα, οὐμὴν καὶ πολλῷ τῶν λοιπῶν συνηθεστέρα. Ζερβός.

ἐγκαθίσμασιν. Ἐπειδὴ δὲ οὐ μόνον τὰ τοιαῦτα καθαρτικὰ τῆς ὑστέρας πρὸς σύλληψιν ἐνεργεῖ, ἀλλὰ καὶ ἄλλας δυνάμεις παρὰ τοῖς ἀρχαίοις ἀναγεγραμμένας εὑρίσκομεν συλλήψεως ποιητικάς, εὔλογον καὶ τὰς τούτων σκευασίας ἀναγράφειν. Ἄλλος πεσσὸς συλληπτικός. Πίτυος λαγωοῦ μέρη δύο, στυπτηρίας σχιστῆς μέρος ἓν μέλιτι διαλύσας καὶ εἰς πεσσὸν ἐμπλάσας, χρῶ μετὰ τὸ προκαθᾶραι τὴν ὑστέραν τοῖς προειρημένοις. Ἄλλος.[1] Σατυρίου[2] σπέρμα μετὰ μέλιτος ἀνὰ δραχ. β′. χολῆς δορκείας ἢ τραγείας ἐκκενωθείσης, τὸ ὕστερον τὸ ἐνισχημένον γλίσχρον ἐν τῇ κύστει πεσσῷ προστιθὲν, ποιεῖ πρὸ μικροῦ τῆς συνουσίας ἢ τὴν βάλανον ἐπίχριε· ἢ μᾶλλον βαφείαν πορφύραν ἀληθινῇ τῇ χολῇ τοῦ τράγου βρέξας ἐν τῷ ὀμφαλῷ τοῦ γυναίου ἐπὶ ἡμέρας ἑπτά, καὶ συνουσιαζέτω σελήνης αὐξανούσης. Ἄλλος ᾧ ἐχρήσατο Ἀσκληπιάδης ἐπὶ τῶν ἐνδόξων γυναικῶν. Σμύρνης δραχ. δ′. ἴρεως δραχ. β. λαγωοῦ ἀφοδεύματος, κόμμεως ἀνὰ δραχ. β. ὕδατι ἀνάπλασσε κολλύριον καὶ ὑποτίθει μετὰ τὴν ἔμμηνον κάθαρσιν, καὶ μετὰ ταῦτα συνουσιαζέτω. Ἄλλος. Στυπτηρίας σχιστῆς, ῥοῦ[3] ἐρυθροῦ ἀνὰ δραχ. β′. σμύρνης δραχ. α′. κρόκου ὀβολούς[4] β′. λεῖα ποιήσας καὶ μέλιτι ἀναλαβὼν ἀπόθου, ἐν δὲ τῇ χρήσει αἴρων ὅσον κηκῖδος μικρᾶς μέγεθος καὶ περικλείσας ἐρίῳ μαλακῷ καὶ ἐν ῥοδίνῳ βάπτων, προστίθει μετὰ τὴν τῶν ἐμμήνων παρακμὴν ἐπὶ ἡμέρας τρεῖς, ἐῶν τὸν πεσσὸν ὑποκεῖσθαι μετὰ τὴν κάθαρσιν· τῇ δὲ τρίτῃ λουσαμένη καὶ ῥοδίνῳ ὀλίγῳ τοὺς τόπους ἀλειψαμένη ἀνδροκοιτείτω. Ἄλλος. Λέοντος χολὴν ἢ ἄρκου ἢ ὑαίνης[5], εἰ δὲ μὴ ταύρου ἐκκενώσας, παραμέτρει τῷ ἀσκώματι αὐτῆς νάρδινον

Ἄλλο

Ἄλλο

Ἄλλος ἐχρήσα Ἀσκλη δης ἐπὶ δόξων ναικῶ

4 ἄνευ, πεσσός Γ. 5 ἄνευ, πίτυος Β. 9 ὑστερόν Β. 15 λαγωοῦ μάλου ἀφοδεύματος Β. ἀφόδευμα Γ. 16 ἐπιτίθει Β. 19 ἀπόθες Β. 21 ἐκ ῥοδίνου Β. 24 „ἀνδροκειτέτω“ τὰ κείμεν. ἡμ διόρθ. „ἀνδροκοιτείτω“ Ζερβ. 25 παραμετρείτω Γ.

[1] Τὸν πεσσὸν τοῦτον παραλείπει τέλεον ὁ Α. κῶδιξ.

[2] Σατύριον· φυτὸν πρὸς ἀφροδισιασμοὺς παρορμητικόν ἐξ οὗ καὶ τὸ ὄνομα αὐτοῦ· καὶ ὁ Πλούτ. Σατύρια προσάγοντα κινεῖν καὶ παροξύνειν τὸ ἀκόλαστον ἐπὶ τὰς ἡδονάς· ἱστορεῖται δὲ ὅτι καὶ εἰς τὴν χεῖρα ληφθεῖσα ἡ ῥίζα, ἐρεθίζει πρὸς ἀφροδίσια. Ζερβ.

[3] Δενδρύλλιον ἐν πέτραις φυόμενον ὡς δίπυχυ· Δ. τῷ φλοιῷ καὶ καρπῷ οὗτινος χρῶνται οἱ γναφεῖς τῇ τῶν δερμάτων κατεργασίᾳ. Ζερβ.

[4] Ἕκαστος ὀβολός = $^1/_6$ δραχμῆς.

[5] Οὐχὶ λίαν εὐπόριστός ἐστιν ἡ χολὴ τῶν φοβερῶν καὶ αἱμοχαρῶν τούτων θηρίων.

μύρον καὶ ῥόδινον καὶ ἴρινον καὶ μέλι ἕκαστον τὸ ἴσον τῆς χολῆς, καὶ ἑνώσας καὶ θερμάνας ἐν θερμοσποδιᾷ, ἀπόθου καὶ χρῶ μετὰ τὴν τῶν καταμηνίων κάθαρσιν πρὸ τῆς συνουσίας. Ἄλλος. Ἰχθύος χολὴν καθ' αὐτὴν ἢ μετὰ μέλιτος προστιθέσθω. Ἄλλος. Περιστερεῶνος ὀρθοῦ χυλόν μετὰ βουτύρου προστίθει μετὰ τὴν τῶν καταμηνίων λῆξιν. Ἄλλος Ἀλυπότατος. Ἀλθαίας ῥίζης κεκαθαρμένης καὶ πεπλυμένης οὐγ. γ' θλάσας ἀκριβῶς, ἕψε μετ' ἐλαίου ξέστ. α'. καὶ μετὰ τὸ φρυγῆναι ἀνασπάσας τὰς ῥίζας, ἐπίβαλλε στέατος ὀρτύγων οὐγ. στ. κηροῦ οὐγ. β'. ἐγὼ δὲ οὐγ. δ'. μίξας, χρῶμαι ἐπὶ πεσσῶν ὁμοίως. Φυσικόν Περίαπτον.[1] Τὰ ὀστᾶ τὰ ἐν ταῖς καρδίαις τῶν ἐλάφων εὑρισκόμενα περιαπτόμενα ἀριστερῷ βραχίονι, φυσικῶς σύλληψιν ποιεῖν πιστεύεται. Ὑποθυμίαμα ἐνεργές συλληπτικόν ἄσφαλτον. Λαγωοῦ τρίχας, πήγανον ξηρόν ὁμοῦ λεάνας καὶ ἀναλαβὼν κηρῷ μεμαλαγμένῳ, ποίει τροχίσκους καὶ ὑποθυμία ἐπὶ βολβίτων. Ἄλλο τῆς μαίας. Σανδαράχην λεάνας, ἐπίπασσε κυπαρίσσου πρίσματα, καὶ συλλεάνας ἀναλάμβανε κηρῷ ἀρκοῦντι καὶ ποίει τροχίσκους καὶ ὑποθυμία ἐπὶ βολβίτων μετὰ τὴν κάθαρσιν εὐθέως ἐπὶ ἡμέρας δ. Ἄλλο τῆς αὐτῆς. Κέρας αἰγός ῥινίσας καὶ φυράσας ἐλαίῳ, ὑποθυμία ὡς προείρηται μετὰ τὴν λῆξιν τῶν καταμηνίων, καὶ ἐνθέρμων ἔτι ὄντων τῶν τόπων συγγενέσθω. Περὶ ἀρρενοτοκίας.[2] Εἰ δὲ τὸν δεξιόν πόδα περί δεσμῶν, φασὶ, φασκίᾳ λευκῇ συνέλθοι, ἄρρεν ἔσται τὸ βρέφος, εἰ δὲ τὸν ἀριστερόν χρωτῇ φασκίᾳ θῆλυ·[3] τὴν δὲ σατυρίου καὶ τῆς σεραπιάδος ῥίζαν καὶ ἑτέρων, φασί, τὰς μὲν ἀνδρῶν συνουσίας τε παρορμᾶν καὶ ἀρρενοτοκεῖν, τὰ δὲ φθίνοντα τὰ ἐναντία ποιεῖν.

Ἀλυπότατος. Περίαπτον. Ὑποθυμιάματα. Τῆς μαίας. Περὶ ἀρρενοτοκίας.

---

9 ἐγὼ δὲ δ Β. 13 ἀσφάλτον Β. 15 ἄνευ, μαίας Γ. 20 ἔτι ἐνθέρμων Α. 23 κεχρωτῇ ΑΒ. καὶ χρωστὴρ πασκίᾳ Γ. ἡμετ. διόρθ. „χρωτῇ φασκίᾳ" Ζερβ. 24 τῆς δὲ σατυρίου ΒΓ. ἡμ. διόρ. τὴν δὲ σατυρίου. Ζερβ. καὶ στερεωτέρων, ἀντὶ ἑτέρων Β. 25 τῆς μὲν ΒΓ. ἡμ. διόρθ. τὰς μὲν Ζερβ.

[1—2] Ἀμφότερα τὰ κεφάλ. ταῦτα παραλείπει ὁ Α. κῶδ.

[3] Καὶ Γαλην. Ἐὰν γυνὴ ἄρρενα γεννῆσαι θέλῃ, φασκίᾳ λευκῇ παιδικῇ δῆσον τὸν δεξιὸν πόδα ... Ἐὰν δὲ θῆλυ, φασκίᾳ μελαίνῃ τὸν ἀριστερόν. Περὶ Εὐπορ. XIV. Σελ. 476.

ΠΡΟΣ ΤΟ ΜΗ ΘΡΟΜΒΟΥΣΘΑΙ ΤΟ ΓΑΛΑ ΕΝ ΜΑΣΤΟΙΣ.

ΚΕΦΑΛΑΙΟΝ ΛΕ′.

Πρὸς δὲ τὸ μὴ θρομβοῦσθαι τὸ γάλα ἐν μαστοῖς[1] ταῖς τετοκυίαις, ἀποθηλάζειν χρὴ τοὺς μαστοὺς ἡσύχως διὰ τῶν τελειοτέρων καὶ ἐμπείρων γυναικῶν, καταχρίειν δὲ κυπρίνῳ μετ' ᾠοῦ καὶ κρόκου καὶ τήλεως χυλοῦ, καὶ κυμίνῳ λείῳ μεθ' ὕδατος ἡψημένῳ καὶ προσλαβόντι κρόκον, καλὸν δὲ καὶ τοῦτο· κηροῦ γοα′, ἤτοι οὐγ. α′. ἀνδράχνης γοαζ ἤτοι οὐγ. α′ καὶ ἡμίσ. χρῶ τούτῳ ὡς δοκιμωτάτῳ μετὰ ἐλαίου σησαμίνου. οὐκ ἐᾷ δὲ ἐπὶ τῶν θηλαζουσῶν τὸ γάλα τυροῦσθαι, κηρὸς λευκὸς ἀναπλαττόμενος εἰς καταπότια καὶ διδόμενος καθ' ἑκάστην καταπίνειν ὅσον εἰς πλῆθος ὀρόβων τριῶν. ὁ δὲ Σωρανός φησι, παραιτεῖσθαι τὸ ὑπὸ γυναικῶν καὶ παιδίων θηλάζεσθαι τοὺς ὀδυνωμένους μαστοὺς συνεχῶς, ἐκ γὰρ τῆς μυζήσεως, φησί, πλείων ἡ ὕλη ἐπὶ τοὺς μαστοὺς συρρεῖ. καλῶς δὲ ποιεῖ καὶ κιμωλία γῆ μετ' ὄξους ἢ ὕδατος καὶ ἐλαίου ῥοδίνου βραχέος, καὶ ῥίνισμα μαρμάρου λευκοῦ ἢ λίθων λευκῶν ὁμοίως καταχριομένων. (Ἀκμή) Εἰ δὲ βιαιότερον ἡ πλήρωσις γένηται, καὶ διὰ τοῦτο βαρύνεται τῷ πλήθει ἡ γυνὴ καὶ ὀδυνᾶται, φακὸν ἑψήσας ἐν θαλάσσῃ ἢ ἅλμῃ, τὸ μὲν ἀφέψημα καταιόνα τοὺς μαζούς, τὸν δὲ φακὸν λεάνας κατάπλαττε. καλῶς δὲ ποιεῖ καὶ τὸ σέλινον καταπλαττόμενον καὶ τὸ ἡδύοσμον καὶ χολὴ μάλιστα βοεία καταπλαττομένη. (Ἄλλο) Ἄλλο κάλλιστον. Φύκιον θαλάσσιον τὸ βαφικὸν λεάνας, ἀναλάμβανε κηρωτῇ· ἔστω δὲ τοῦ φυκίου λειοτάτου γοδ. ἤτοι οὐγ. δ. κηροῦ γογ′. ἤτοι οὐγ. γ′. μυρσινίνου ἐλαίου γοι′, ἤτοι οὐγ. ι′. ἐπιτίθει δὲ καὶ ἄλλασσε δὶς τῆς ἡμέρας. (Ἄλλο) Ἄλλο. Μάννης δραχ. ι′. κηροῦ γοι′ ἤτοι οὐγ. ι′. κισσήρεως δραχ. κ. ῥοδίνου ἐλαίου γοκ. ἤτοι οὐγ. κ. χρῶ ὁμοίως. Ἄλλο κάλλιστον. Λίθου ἀσίου, κηροῦ ἀνὰ γοβ′. ἤτοι οὐγ. β′. ἐλαίου ῥοδίνου ἢ κηκίνου γοη′. ἤτοι οὐγ. η′. ἀναλαβὼν χρῶ δὶς τῆς ἡμέρας ἀλλάσσων, σβεννύει γὰρ τὸ γάλα καὶ τὰς φλεγμονὰς

5 ἐμπειρικῶν B. 6 χυλῷ B. 7 κρόκου B. 10 τυρωθῆναι Γ. 11 ἄνευ, πλῆθος Γ. 14 πλείονος B. 19 φακκόν A. 20 μαστούς B. καταίωναι A. 23 τὸν βαφικόν B. 24 „κηροῦ δὲ“ τὰ κείμ. ἡμ. ἀφηρέσ. τὸ „δὲ“ Ζερβ. 30 σβέννυται B.

[1] Μετὰ τοὺς τοκετοὺς πολλάκις τηρουμένου τοῦ γάλακτος τοῖς μαστοῖς φλεγμονὰς ἀπεργάζεται. Θ. Νόννος II. 2.

παύει· εἰ δὲ μὴ παρείη λίθος ἄσιος, χρῶ τῷ πυρίτῃ. Πυριαζέσθωσαν δὲ συνεχῶς καὶ θαλάσσῃ ἢ ἅλμῃ.

ΠΕΡΙ ΧΟΝΔΡΙΑΣΕΩΣ ΜΑΣΤΩΝ ΚΑΙ ΣΠΑΡΓΑΝΩΣΕΩΣ.

ΚΕΦΑΛΑΙΟΝ Λϛʹ.

Χόνδρωσις, σπαργάνωσις, θρόμβωσις μαστῶν.

Ὅταν κατὰ τὴν ἐπιφοράν τοῦ γάλακτος διογκούμενοι οἱ μαζοί βαρῶνται καὶ ἀλγῶσι, λέγεται χονδρίασις· πληρούμενοι δὲ καὶ σφόδρα διατεινόμενοι, λέγεται σπαργάνωσις· εἰ δὲ τυρωθεῖ, λέγεται θρόμβωσις. Κατ' ἀρχῆς οὖν δεῖ χρῆσθαι τοῖς ἠρέμα παραστέλλουσιν, οἷον σπόγγῳ καθαρῷ ὀξυκράτῳ βεβρεγμένῳ ἢ φοίνιξι λείοις μετ' ἄρτου καὶ ὀξυκράτου, καὶ ἐπιδεσμεῖν καὶ σφίγγειν ἡσύχως. εἰ δὲ ἀποσβέσαι τὸ γάλα βούλει, χρῶ στυπτηρίᾳ καὶ ψυλλίῳ μετ' ὄξους καὶ κοριάννου καὶ λίθῳ πυρίτῃ μετ' ὄξους καὶ ῥοδίνου ἐλαίου. Χονδριᾶν δὲ τοὺς μαστοὺς λέγουσιν, ὅταν μετὰ τὸν τοκετὸν ἀρχομένων δέχεσθαι γάλα τῶν μαστῶν,[1] ὥσπερ σκληρότεροι γίνονται καὶ ὀδυνῶνται· χρηστέον οὖν ἐπ' αὐτῶν πιτύροις ἑφθοῖς ἐν ὄξει ἢ πηγάνου ἀφεψήματι, ποιεῖ δὲ καταπλασσόμενον καὶ ἡδύοσμον μετὰ ἀλφίτων, κάρυα βασιλικὰ μετὰ πηγάνου καὶ μέλιτος, κίκεως φύλλα λεῖα καὶ κρόκος μετὰ γάλακτος, κύμινον καθ' αὑτὸ ἢ σὺν ἀλφίτοις, κωδύαι ἑφθαί μετὰ μέλιτος, ἅλμη πυριωμένη καὶ σέλινα χλωρά καταπλαττόμενα· τοῦτο καὶ τὰς τοῦ γάλακτος θρομβώσεις λύει. Χρηστέον δὲ καὶ ταῖς προγραφείσαις κηρωταῖς πρὸς θρόμβωσιν γάλακτος.

ΠΕΡΙ ΚΑΚΩΣΕΩΣ ΓΑΛΑΚΤΟΣ ΒΛΑΠΤΟΝΟΣ ΤΟΥΣ ΜΑΣΤΟΥΣ.[2]

Ἑλκοῖ ποτε καὶ γάλα κακωθὲν ἰδίᾳ τὰ ἀγγεῖα τῶν μαστῶν, ὥσπερ οὖν καὶ αἱ λοιπαί μοχθηρίαι τῶν χυμῶν οἰκεῖα ἀποτελοῦσι ῥεύματα· καὶ γὰρ καὶ ἁλμυρόν δάκρυον ὀφθαλμόν βλάπτει καὶ δριμύ

2 καὶ ἅλμῃ *B.* ἢ καὶ ἅλμῃ *Γ.* 6 παρῶνται. 9 „βεβρεγμένος" ἅπαντα τὰ κείμ. ἡμετ. τροποποίησ. „βεβρεγμένῳ" *Ζερβ.* 12 ψυλλίᾳ *B.* 13 ῥόδινον ἔλαιον *Γ.* 14 τῶν τοκετῶν *AB.* 15 ἐπ' αὐτοῖς *Γ.* 16 πηγάνοις *B.* 18 πηγάνου μέλιτος, ἄνευ, καὶ *A.* 20 σελινός *B.* 23 βάπτοντος *B.* 24 ἴδια *B.* ταμεῖα *Γ.*

[1] Ἐπειδή δὲ τὰς μήτρας τε καὶ τιτθούς εἰς ἑνὸς ὑπηρεσίαν τοῦ ἔργου παρεσκεύασεν ἡ φύσις, συνῆψεν αὐτὰ δι' ἀγγείων τινῶν, ἵνα ὅταν μὲν ἐν ταῖς μήτραις αὐξάνηταί τε καὶ διαπλάττηται τὸ ἔμβρυον, ἐκείνῳ μόνῳ τὴν ἐξ ἀμφοτέρων αἱ κοιναὶ φλέβες ἐπάρδωσι τροφήν, ὅταν δὲ ἀποκυηθέν ᾖ, τοῖς τιτθοῖς αὖθις ἐπιρρεῖ σύμπασα. *Γαλ.* XVII. 534.

[2] Ἅπαν τὸ κεφάλαιον τοῦτο παραλείπει ὁ *A.* κῶδ.

περίττωμα τὰ ἔντερα τραυματεῖ, τοιοῦτον τρόπον πολλάκις αὐτό τὸ ὑπαίτιον πάθος ἔλεγχον ἔχει τῆς οἰκείας κακώσεως, κνησμῶν ἢ ψυδράκων ἢ τοιούτων ἐκβρασμάτων, τῶν δηλονότι λοχείων παρὰ τὴν θηλὴν οὐ φερομένων ὁμολογουμένως, ὧν ἡ μοχθηρία τὴν ἐμφωλεύοντος τοῦ γάλακτος πονηρίαν ἐξαγγέλλεται. Τὴν μὲν οὖν ἐκ τοῦδε συμβαίνουσαν ἕλκωσιν περὶ τάδε μόρια, ὁμοίως ἐξιατέον καὶ διὰ τῶν αὐτῶν βοηθημάτων τοῦ ὅλου σώματος ἀναγεγραμμένων, αὐτοῦ δὲ τοῦ γάλακτος τὴν κάκωσιν πρῶτον μὲν ὁποία τις ἢ ἀκριβῶς θεραπευτέον. Ἰασόμεθα οὖν τὴν βλάβην ἐκ τῶν τῆς χροιᾶς· ὑπόλευκόν τε καὶ μελανίζον ἢ ξανθόν ἢ ὑπέρυθρον ἢ σιελῶδες αὐτὸ ὁρίσομεν, ῥάκη λινά ψιλά λευκότατα ἐν αὐτῷ ἐμβρέξαντες καὶ ἐν σκιᾷ ἀποψύξαντες, ἵνα τοιάνδε ἑτεροχροίαν καὶ οὐ τὴν σαφῆ τοῦ γάλακτος τὴν λευκότητα θεασάμεθα, ὅθεν προδήλως καὶ τὸν κακώσαντα χυμόν ὁρίσομεν· τὴν δὲ ὀσμήν ἢ βρομώδην ἢ ἄλλως δυσώδην. Τῆς δὲ γεύσεως ἁλμυρόν ἢ πικρόν ἢ ὀξῶδες ἢ ὑδατῶδες κατανοήσομεν, ἢ τοὐναντίον παχύ καὶ ἐχέκολλον ὁρῶμεν, διὰ τοῦ ὄνυχος ἀσφαλῶς δοκιμάζοντες· εἰ γὰρ ἐπιστάξαντες ῥανίδα τῷ ὄνυχι, εὕρομεν αὐτὸ μήτε ὑδατῶδες ἐκτρέχον ἐν ταῖς μετ' ἐγκλίσεσι καὶ ἐκρέον, μήτε μελιτωδῶς προσκολλώμενον, χρηστόν εἶναι νομίσομεν. τινὲς δὲ καὶ τρίχας ἐμβάλλουσι καὶ αὐταῖς δοκιμάζουσιν· εἰ γὰρ ἀνατεινομένης τῆς ἐμβαφείσης ἀμολύντου τριχός ἐν αὐτῷ, μὴ ἀπολισθήσει ταύτης καὶ πρὸς τὸ πέρας μόνον αὐτῆς σταγών συστήσεται, ἀλλὰ δι' ὅλης ἐγχριμπτώμενον χρώσει, ἄριστον εἶναι δοκεῖ. τισὶ δὲ δοκεῖ ἐν ὑέλῳ στάξαντας ἱκανῶς, πιτύαν ἐμβάπτειν καὶ ἐκπιέζειν τοῖς δακτύλοις· καὶ παγέν τὸ γάλα θεωρεῖν συμμέτρως τε τὸ ὀρρῶδες καὶ τυρῶδες. Ἔχοντες μὲν οὖν ἐξ ἑκάστου τῶν χυμῶν [τὰς] γινομένας αὐτῷ βλάβας, οἰκείᾳ τῷ χυμῷ διαίτῃ

2 „ἐλέγχον" ΒΓ. ἡμ. τροποπ. „ἔλεγχον" Ζερβ. 4 ἄνευ, ὧν Γ. 5 ἄνευ, πονηρίαν Γ. 9 „ὁμοία" ΒΓ. ἡμ. διόρθ. „ὁποία" Ζερβ. „ἣ" ΒΓ. ἡμ. διορ. „ἢ" Ζερβ. θεραπευτῶν ΒΓ. ἡμ. τροπ. θεραπευτέον. Ζερβ. 10 χροίας Β. 11 „αὐτῷ" ἅπ. οἱ κώδ. ἡμ. διόρθ. „αὐτὸ" Ζερβ. „ῥάκη δὲ" τὰ κείμ. ἐγώ ἀφῄρεσ. τὸ „δὲ" Ζερβ. ψηλά Β. 13 καὶ „οὖν" ἅπαν. τὰ κείμ. ἡμ. διόρ. „οὐ" Ζερβ. 14 ὠράσομεν Β. 15 τῇ δὲ ὀσμῇ ΑΒ. „εἰ βρομώδην" τὰ κείμ. ἡμ. διόρθ. „ἢ βρομώδην" Ζερβ. 16 „κατανοήσαμεν" ἅπ. οἱ κώδ. ἡμ. διόρ. „κατανοήσομεν" Ζερβ. 17 „διὰ δὲ" ἅπαν. κείμ. ἡμ. ἀφῃρέσ. τὸ „δὲ" Ζερβ. 19 ἐντρέχον Β. 21 „θριξίν" τὰ κείμ. ἡμετ. διόρθ. „τρίχας" Ζερβ. ἐν αὐταῖς Β. 22 „ἀνατεινομένων" τὰ κείμ. ἡμ. διόρθ. „ἀνατεινομένης" Ζερβ. 23 πρός τὰ τὸ Β. 24 ἐγχριπτωμένης Γ. 25 στάξαντος Β. 28 „τὰς" ἡμ. προσθ. Ζερβ.

θεραπευτέον τὰς καθάρσεις παραιτούμενον, εἴπερ αὗται πεπονθυῖαι, τὰ βρέφη ἀεὶ γαλακτοτροφεῖεν· ἰδίως δὲ τὰς περὶ τὸν ἁλμυρὸν χυμὸν ἠδικημένας διά τε λουτρῶν καὶ ἀκρατοποσίας πολλῆς, τῶν δὲ δι' οἰνομέλιτος καὶ ὀξυμέλιτος ἀνακλητέον· καὶ γάλα δὲ ταύταις δοτέον εὔχυμον τῷ ἐκ ζῴων ἄλλων τῷ συγγενεῖ τὸ ὅμοιον, ἑτοίμως θεραπεύοντες μᾶλλον δὲ διατρέφειν σπουδαίως. τοῦδε προνοητέον τοῦ πάθους, ὡς εὐπαθεστέρου καὶ μόνῃ τροφῇ. Τὰ δὲ τῷ γάλακτι χρώμενα νήπια, πολλάκις ὑπὸ τῆς τοῦδε κακώσεως καὶ μέχρι θανάτου καταγίνεται.[1] Πρός τὰ ἐν μαστοῖς φύματα καὶ ψώρας. Σμύρναν λεάνας ἐλαίῳ σαμψυχίνῳ, κατάχριε ὡς μεγίστῳ βοηθήματι. Ἄλλο πρὸς τὸ μὴ χαυνοῦσθαι μαστοὺς παρθένων καὶ λοιπῶν. Ἰὸς σιδήρου χρώμενος μετ' ἐλαίου ὀμφακίνου ἢ οἴνου. [Ἄλλο.] Κωνείου σπέρμα λεῖον καταπλαττόμενον φύλλοις [ἢ] εἰς ῥάκη.

ΠΡΟΣ ΤΑΣ ΤΩΝ ΜΑΣΤΩΝ ΦΛΕΓΜΟΝΑΣ, ΦΙΛΟΥΜΕΝΟΥ.

ΚΕΦΑΛΑΙΟΝ ΛΖ'.

Σήσαμον λειότατον ποιήσας καὶ βουτύρου αὔταρκες μίξας καὶ μετρίως χλιάνας, κατάπλασσε δίς τῆς ἡμέρας· εἰ δὲ ἐπιμένει ἡ φλεγμονή, καταπλάττειν τὰ ἐντὸς τοῦ ἄρτου βεβρεγμένα ὕδατι καὶ λειωθέντα, εἶτα χωρίς λειώσας περδικίου βοτάνης φύλλα ὡς εἶναι, τῆς μὲν βοτάνης μέρος ἓν τοῦ δὲ ἄρτου μέρη β'. καὶ κηρωτῆς ἁπαλῆς μέρος ἓν ἥμισυ, θεράπευε δίς τῆς ἡμέρας· τοῦτο δὲ καὶ μετὰ σύρρηξιν [τοῦ ἀποστήματος] εἰς τέλος θεραπεύει. Χρῶ δὲ ὡς πάνυ καλῷ καὶ τούτῳ· ὑοσκυάμου φύλλα χλωρὰ, κηρὸν, κολοφωνίαν, στέαρ χοίρειον πρόσφατον, ἔλαιον ἴσα· τὰ τηκτὰ

1 θεραπεύων Γ. 5 „τὸ ἐκ" ἅπαν. κείμ. ἡμ. τροποπ. „τῷ" Ζερβ. 6 θεραπευθέντες Β. 7 „εὐπαθέστερον" κείμ. ἡμ. διόρθ. „εὐπαθεστέρου" Ζερβ. 8 „νηπία" τὰ κείμ. ἡμ. διόρθ. „νήπια" Ζερβ. 15 ἄνευ, Φιλουμένου Γ. 19 ἄνευ, τοῦ Α. 23 ἄνευ, „ἀποστήματος" τὰ κείμ. ἡμ. ποσθήκη πρός συμπλήρωσιν τῆς ἐννοίας Ζερβ.

[1] Τὸ τῆς νυκτερίδος αἷμα ὡς γεγράφασιν ἔνιοι, καταχριόμενον τοῖς τιτθοῖς τῶν παρθένων ἄχρι πλείστου προσεσταλμένους αὐτοὺς διαφυλάττει· καὶ σμικρὸν κατωτέρω· ἔνιοι δὲ καὶ τοῖς αἰδοίοις τῶν παίδων ἐπαλείφουσι τὸ τῆς νυκτερίδος αἷμα, νομίζοντες ἐκ τούτου φυλάξειν ἄνηβα μέχρι πλείστου τὰ μόρια. Γαλ. XII. Σελ. 258.

τήξας, μίσγε τοῖς φύλλοις λειωθεῖσι καὶ χρῶ. Φάρμακι Ἰουνιάδο Φάρμακον τὸ Ἰουνιάδος πρὸς φλεγμονάς πάσας μάλιστα δὲ μαστῶν. Ἐλαίου παλαιοῦ λίτρ. γ'. κηροῦ γογ'. ἤτοι οὐγ. γ. κολοφωνίας, στέατος χοιρείου ἀνὰ λίτρ. αζ'. ἤτοι μίαν καὶ ἡμίσ. λιθαργύρου λίτρ. α'. γύρεως σιτίνης, λινοσπέρματος χυλοῦ, ψιμμυθίου ἀνὰ γοστ. ἤτοι οὐγ. στ'. λιβάνου γοαζ'. ἤτοι οὐγ. μίαν καὶ ἡμίσ. Ἄλλο. Ἄλλο τοῦ αὐτοῦ. Λιθαργύρου, ψιμμυθίου ἀνὰ δραχ. στ. λιβάνου γοαζ' ἤτοι οὐγ. μίαν καὶ ἡμίσ. κηροῦ, κολοφωνίας ἀνὰ γοστ. ἤτοι οὐγ. στ'. ὀρνιθείου στέατος λίτρ. α'. γύρεως κριθίνης γογζ'. ἤτοι οὐγ. τρεῖς καὶ ἡμίσ. λινοσπέρματος χυλοῦ γοί. ἤτοι οὐγ. ι'. ἐλαίου κοινοῦ γοδ'. ἤτοι οὐγ. δ. λείου λιθάργυρον, ψιμμύθιον, λίβανον σὺν ὀλίγῳ χυλῷ, τὸ δὲ λοιπὸν φυράσας τῷ κριθίνῳ ἔα δύο ἢ τρεῖς ἡμέρας, ἔπειτα ἀναμαλάξας ὕστερον καὶ ἀναξύσας τὴν κηρωτήν, σμίγε καὶ ἑνώσας χρῶ. Ἄλλο. Ἄλλο πρὸς τὰς μετὰ πλείονος ἐρεθίσματος φλεγμονάς. Ψιμμυθίου, λιθαργύρου, μέλιτος, βουτύρου, κηροῦ, στέατος ὀρνιθείου ἀνὰ γοστ. ἤτοι οὐγ. στ. λιβάνου γοβ. ἤτοι οὐγ. β. ῥοδίνου γοα'. ἤτοι οὐγ. α'. ἕψε λιθάργυρον, ψιμμύθιον μετὰ τοῦ ῥοδίνου ἐπ' ὀλίγον καὶ ἐπίβαλλε τὸ μέλι, καὶ ἄρας εὐθέως ἀπὸ τοῦ πυρός, ἐπίπασσε τὸ λίβανον λειότατον καὶ χρῶ. Ἄλλο. Ἄλλο πρὸς φλεγμονάς ᾧ χρῶμαι. Στρύχνου τῶν ἁπαλῶν φύλλων τὸ ἀρκοῦν ἕψε, καὶ ἀναλαβὼν τὰ φύλλα λείου καὶ ἐπίβαλλε μέλιτος γοστ. ἤτοι οὐγ. στ'. καὶ ἑνώσας τῆκε κηροῦ γοστ. ἤτοι οὐγ. στ'. μετ' ἐλαίου λίτρ. α'. καὶ ἐπίβαλλε τῆς παρύγρου γοστ. ἤτοι οὐγ. στ. καὶ ἐπίχεε τοῖς λειωθεῖσι, καὶ ἑνώσας ἀναλάμβανε καὶ προλούσας ἐπιτίθει· τοῦτο διαφορεῖ δι' ἱδρώτων τὰ λαύρως ποιοῦντα φλεγμονάς μαστῶν. Χρῶ καὶ τῇ διὰ σέρεως[1] ἑδρικῇ καὶ ταῖς ὁμοίαις, ποιεῖ δὲ καὶ τοῦτο κάλλιστα πρὸς τὰς πυρώδεις φλεγμονάς τῶν μαστῶν· κηροῦ, κολοφωνίας, ἐλαίου ἀνὰ λίτρ. α'. μήκωνος, κερατίτιδος φύλλων γογ'. ἤτοι οὐγ. γ'. τὰ τηκτὰ τοῖς φύλλοις λειωθεῖσι μίσγε· ποιεῖ δὲ

2 Ἰουνιάδου *B*. 9 κριθίνου *B*. 11 λιθαργύρου κλπ. ἄπ. γενικὴ ἑνικοῦ *B*. 12 ἔα *B*. 13 ἀναξέσας *B*. 14—15 τὰ πλείονα ἐρεθίσματα, φλεγμονῆς *B*. 21 ἕψει *A*. 23 ἑνῶσας *B*. 24 τοῦ παρύγρου *B*. 25 ἑνῶσας *B*. 26 ἱδρῶτων *B*. τῶν λαυρῶς πυρούντων πρὸς δὲ φλεγμονάς *Γ*. 27 ἄνευ, χρῶ *A*. σήρεως *A*. 29 κερατίδος *ΒΓ*. τῶν φύλλων *Γ*. 30 „ποιεῖ δε φασί" μέχρι τοῦ τέλους τοῦ κεφ. „γάλα σβεννύει·" παραλείπει ὁ *A*.

[1] Λατ. seris. κοιν. τρώξιμα καὶ πικρίς ἐκ τῆς πικρᾶς γεύσεως. Ζερβ.

φασί, πιτύα λαγωοῦ ὕδατι λειωθεῖσα καὶ καταχριομένη πρὸς πᾶσαν διόγκωσιν καὶ διάθεσιν μαστῶν μάλιστα ὑπὸ πλήθους γάλακτος. Πρὸς τὰς ἐν βάθει σκληρίας τῶν μαστῶν. Σπονδύλου τὴν βοτάνην ἢ ἀσφοδέλου οἴνῳ τὰς ῥίζας ἑψήσας, κατάπλασσε· ἢ γῆς ἔντερα λειώσας μετὰ κυδωνίων ἢ καρκίνους ποταμίους μετὰ ᾠοῦ· τοῦτο καὶ τὸ γάλα σβεννύει.

Ιρὸς τὰς ν βάθει κληρίας.

ΠΡΟΣ ΤΑΣ ΣΚΛΗΡΥΝΟΜΕΝΑΣ ΦΛΕΓΜΟΝΑΣ ΜΑΣΤΩΝ, ΦΙΛΟΥΜΕΝΟΥ.

ΚΕΦΑΛΑΙΟΝ ΛΗ΄.

Λινόσπερμα μετ᾿ ὀξυμέλιτος ἑψήσας, κατάπλαττε· ἢ τῆλιν ὁμοίως ἢ σήσαμον ἄπλυτον φρύξας βραχὺ καὶ λεάνας μετὰ μέλιτος, ἐπιτίθει θερμόν· ἢ κυνείαν λευκὴν προαναλαβὼν τερεβινθίνῃ, ἐπιτίθει θερμήν. Ἄλλη πάνυ καλὴ ἡ διὰ γλοιοῦ. Λιθαργύρου λιτρ. β΄. γλοιοῦ ἀπὸ βαλανείου ἐν ᾧ μόνοι ἄνδρες λούονται λιτρ. δ΄. κολοφωνίας, κηροῦ, ἀνὰ γοη. ἤτοι οὐγ. η. λεπίδος γοβζ΄ ἤτοι οὐγ. β΄ καὶ ἡμίσ· θαλασσίου ὕδατος ἢ ἅλμης λιτρ. α. Τὴν λεπίδα τῇ θαλάσσῃ λείου ἐφ᾿ ἱκανὰς ἡμέρας, καὶ ἐπιβαλὼν τὴν λιθάργυρον καὶ τὸν γλοιὸν καὶ ἑνώσας ἀναλαβὼν εἰς λοπάδα. ἕψε μέχρι καλῆς συστάσεως καὶ ἐπίβαλλε κηρόν, κολοφωνίαν, καὶ τήξας ἆρον, καὶ ψύξας καὶ μαλάξας χρῶ· κίνει δὲ ἐν τῷ ἑψεῖν χλωρῶν καλάμων ῥίζας ἕως ἂν ἀμόλυντος γένηται. ποιεῖ καὶ ἐπὶ κρουσμάτων καὶ ἐπὶ θλασμάτων καὶ ἑλκῶν παλαιῶν καὶ κονδυλωμάτων, ἀναλυομένη καὶ ἀντὶ ἐμβροχῆς παραλαμβανομένη. Χρῶ δὲ θαρρῶν πρὸς τὰς μετὰ σκληρίας φλεγμονὰς καὶ τῇ ἐν τῷ πρὸ τούτου λόγῳ γεγραμμένῃ ἐν τοῖς διαφορητικοῖς καὶ τοῖς ἐπισπαστικοῖς ἐπιγραφομένῃ διονυσιάς, ἥτις καὶ ἔχει οὕτως· τερεβινθίνης, μάννης, ἀφρονίτρου, ἐλαίου παλαιοῦ, κηροῦ, καὶ μίσυος,[1] ὧν τοὺς σταθμοὺς εὑρήσεις ἐκεῖσε· χρῶ δὲ καὶ τῇ τοῦ ἁλιέως.

Ἄλλη ἡ διὰ γλοιοῦ.

2 διαίρεσιν, ἀντί, διόγκωσιν Γ. 5 ποταμαίους Γ. 10 „λινοσπέρματος“ ἅπαν. οἱ κώδικ. ἡμ. διόρθ. „λινόσπερμα“ Ζερβ. 12—13 τερεβινθίνην Β. 14 μόνον Γ. 17 λεπίδου Β. 19 ἕψει Α. 20 κινεῖ ΒΓ. 21 ἀμολύντος Γ. 22 παλαιῶν κονδυλωμάτων (ἄνευ, καὶ) Α. 25 ἐπιγεγραμμένῃ Α. γεγραμένῃ ΒΓ. ἡμ. διόρθ. γεγραμμένῃ Ζερβ. 26 διονύσια Γ. διονυσίᾳ ΑΒ. ἡμετ. διόρθ. „διονυσιάς“ Ζερβ. 29 ἁλιέως Β.

[1] Εἶδος χαλκάνθου ἐνθείου, λατ. Couprum Sulphuricum. Ζ.

ΠΕΡΙ ΑΠΟΣΤΗΜΑΤΟΣ ΕΝ ΜΑΣΤΟΙΣ.

ΚΕΦΑΛΑΙΟΝ ΛΘʹ.

Μὴ λυομένης δὲ τῆς φλεγμονῆς καὶ τῆς σκληρίας ἀλλὰ εἰς ἀπόστασιν τρεπομένης, συνεργεῖν χρὴ τῇ ταχείᾳ μεταβολῇ, εἰ μηδὲ διαφορηθῆναι δύναται· πλειστάκις δὲ διεφορήσαμεν τὰς ἤδη μεταβληθείσας ἐν μαζοῖς φλεγμονὰς διὰ τῆς διονυσιάδος ἐμπλάστρου, τῆς πρὸ βραχέος ἐπὶ τῶν σκληρυνομένων προρρηθείσης, τό τε γὰρ ὑγρὸν πᾶν διὰ τῶν ἀδήλων πόρων κομίζεται καὶ τὰς σκληρίας διαλύει. ποιεῖ καλῶς καὶ ἡ τοῦ ἁλιέως κιρρά[1] ἡ χωρὶς ὄξους σκευαζομένη, καὶ ἡ Ἀσκληπιάδου μέλαινα· νικηθεισῶν δὲ καὶ τούτων, χειρουργίας δεήσει. Τὰ μὲν οὖν ἄλλα μέρη τοῦ μαστοῦ ἀδεῶς περιαιρείσθω εἴπερ σεσηπότα εἶεν σώματα, ὁ δὲ πλησίον τῆς θηλῆς τόπος πεφροντισμένος ἐκτεμνέσθω μηνοειδεῖ περιαιρέσει, ἵνα διὰ μὲν τῆς ἐκτομῆς γυμνωθῇ τὸ τοῦ ἀποστήματος βάθος, συντηρηθῇ δὲ ἡ θηλὴ ἐπὶ μὲν τῶν ἀρρένων πρὸς εὐπρέπειαν, ἐπὶ δὲ τῶν θηλειῶν καὶ διὰ τοῦτο μὲν ἀλλὰ καὶ διὰ τὴν τοῦ γάλακτος ἔκκρισιν. Μετὰ δὲ τὴν χειρουργίαν διαμοτούσθω ἡ τομή, φυλαττόμενον ἐπὶ πάντων μὲν μάλιστα δὲ ἐπὶ μαστῶν σφηνοῦν τὴν διαίρεσιν τοῖς μοτοῖς σφόδρα, ἐκ τούτου γὰρ συριγγοῦσθαι συμβαίνει. ἀπὸ δὲ τῆς τρίτης ἡμέρας χρῆσθαι τοῖς πυοποιοῖς ἐμμότοις, εἶτα τοῖς ἀνακαιθαίρειν δυναμένοις, καλῶς δὲ ποιεῖ ἐπ' αὐτῶν ἡ τοῦ ἁλιέως κιρρὰ Γαληνοῦ, ἡ πρὸς τὰ κακοήθη ἕλκη προγεγραμμένη· ἐπάνω δὲ σπόγγον ἐξ οἴνου ἐπιτίθει. παραδόξως δὲ ποιεῖ μετὰ τὴν χειρουργίαν ἡ δι' αἰρῶν μέλαινα ἐπιτιθεμένη, ἐκκενεῖ γὰρ καὶ ἀνακολλᾷ.

Χειρουργία.

Τοῦ Μαγιστριανοῦ πρὸς ἀποστήματα ἐν μαστοῖς. Γῆς ἔντερα μετ' ἀλφίτων λειῶν, ἐπιτίθει.

1 *ἀποστημάτων Γ.* 3 *ἀλλὰ καὶ εἰς Β.* 4 *ἀπόστημα Γ. μηδ' εἰ Α.* 6 *μασθοῖς Β. ὀνυσιάδος Γ. ἐμπλάστροις Β.* 7 *πρὸς βραχέος Β. προρρηθείσης Β.* 12 *σεσηπόται εἶναι Β. σεσηπότα εἶναι Γ.* 13 *μηνοειδῆ Β.* 15 *ἄνευ, βάθος Β. ἐπὶ μὲν ἀρρένων ἅπαντ. οἱ κώδ. ἡμ. προσθ. ἐπὶ μὲν τῶν ἀρρ. Ζερβ.* 16 *ἀλλὰ] διὰ τὴν (ἄνευ, καὶ) Β.* 18 *„φυλαττόμενος“ ἅπαντ. τὰ κείμ. ἡμετ. διόρθ. „φυλαττόμενον“ Ζερβ.* 22 *κίρρα ΒΓ. „κιρρὰ καὶ ἡ“ Β.* 24 *αἴρων Α.* 26 *Μαγιστριάνου Α.* 27 *„ἀλφιτῶν“ ΑΒΓ. ἡμ. διόρθ. „ἀλφίτων“ Ζερβ.*

[1] *Ἐκ τῆς χροιᾶς οὕτω καλουμένη, ὡς καὶ κατωτέρω „μέλαινα Ἀσκληπιοῦ“ πάλιν ἐκ ταύτης οὕτω προσαγορεύεται. Ζερβ.*

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΤΟΥΣ ΜΑΣΤΟΥΣ ΣΥΡΙΓΓΩΝ, ΛΕΩΝΙΔΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Μ'.

Ἐνίοτε συριγγοῦται μαστὸς μετὰ τὴν τοῦ ἀποστήματος ῥῆξιν ἢ χειρουργίαν κακῶς θεραπευόμενος, ὡς ἐπὶ τὸ πλεῖστον δὲ αἱ ἐνταῦθα γινόμεναι σύριγγες πᾶσαι, εἰς σάρκα λήγουσιν οὐκ εἰς ὀστοῦν, εἰ μὴ σφόδρα χρονίσωσι. *Θεραπεία.* Δεῖ δὲ πρῶτον πειρᾶσθαι διὰ τῶν καταλλήλων φαρμάκων καὶ ταύτας θεραπεύειν, καλῶς δὲ ποιεῖ ἐπ' αὐτῶν καὶ αὕτη ἡ ἔμπλαστρος ἡ δι' αἰρῶν μέλαινα, καὶ χρῶ ταύτῃ θαρρῶν. ἰδίως δὲ ποιεῖ ἐπ' αὐτῶν καὶ ἡ ἔμπλαστρος αὕτη ἡ πρὸς τὰς ἐν μαστοῖς ἀποστάσεις ὠφελοῦσα, καὶ φύματα πάντα διὰ τῶν ἀδήλων πόρων εἰς πῦον ἐκσηποῦσα, διαφορεῖ γὰρ καὶ τὰ ἤδη μέλλοντα τέμνεσθαι, ἀναξηραίνει καὶ τὰς σύριγγας πάνυ καλῶς ἔξωθεν ἐπιτιθεμένη, καταλιπεῖν δὲ χρὴ ἐπὶ πάντων γυμνὴν τὴν θηλήν· ἔχει δὲ οὕτως· λιθαργύρου, ἐλαίου ἀνὰ λια', ὕδατος γοστ, ἤτοι οὐγ. στ. ἀμμωνιακοῦ θυμιάματος, πυρέθρου ἀνὰ γοστ, ἤτοι οὐγ. στ. πιτυΐνης γοδ', ἤτοι οὐγ. δ. κολοφωνίας γοα', ἤτοι οὐγ. α. ἕψε ἔλαιον, ὕδωρ, λιθάργυρον ἕως ἀμολύντου, εἶτα ἐπίπασσε τὸ ἀμμωνιακόν σεσησμένον, καὶ διαλυθέντος αὐτοῦ ἐπίβαλλε τὰς ῥητίνας καὶ ἐπ' ἀνθράκων ἕψε· καὶ ἄρας ἀπὸ τοῦ πυρός, ἐπίπασσε τὸ πύρεθρον καὶ ἀναμαλάξας χρῶ, ἐμπλάσσων καὶ ἔρια ξηρά ἄνωθεν τῆς ἐμπλάστρου ἐπιτιθεὶς καὶ ἐπιδεσμῶν, γυμνῆς ὡς προείρηται καταλιμπανομένης τῆς θηλῆς. *Κεχρονισμένης διαθέσεως.* Κεχρονισμένης δὲ τῆς διαθέσεως, ἀναστέλλειν χρὴ τὴν τῆς σύριγγος ὑποφοράν διὰ πυρῆνος μήλης, ὑποβάλλοντας καὶ τέμνοντας καὶ ἀκολουθοῦντας τῷ ταύτης ἐλάσματι ἕως βάθους, καὶ τότε ἀφαιρεῖν πάντα τὰ τετυλωμένα καὶ σκληρὰ καὶ ἀλλότρια σώματα, μετὰ δὲ τὴν ἐκτομήν δοκιμάζειν ἔμπλαστρον τὴν ἀνακαθαίρουσαν, εἶτα τὴν ἐπουλωτικήν καὶ ἀναξηραίνουσαν.

---

1 ἄνευ, Λεωνίδου Γ. 4 ῥέξιν Β. 5 λήγουσαι Γ. 8 αἴρῶν Α. αἴρων ΒΓ. ἡμ. διόρθ. „αἰρῶν" Ζερβ. 10 αὐτὴ Α. 11 πᾶν Γ. ἐξυπoῦσα Γ. 17 ἕψει Α. 21 ἐμπλάσσειν Β. 23 „τῆς θηλῆς καὶ ἐπ' ἀνθράκων ἕψε" τὰ κείμεν. ἅπαντ. ἐγὼ ἀφῄρεσ. ὁλόκλ. τὴν φράσ. καὶ μετέφερα ἀνωτέρω μετὰ τὸ „ῥητίνας" στίχ. 19 Ζερβ. 24 πυρηνός Β. πύρινος Γ. „ὑποβάλλοντας καὶ τέμνοντας" μέχρις „ἐλάσματι" παραλείπει Β. τῷ τῆς τοῦ πυρῆνος μήλης ἐλάσματι Α. 27 ἄνευ, σώματα Β.

ΠΕΡΙ ΤΩΝ ΕΝ ΜΑΣΤΟΙΣ ΝΟΜΩΝ.

Νεμομένων ἑλκῶν.

Τὰ δὲ νεμόμενα ἐν μαστοῖς, διὰ τῶν πρὸς νομάς ἰατέον ὑπαντλημάτων καὶ καταπλασμάτων· ποιεῖ δὲ πρὸς νομάς γυναικείων μαστῶν καί κακοήθεις ἀναβρώσεις ἢ διασήψεις καί τὰ ὅμοια, ῥοῦ βυρσοδεψικοῦ λια', σφαιρίων νεαρῶν κυπαρίσσου λια, κίκεως, ὄμφακος λιαζ' ἤτοι λίτρ. α καὶ ἡμίσ. οἴνου αὐστηροῦ λια'. βρέχε ἐλαφρῶς θαλάσσῃ ἡμέρας γ'. εἶτα ἕψει κινῶν κυπαρισσίδος κλάδους ἕως ἡμισυασθῇ· τότε ἐάσας ὥραν μίαν, σόρωσον καὶ πάλιν ἕψε τὸ ὑγρόν ἕως μελιτώδους συστάσεως, καὶ χρῶ ἐμμότῳ ἀποθείς ἐν ὑελίνῳ σκεύει, καὶ μέλιτι πρόσπλεκε εἰς ἀνακάθαρσιν καὶ γάλακτι εἰς ἔμπλασιν, ὅταν συνίδῃς.

ΠΕΡΙ ΤΩΝ ΕΝ ΜΑΣΤΟΙΣ ΦΑΓΕΔΑΙΝΙΚΩΝ ΕΛΚΩΝ.

ΚΕΦΑΛΑΙΟΝ ΜΑ'.

Τὸ φαγεδαινικόν ἕλκος διαφέρει τῆς καρκινώσεως, τὸ μὴ πάνυ σκληρά ἔχειν τὰ πέριξ μήτε κεκιρσωμένας τὰς φλέβας μήτε μέχρι βάσεως διήκειν, ἔτι δὲ ἡ μὲν φαγέδαινα πᾶσα πείθεται τῇ φαρμακείᾳ, ἡ δὲ ἐν κακοήθει καί θηριώδει διαθέσει παροξύνεται πρὸς τὰς τῶν φαρμάκων ἐπιθέσεις. Φαγεδαινικῆς μὲν οὔσης τῆς διαθέσεως, ἐπὶ τὴν σύντομον καί ἀσφαλεστέραν θεραπείαν χρὴ ὁρμῆσαι, λέγω δὲ τὴν τῶν τετυλωμένων χειλῶν ἐκτομήν· μετὰ δὲ τὴν ἐκτομὴν καίειν τὰ χείλη καυτηρίοις διαπύροις, διά τε τὴν ὑποπτευομένην αἱμορραγίαν καὶ διὰ τὴν ἀσφαλῆ θεραπείαν. Φάρμακα δὲ ταῖς τῶν μαστῶν ἀναβρώσεσιν ἐπιτήδεια, τὰ πρὸς καρκινώσεις ῥηθησόμενα.

---

1 „*Περὶ τῶν ἐν μαστοῖς*“ κλπ. μέχρις „ὅταν συνίδῃς“ παραλείπει ὁ *Α*. 2 „**νεμομένα**“ *ΒΓ*. ἡμ. διόρθωσ. „νεμόμενα“ *Ζερβ*. 3ὑπαντλησμάτων *Β*. 4 **ἀναβράσεις** *Β*. διὰ σήψις *ΒΓ*. ἡμ. διόρθ. διασήψεις *Ζερβ*. 6 κίνεως ὄμφακος ἄπαντ. τὰ κείμ. ἡμ. διόρθ. κίκεως, ὄμφακος, *Ζερβ*. 7 „ἡμέρᾳ“ τὰ **κείμ. ἡμετέρ. διόρθ.** „ἡμέρας“ *Ζερβ*. „ἑψήσας“ τὰ κείμ. ἡμ. διόρθ. „ἕψει“ *Σερβ*. 10 **προσπλέκεο** *Γ*. 11 „ὅταν συνίδῃς“ παραλείπ. *Γ*. συνίδοις *Β*. „συνίδῃς“ **ἡμετ. διόρθ. Ζερβ.** 16 ὅτι δὲ *Β*. 17 τῷ φαρμάκῳ *ΒΓ*. 21 „διαπύροις **διά τε τὴν ὑποπτευομένην** κλπ.“ μέχρι „θεραπείαν“ παραλείπ. ὁ *ΒΓ*. 23 τὰ **κείμενα ἔχουσι „καὶ ταῖς“** κλπ. ἡμ. ἀφῃρέσαμεν τὸ „καί“ ὡς περιττόν *Ζερβ*. **ἀναβράσεσιν** *Β*.

ΠΕΡΙ ΤΩΝ ΕΝ ΜΑΣΤΟΙΣ ΚΑΡΚΙΝΩΜΑΤΩΝ ΕΚ ΤΩΝ ΑΡΧΙΓΕΝΟΥΣ ΚΑΙ ΛΕΩΝΙΔΟΥ, ΚΑΙ ΠΕΡΙ ΣΗΜΕΙΩΝ ΤΩΝ ΗΛΚΟΜΕΝΩΝ ΚΑΡΚΙΝΩΜΑΤΩΝ.

ΚΕΦΑΛΑΙΟΝ ΜΒ'.

Ἡ τῶν καρκινωδῶν ὄγκων γένεσις συνεχέστατα γίνεται περὶ τοὺς μαστούς, μᾶλλον δὲ ἀνδρῶν ἁλίσκονται τῷ πάθει αἱ γυναῖκες, εὐσάρκους τε καὶ μεγάλους ἔχουσαι τοὺς τιτθούς. Οἱ δὲ ἀρχαῖοι τὸ καρκινῶδες ἕλκος καὶ κακόηθες προσηγόρευσαν καί θηριῶδες· καρκινῶδες μὲν κατὰ μεταφορὰν τῶν καρκίνων ζῴων, καὶ γάρ εἰσὶ τραχέα καὶ ἀπηνῆ τῇ σκληρότητι τὰ ζῷα ταῦτα, καὶ εἴ τινος λάβοιντο τοῖς χείλεσιν εἰσί δυσαπόσπαστα, παραπλήσιος δὲ καὶ ὁ καρκινώδης ὄγκος, ἀντίτυπος ὑπάρχων καὶ ὀχθώδης καὶ διὰ τοῦτο δυσίατος ἢ καὶ ἀνίατος. θηριώδης δὲ καὶ κακοήθης προσαγορεύεται ἀπὸ τῶν ἀγρίων θηρῶν καὶ κακοήθων ζῴων, καὶ γὰρ δυσπαθές τὸ πάθος καὶ τῇ θεραπείᾳ ἀγριαινόμενον καὶ τῇ χειρουργίᾳ παροξυνόμενον. Δύο δὲ καρκινωμάτων εἰσὶν αἱ ἀνώτεραι διαφοραί, τὰ μὲν γὰρ αὐτῶν ἀνέλκωτα γίνεται, τὰ δὲ ἡλκωμένα. τὰ μὲν οὖν ἀνέλκωτα καρκινώματα κρυπτὰ ὠνόμασαν οἱ πλεῖστοι τῶν ἀρχαίων, ὁ δὲ Φιλόξενος ἰδίως κρυπτὸν ὠνόμασε καρκίνωμα τὸ ἐν μήτρᾳ ἢ ἐντέροις γινόμενον.

Περὶ ἀνελκώτων καὶ ἡλκωμένων καρκινωμάτων.

Ἀνελκώτου μὲν ὄντος καρκίνου, ὄγκος καταλαμβάνεται ἐν τῷ μαστῷ διαφέρων μεγέθει, ἀντίτυπος, ἀνώμαλος, ἀγρίου θηρός τὴν ἀπήνειαν ἔχων, στερεῶς δὲ διὰ βάθους ἐμπεφυκὼς καὶ τὰς ῥίζας πόρρω ἐμβεβλημένας καὶ φλεψί ταῖς παρακειμέναις οἷον συνδεδεμένος, καὶ κεκιρσωμένας ἔχων τὰς πέριξ φλέβας, τεφρώδης τέ ἐστι καὶ πορφυρίζων καὶ ὑποπέλιος τῇ χρόᾳ, καὶ τοῖς μὲν ὁρῶσι μαλακός νομίζεται, τοῖς ἁπτομένοις δὲ σκληρότατος· ὅθεν οὐ πιστευτέον τῇ τῆς ὄψεως δόξῃ· ὀδύνας τε νυγματώδεις καὶ πόρρω που διατεινούσας ἐμποιεῖ, ὥστε κατὰ συμπάθειαν ἐν ταῖς μασχάλαις βουβῶνας ἐπανίστασθαι κακοήθεις, διήκουσι δὲ καὶ μέχρι κλειδός

---

2 *Λεωνίδους* B. „*ἐλκομένων*" *ἅπαντ. τὰ κείμ. ἡμετέρ. διόρθ.* „*ἡλκωμένων*" *Ζερβ.* 6 *ἁλίσκονται δὲ* ΒΓ. *καὶ γυναῖκες* ΒΓ. *ἄνευ, καὶ* Α. *ἡμετ. τροποποίησ.* „*αἱ γυναῖκες*" *Ζερβ.* 7 *ἀρχαῖοί* Β. 8 *προσηγόρουσαν* Β. 9 *καὶ καρκινῶδες μὲν* (*μετὰ, καὶ*) Β *ὅπερ καλῶς ἐπίσης ἠχεῖ* Ζ. 10 *ἀπεινῆ* ΒΓ. 12 *καρκινῶδες* Β. 13 *ἄνευ,* „*ἢ καὶ ἀνίατος*" Β. 14 *θηρίων* Β. *καὶ καήθων ζῴων* Α. 20 *ἢ ἐν ἑτέροις* Α. 21 *μάστῳ* Β. 22 *ἀντίτυπος ἀνώμαλος* Α. 23 *στερεός* Α. 24 *βλέψι, ἀντί, φλεψί* Β. *συνδεδεμένας* Γ. *καὶ κιρσωμένας* Β. 28 *τὲ* Α. 30 *κλεῖδος* Β.

καὶ ὠμοπλάτης. Ἡλκωμένου δὲ σημεῖα ταῦτα· διαβιβρώσκων ἀεὶ καὶ διὰ βάθους ὑποκάμπτων, στῆναι ἀμηχανεῖ· ἰχῶράς τε ἐκβάλλει παντός ἰοῦ θηριώδους πονηροτέρους, δυσώδεις τε καὶ πολλούς· ὁμοίως δὲ πόνοι νυγματώδεις καὶ τούτῳ συνεδρεύουσι, καὶ μᾶλλον οὗτος παροξύνεται ἐν ταῖς χειραψίαις καὶ ταῖς φαρμακείαις.

ΤΙΝΑ ΤΩΝ ΚΑΡΚΙΝΩΜΑΤΩΝ ΕΥΙΑΤΑ ΚΑΙ ΤΙΝΑ ΑΝΙΑΤΑ.

ΚΕΦΑΛΑΙΟΝ ΜΓ′.

Καθόλου δὲ τὰ συμφυῆ τῷ θώρακι καρκινώματα ἀπαγορεύειν προσήκει, ὥσπερ καὶ τὰ ἐν τῇ κεφαλῇ ἢ τραχήλῳ ἢ νώτοις ἢ μασχάλαις ἢ βουβῶσι, καὶ ταῦτα γὰρ ἀνίατα τὸν ἐν χερσί κίνδυνον καθ᾽ αἱμορραγίαν ἐπάγονται μετὰ τοῦ μὴ τελέως ἀναιρεῖσθαι. τὰ δὲ κατὰ τὸ ἄκρον τοῦ τιτθοῦ γινόμενα, εὐΐατα συναπτόμενα· στερήσει δηλονότι τοῦ πάσχοντος μορίου.

ΧΕΙΡΟΥΡΓΙΑ ΚΑΡΚΙΝΩΜΑΤΩΝ ΕΚ ΤΩΝ ΛΕΩΝΙΔΟΥ.

ΚΕΦΑΛΑΙΟΝ ΜΔ′.

Ἐγὼ μὲν οὖν ἐπὶ τῶν μὴ συμπεφυκότων τῷ θώρακι καρκινωμάτων, εἴωθα χρῆσθαι τῇ χειρουργίᾳ· ἔστι δὲ ὁ τρόπος τοιοῦτος· τῆς πασχούσης ὑπτίας ἐσχηματισμένης, ὑπὲρ τὸ καρκίνωμα διαιρῶ τὸ μέρος τοῦ μαστοῦ τὸ ὑγιές, καὶ τὸ διῃρημένον ὑποκαίω καυστηρίοις, ἕως ὅτου ἐσχαρωθέντων τῶν σωμάτων ἐπισχεθῇ ἡ αἱμορραγία· εἶτα πάλιν τέμνω, περιχαράσσων ἅμα καὶ βαθυτομῶν τὸν μαστόν, καὶ πάλιν τὰ τετμημένα καίω· καὶ πλειστάκις τοῦτο ποιῶ τέμνων καὶ μετὰ ταῦτα καίων πρὸς ἐποχὴν τῆς αἱμορραγίας, καὶ ἔστιν ἀκίνδυνος ἡ αἱμορραγία αὕτη. Μετὰ δὲ τὴν τελείαν ἀποκοπὴν πάλιν ἐπικαίω τὰ μέρη τὰ ὅλα ἕως ἀναξηρασμοῦ, τὸ μὲν γὰρ πρῶτον καὶ δεύτερον πρὸς τὴν τῆς αἱμορραγίας ἐποχήν, ἔσχατον δὲ μετὰ τὴν τελείαν ἀποκοπὴν τὰ καυτήρια προσάγειν πρὸς τὴν τοῦ πάθους ὅλου ἀνασκευήν·[1]

---

4 ὁμοίοις *B*. 5 καὶ φαρμακείαις (ἄνευ, ταῖς) *BΓ*. 11 „ἐπάγοντα" ἅπαν τὰ κείμ. ἡμετ. τροποποίησις „ἐπάγονται" Ζερβ. 12 εὐΐατα· σαναπτόμενα *A*. 18 πάσχουσης *B*. 19 διαίρω *A*. 22 τετμημένον *B*. 24 ἐστὶν *B*. 25 „τὰ μέρη τὰ ὅλα" μέχρι „καὶ δεύτερον" παραλείπει *B*. 28 καυστήρια *BΓ*.

---

[1] Ὁκόσα φάρμακα οὐκ ἰῆται, σίδηρος ἰῆται· ὅσα σίδηρος οὐκ ἰῆται, πῦρ ἰῆται· ὅσα δὲ πῦρ οὐκ ἰῆται, ταῦτα χρὴ νομίζειν ἀνίατα. Ἀφ. Ἱππ. IV. 608.

εἴωθα δέ ποτε καὶ χωρίς καύσεως ἐνεργεῖν, ὅταν ὄγκος γένηται περὶ τὸν μαστὸν χοιρώδης, μελετῶν τὴν τοῦ καρκινώματος γένεσιν. Τοιούτου τοίνυν ὄντος τοῦ πάθους, ἔξεστιν ἀρκεσθῆναι τῇ ἀπὸ τῶν ὑγιῶν μερῶν ἐκτομῇ τοῦ μαστοῦ, οὐδὲ γὰρ σφοδρὰ γίνεται ἐπὶ τῶν τοιούτων αἱμορραγία.

ΜΕΤΑ ΤΗΝ ΕΚΤΟΜΗΝ Η ΚΑΥΣΙΝ ΕΠΙΜΕΛΕΙΑ.

ΚΕΦΑΛΑΙΟΝ ΜΕ΄.

Μετὰ δὲ τὴν ἐκτομὴν καύσεως μὴ δοκιμαζομένης, διαμότωσιν προσλαμβάνομεν καὶ τὴν ἀκόλουθον πυοποιόν θεραπείαν καὶ τὴν λοιπὴν ἐπιμέλειαν ἀναξηραίνειν ἐπαγγελλομένην· καύσεως δὲ ἐν τῇ χειρουργίᾳ δοκιμαζομένης, ἐπὶ μὲν τῶν ἄλλων χρώμεθα καταπλάσματι ἀρνογλώσσου ἢ πολυγόνου ἢ σησάμῳ λείῳ, ἐνίοτε δὲ καὶ ἐντός τοῦ ἄρτου μίγνυμέν τινι τῶν εἰρημένων, ἔξωθεν δὲ τοῦ καταπλάσματος ὀθόνιον ὕδατι βεβρεγμένον ἐπιτίθεμεν. καλῶς δὲ καὶ ἀνωδύνως ἀφίστησι τὰς ἐκ τῶν καυστήρων ἐσχάρας, γάλα μέλι προσλαβόν καὶ διὰ τῶν μοτῶν προσαγόμενον, μετὰ δὲ τὴν εἰρημένην ἐπιμέλειαν κατάκλεισις δοκιμαζέσθω ἐν οἴκῳ θερμῷ· πᾶσα γὰρ ψύξις βλαβερά τῷ πάθει καὶ μάλιστα ἐν τῷ τῆς ἀνακαθάρσεως τῶν ἑλκῶν καιρῷ, σπασμόν γὰρ ἐρεθίζει. Τῇ δὲ δευτέρᾳ ἢ τρίτῃ λύσαντες, καταντλήσωμεν ὕδωρ χλιαρόν, καταπλάττοντες φακῷ ἑφθῷ μετὰ μέλιτος πάνυ ἐλαχίστου διὰ τὸ ἐρεθιστικὸν τοῦ μέλιτος, ἔξωθεν δὲ φύλλα ἀμπέλου ἢ θριδακίνης[1] *ἐπιτιθέντες, ἐπιδέσμῳ οἰκείῳ χρώμεθα καὶ τούτῳ ἐπιμένομεν ἕως ἐκπέσωσιν αἱ ἐσχάραι. Μετὰ δὲ τὴν τῶν ἐσχαρῶν ἔκπτωσιν τῇ διαμοτώσει χρώμεθα, παραιτούμεθα δὲ ἐπὶ τούτων τὰ δριμύτερα τῶν φαρ-*

1 *ποτέ ΑΒ. γίνηται Β.* 4 *σφόδρα ἐν ἅπασι τοῖς κειμ. ἡμ. διόρθ. „σφοδρά“ Ζερβ.* 12 *ἐνιότε Β.* 15 *καὶ μέλι Γ. ἀφιστᾷ ΑΓ. ἀφιστῷ Β. ἡμ. διόρθ. „ἀφίστησι“ Ζερβ.* 16 *προσλαβών Β.* 20 *λούσαντες Γ.* 21 *φακκῷ Α. φάκῳ ΒΓ. ἡμ. διόρθ. φακῷ Ζερβ.* 22 *ἢ τριδακίνης Β.* 23 *ἐμπέσωσιν Β.* 25 *παραιτώμεθα Β.*

[1] *Λατ.* lactuca, *κοιν. μαροῦλι. Γαληνός δὲ θριδακίνην καλεῖ τὴν ἀγρίαν, τὴν δὲ κηπευομένην θρίδακα, ὡς καὶ πλεῖστοι ἄλλοι. Διοσκ. δὲ, θρίδακα λέγει ἄμφω τὰ εἴδη τήν τε ἥμερον καὶ τὴν ἀγρίαν. Θεόφρ. δὲ καὶ Διοσκ. Θριδακίνην βρύον τὰ θαλάσσιον καλοῦσι, διὰ τὴν ἀμοιβαίαν ὁμοιότητα. Θεόφρ. μὲν γὰρ βρύον τὸ θαλάσσιόν φησι „οὐκ ἀνόμοιον ταῖς θριδακίναις, πλήν ῥυτιδωδέστερον καὶ ὥσπερ συνεσπασμένον“· Ζερβ.*

μάκων καὶ τὰ λυπαίνοντα, εἰς ἀνάμνησιν γὰρ ταῦτα ἄγει τὸ πάθος. διόπερ εἴωθα γάλακτι γυναικείῳ ἢ ὀνείῳ ῥόδινον ἔλαιον προσπλέκειν, καὶ τούτῳ τοὺς μοτούς βρέχειν καὶ προστιθέναι κατ' αὐτῶν ἔξωθεν μοτοφύλακα τῷ αὐτῷ βεβρεγμένον, καὶ ἐπίδεσιν καὶ ἁπλῆν καὶ κούφην παραλαμβάνειν, ὁ γὰρ τῶν πολλῶν ὀθονίων φόρτος ἐπὶ τούτων βλαβερός. Καὶ ἐν μὲν τῷ τῆς πυοποιήσεως καιρῷ πλεῖον ἔστω τὸ ῥόδινον, πρὸς δὲ τὴν ἀνακάθαρσιν τὸ γάλα πλεοναζέτω· ἐὰν δὲ κατεπείγῃ, ἔξωθεν τῶν μοτῶν καταπλάσματι χρήσθω μελιλώτων μετὰ ῥοδίνου καὶ ὕδατος ἢ γάλακτος γυναικείου καὶ ἐπιτιθέσθω, τὰ γὰρ κηρώματα καὶ περίεργα καταπλάσματα ἐπὶ τούτων βλαβερά. εἰ δὲ ξηρῶν χρεία γένοιτο, σποδός πομφόλυγος[1] ἀκριβέστατα πεπλυμένη καὶ ἐξηραμένη ἐπιπαττέσθω, ἡ καδμία[2] τρίς κεκαυμένη καὶ ἐσβεσμένη ῥοδίνῳ, ἔπειτα πεπλυμένη καὶ ἀκριβέστατα ἐξηραμένη· ἀπεχέσθω δὲ κατὰ τὸν καιρόν τῆς θεραπείας οἴνου καὶ τῶν δυσπεπτικῶν τροφῶν καὶ ψυχροποσίας. Τῆς δέ ἑλκώσεως εἰς ἀπούλωσιν ἀγομένης, οὐδέν κατὰ ἀμελεῖν ἀλλὰ ῥωννύειν τὴν ἅπασαν ἕξιν τοῦ σώματος καὶ εἰς εὐχυμίαν τρέπειν, δι' εὐχύμων τροφῶν καὶ γυμνασίων καὶ αἰώρας καὶ τῆς λοιπῆς ἀναληπτικῆς ἀγωγῆς.

---

1 λιπαίνονται ΒΓ. 3 μότους Β. 4 „καὶ κατ' αὐτῶν“ τὰ κείμ. ἅπαντ. ἡμ. ἀφηρέσ. τὸ „καὶ“ Ζερβ. 5 ἁπαλήν, ἀντὶ, ἁπλῆν Γ. 7 „ἔσται“ ἅπαντ. τὰ κείμ. ἡμ. διόρθ. „ἔστω“ Ζερβ. 8 κατεπίγῃ Β. „ἔξωθεν τῶν μοτῶν καταπλάσματι χρήσθω“ παραλείπ. ὁ Β. 9 μελιλῶτον Α. μελίλωτον ΑΓ. ἡμ. διόρθωσις „μελιλώτων“ Ζερβ. 10 „γυναικείου ἔξωθεν ἐπιτίθει τῷ καταπλάσματι προσμίξωμεν, αἱ γὰρ ἀτρωταί καὶ τῶν καταπλασμάτων ἐπικατεργαστικώτεραι, ἐπὶ τούτων βλαβερά“ Β. 11 ξηρίου ΑΓ. 12 πομφόλυγγος Α. πομφωλύγος ΒΓ. ἡμ. διόρθ. πομφόλυγος Ζερβ. ἐξηρασμένη ΒΓ. 13 τρεῖς ΒΓ. 13 πεπλυμένη ἀκριβέστατα καὶ ἐξηραμένη Β. 14 ἄνευ, τῆς ΒΓ. 15 ἀποιλώσιν Β. ἀπουλώσιν Γ. εἰς οὐλήν Α. ἡμ. διόρθ. „ἀπούλωσιν“ Ζερβ. διχθείσης Β. δειχθείσης Γ. 16 μελετήσομεν στερεοῦν ὅλην τὴν ἕξιν Β. 17 ἄνευ, σώματος Β. 18 ταῖς λοιπαῖς Β.

---

[1] Τὰ ἐξ ἀναλυομένου ὀρειχάλκου ἀποχωριζόμενα μόρια ψευδαργύρου καὶ ὡς ἄνθη προσκολλώμενα τοῖς τοῦ χωνευτηρίου πλαγίοις. Διοσκ. VI. 85.

[2] Γεννᾶται δὲ ἡ Καδμεία, φησί Διοσκ. ἐκ τοῦ χαλκοῦ καμινευομένου, προσιζανούσης τῆς λιγνύος τοῖς τοίχοις καὶ τῇ κορυφῇ τῶν καμίνων. V. 84.

ΕΠΙΜΕΛΕΙΑ ΚΑΡΚΙΝΩΜΑΤΩΝ ΤΩΝ ΧΕΙΡΟΥΡΓΙΑ ΜΗ ΥΠΟΒΑΛΛΟΜΕΝΩΝ.

ΚΕΦΑΛΑΙΟΝ Μϛʹ.

Πρῶτον μὲν πρὸ πάσης ἐπιμελείας παντός ἕλκους κακοήθους, προείρηται πλειστάκις, ὡς προνοεῖσθαι χρὴ τοῦ παντὸς σώματος καὶ οὕτως τοῖς τοπικοῖς βοηθήμασι χρῆσθαι· εὔλυτον μὲν οὖν προσήκει τὴν κοιλίαν κατασκευάζειν διά τε τροφῶν καὶ δι' ἀλόης καὶ τῆς δι' αὐτῆς σκευαζομένης πικρᾶς, διδόναι δὲ πίνειν συνεχῶς καὶ τὰ πλεῖστα δηλητήρια ὡς φάρμακα ἁρμόζοντα, οἷά ἐστιν ἡ θηριακή[1] καὶ ἡ μιθριδάτειος[2] καὶ ἡ δι' αἱμάτων ἀντίδοτος· τῶν δὲ ἁπλῶν μάλιστα αἷμα χηνός ἢ νήσσης νεοσφαγοῦς θερμόν διδόναι ἢ τριφύλλου τῆς ἀσφαλτώδους λειοτάτης ὅσον κοχλιάρια α ἢ β μεθ' ὕδατος κοτυλῶν γ'. ἢ πηγάνου ἀγρίου σπέρματος γοα ἤτοι οὐγ. α. ἢ γλήχωνος παλαιοτέρου δραχ. α. διδόναι χρὴ καὶ μαλάχης ἀφέψημα. Ὠφελήσει δὲ τὰ μεγάλα καὶ καρκίνων ποταμίων ζωμός σύν γάλακτι ὀνείῳ ῥοφώμενος ἐπὶ ἡμέρας πέντε, καὶ πάλιν ἡ τῶν καρκίνων πόσις· ἑπτάκις γὰρ ἡ τοιαύτη περίοδος παραληφθεῖσα, πραότατον τὸν καρκινωδέστατον μαστόν ἀποτελεῖ, καὶ δι' ἁπλουστέρων λοιπῶν ἐπιθεμάτων εἰς τὸ κατὰ φύσιν τελείως φθάνει.

4 τοιούτου ἕλκους B. 5 πάντος B. 9 καί τὰ πρὸς τά δηλητήρια BΓ. ἄνευ, ὡς B. ἐστίν B. 12 τριφυλλίου B. 13 κυάθων, ἀντὶ, κοτυλῶν A. κοτύλων BΓ. ἡμ. διόρθ. „κοτυλῶν Ζερβ. 16 ἐν γάλακτι B. 18 παραλειφθεῖσα B. 19 ἐπιθεμάτων ἐπιμέλεια B. 20 ἄνευ „τελείως" BΓ. ἐπανῆλθεν, ἀντὶ, φθάνει B.

[1] Ἡ θηριακὴ ὑπὸ Ἀνδρομάχου τροποποιηθεῖσα ἔχει οὕτως. Ἀρτίσκων σκιλλητικῶν δραχ. μη', θηριακῶν ἀρτίσκων, πεπέρεως μέλανος, ἡδυχρόου μάγματος, ὀποῦ μήκωνος σπανοῦ ἀνὰ δραχ. κδ'. ῥόδων ξηρῶν, σκορδίου, σπέρματος βουνιάδος, ἴρεως ἰλλυρικῆς, ἀγαρικοῦ, κιναμώμου, γλυκυρρίζης χυλοῦ, ὀποβαλσάμου, λιβανωτίδος ἀνὰ δραχ. ιβ'. σμύρνης, κρόκου, ζιγγιβέρεως, ῥᾶ ποντικοῦ, πενταφύλλου ῥίζης, καλαμίνθης ὀρεινῆς, πρασίου, πετροσελίνου, στοιχάδος, κόστου, πεπέρεως λευκοῦ, πεπέρεως μακροῦ, λιβάνου, ἀνὰ ὀβολούς β. κασίας μελαίνης, κρόκου ἀνὰ δραχ. δ'. σχοίνου, πολίου, νήσσης αἵματος ἀνὰ δραχ. γ'. μέλιτος ἀττικοῦ ἑφθοῦ τὸ ἀρκοῦν. Ζερβός.

[2] Ἐκ τοῦ Μιθριδάτου τοῦ Πόντου τοῦ καὶ Εὐπάτορος καλουμένου, ὅστις θέλων τὸν ἑαυτοῦ ὀργανισμόν ἄνοσον καταστῆσαι ἀπὸ ἐξωτερικῆς ἐπιβουλῆς, ἐλάμβανε δηλητήριον καθ' ἑκάστην εἰς ποσόν ἐλάχιστον μὴ προκαλοῦν δηλητηρίασιν. Πρῶτος οὗτος ἐξεῦρε τὰ εἴδη τῶν ἀντιδότων, ὧν ἐν φέρει καὶ τὸ ὄνομα αὐτοῦ. Ζερβός.

ΕΠΙΜΕΛΕΙΑ ΤΩΝ ΑΝΕΛΚΩΤΩΝ ΚΑΡΚΙΝΩΔΩΝ ΟΓΚΩΝ.

ΚΕΦΑΛΑΙΟΝ ΜΖʹ.

Ἰδίως δὲ ἐπὶ τῶν ἀνελκώτων ὄγκων ἄρτον μετ' ὀλίγου συμφύτου λειώσας, κουφότερον ἐπιτίθει· ἐν δὲ τοῖς παροξυσμοῖς ῥόδα, μελίλωτα,[1] μήκωνος σπέρμα λεάνας σὺν γλυκεῖ, καὶ ὅταν βραχῇ ἑψήσας καὶ σὺν λεκίθοις ὠῶν λεάνας ἐπιτίθει· ἢ ἀλθαίας φύλλα λεάνας ἑφθὰ ἐπιτίθει καθ' αὑτὰ ἢ σὺν ἄρτῳ. Δραστικὸν δέ ἐστιν ἐν τοῖς παροξυσμοῖς παραλαμβανόμενον καὶ τοῦτο· ἀρνογλώσσου σπέρμα καὶ κωδύα μήκωνος σὺν τῷ σπέρματι καὶ ψυλλίοις ἴσα κόψας, σήσας τὰ ἄλλα, τὸ δὲ ψύλλιον γλυκεῖ κρητικῷ βρέξας καὶ λεάνας, καὶ φοινίκων λιπαρῶν σαρκῶν τὸ ἀρκοῦν. κἄπειτα μίξας τοῖς ξηροῖς ἐπίβαλλε καὶ τὸ ψύλλιον, καὶ ἐνώσας καὶ στέαρ χήνειον ἐπιβαλὼν ὀλίγον καὶ χλιάνας ἅμα τὰ πάντα, ἐπιτίθει θερμῶς, καὶ ἀναλαβὼν τοῖς φοίνιξι καὶ ἄρτον διάβροχον σύμμετρον ἐπιτίθει ψυχρόν. χρήσιμον ἐπὶ τῶν καρκινωδῶν καὶ τοῦ ἐρυσίμου τὸ σπέρμα λεῖον μετὰ ὑσσώπου[2] ὀλίγου καὶ ὑδρομέλιτος θερμὸν ἐπιτιθέμενον· μελίας δὲ τοῦ δένδρου τὰ ἁπαλὰ φύλλα ἑψούμενα ὕδατι, εἶτα λεῖα καθ' αὑτὰ θερμὰ ἐπιπλαττόμενα, παραμυθεῖται τῶν κακοηθεστάτων τὰς ὀδύνας, καὶ εἴ τι ἐπιμένει αὐτοῖς, διαφορεῖ θαυμαστῶς· καὶ τῷ ἀφεψήματι δὲ τῶν φύλλων πυρίᾳ χρῶμαι συνεχῶς καὶ ἐπιτυγχάνω, ἔστι δὲ τὸ δένδρον ἐργάσιμον ἄκαρπον. μετὰ δὲ ταῦτα πάλιν τὸ δι'

---

1 *ἀναλκώτων B. ἀνελκότων Γ.* 3 *ἐπ' ὀλίγου B.* 5 *μελιλώτον B.* 6 *βράχει B. ἄνευ, ἑψήσας B. σὺν ἐλκίθοις ὠῶν A.* 7 *αὔτα B.* 8 *ἐστὶν ΒΓ.* 9 *κωδύου B.* 10 *ψυλλίον ΒΓ.* 11 *ὀλίγον βρέχων Γ. ἄνευ, σαρκῶν ΒΓ.* 13 „*ὀλίγον, καὶ χρῶ θαρρῶν B. ὅπερ ἀφῄρεσα ἑπόμενος τῷ A. κώδικ. Ζερβ.* 14 *θερμῆς δὲ διαθέσεως τὰ ψυχρὰ ἐξετασούσης καὶ ἀναλαβὼν B. ὅπερ διέγραψα ἑπόμεν. τοῖς ΑΓ. κώδιξ. Ζερβ.* „*τοῖς φοίνιξι*" *κλπ. μέχρι* „*καὶ τῷ ἀφεψήματι δὲ τῶν*" *στίχ.* 20 *παραλείπ. ὁ A.* 19 *ἐπιπασσόμενα B.* 20 *εἴτις B.* 21 *ὡς πυρίᾳ B.*

---

[1] *Γαληνός τε καὶ Διοσκ. ἓν μόνον μελιλώτου εἶδος περιγράφουσιν, ὡς δ' ἐπὶ τὸ πολὺ ἑνικῶς μόνον ἐν ταῖς τοῦ Γαλ. συνταγαῖς φέρεται·* „*μελιλώτου*", *ἀλλὰ καὶ πληθυντικῶς* „*μελίλωτα*" „*μελιλώτων*" *δὲν σπανίζει. Καὶ ἐνταῦθα ὁ A μὲν* „*μελίλωτα*" *γράφει, B δὲ καὶ Γ* „*μελίλωτον*". *Ζερβ.*

[2] *Ὕσσωπός ἐστιν ἀρωματικὴ βοτάνη ἧς ἡ θεραπευτικὴ χρῆσις πλείων ἐστὶν ἔσωθεν ἢ ἔξωθεν, ἰδίᾳ ἐν καταπλάσμασι καὶ κηρωταῖς ἔστιν ὅτε. Ζερβ.*

ἀρνογλώσσου κατάπλασμα δοκιμαζέσθω ἢ ἡ Ἱκεσίου ἔμπλαστρος, ἢ πανάκεια μέλαινα εὐαφεστάτως σκευαζομένη, ἢ ἑτέρα τῶν παραπλησίων ἐπιτιθέσθω· καὶ ταῦτα μὲν εἰ μὴ ἕλκος εἴη.

ΗΛΚΩΜΕΝΟΥ ΚΑΡΚΙΝΟΥ ΕΠΙΜΕΛΕΙΑ.

ΚΕΦΑΛΑΙΟΝ ΜΗ'.

Ἡλκωμένῳ δὲ κακοήθει πραότατον ἐπίθεμα ὅμοιον κειμήλιον ἐστὶ· παράλαβε τοῦτο φησὶν Ἀρχιγένης, ὅ καὶ ἔχει οὕτως· λιθαργύρου, στέατος ὑείου προσφάτου, κηροῦ λευκοῦ ἀνὰ λια. ἐλαίου καλοῦ γοιστ ἤτοι οὐγ. ις'. ὠῶν ὀπτῶν λεκίθους ιβ'. τὴν λιθάργυρον τρίβε μεθ' ὕδατος συμμέτρου, εἶτα παραχέων τι τοῦ ἐλαίου, ἐπίβαλλε καὶ τὰς λεκίθους καὶ συλλέαινε. τὸ δὲ στέαρ ἐξυμενίσας καὶ κόψας ἐν θυίᾳ, τῆκε ἀκνίσσως σὺν τῷ κηρῷ καὶ διήθει· ψυχρανθὲν δὲ, κινῶν ἐπίβαλλε τὸ λοιπὸν τοῦ ἐλαίου κατὰ βραχὺ, καὶ ἀναμίξας ἐν θυίᾳ τοῖς λειωθεῖσιν ἀναλάμβανε. χρῶ δὲ αὐτῷ ἀνιεὶς ῥοδίνῳ, καὶ ἐρίῳ ἁπαλῷ ἀναλαβὼν ἀντὶ μοτῶν ἐπιτίθει· ἀνωδύνου δὲ ὄντος τοῦ ἕλκους, προσπλεκέσθω καὶ ἴριδος, σμύρνης, ἀριστολοχίας ἀνὰ δραχ. α ἢ καὶ γ', ὅ καὶ τοῖς ἀνελκώτοις ἐπιτιθέμενον ἰσχύει χρήσιμον εἶναι.

ΕΤΕΡΟΝ Ο ΚΑΙ ΤΑ ΗΛΚΩΜΕΝΑ ΕΠΙΕΙΚΩΣ ΙΑΤΑΙ ΚΑΙ ΤΑ ΑΝΕΛΚΩΤΑ ΣΠΟΥΔΑΙΩΣ ΠΑΡΗΓΟΡΕΙ.

Κηροῦ τυρρηνικοῦ, τερεβινθίνης, στέατος ταυρείου, μυελοῦ ἐλαφείου ἢ μοσχείου προσφάτου, κηκίνου ἐλαίου καὶ ῥοδίνου προσφάτου, στέατος χηνείου προσφάτου, μέλιτος πρωτείου, λιβάνου, διφρυγοῦς, ἑκάστου μέρος α. ὑσσώπου τὸ τριπλοῦν· πραότερον δὲ γίγνεται χωρὶς τοῦ λιβάνου καὶ τοῖς ἕλκεσι χρησιμώτερον,

---

1 καταπλάσμα B. ἢ ἱκεσίου A. 2 πανάκη AB. 6 ἡλκωμένου δὲ κακοήθους B. οἷον θεμήλιον B. 9 λεπτῶν, ἀντὶ, ὀπτῶν B. 11 ἐξενίσας, ἀντὶ, ἐξυμενίσας B. 12 θήᾳ B. ἀκνήστως A. ἀκνήσσως BΓ. ἡμ. διόρ. ἀκνίσσως Ζερβ. 13 κενῶν B. 16 τὲ, ἀντὶ, δὲ A. ἰρείδος Γ. 17 ὁ, ἀντὶ, ὅ B. 18 ἐν τῷ κώδ. B. ὑπάρχει ξένη γραφὴ „πειράσεις" μετὰ τὸ „ἰσχύει" ὅπερ ἀφήρεσ. Ζερβ. 19 ἀνελκᾶ B. ἀνελκῶτα Γ. 21 τυρρηναϊκοῦ A. „τυρηνικοῦ" τὰ λοιπ. κείμ. ἡμ. διόρθ. „τυρρηνικοῦ" Ζερβ. 22 „κηκίνου ἐλαίου καὶ ῥοδίνου προσφάτου" παραλ. B. 23 μέλιτος, πρωτεύοντος B. 23—24 „λιβάνου δ." B. „λιβάνου διφρυγοῦς" τὰ λοιπὰ· ἡμ διόρθ. λιβάνου, διφρυγοῦς. Ζερβ. 24 ἕκαστον Γ.

διαφορητικώτερον δὲ καὶ συμπεπτικώτερον σὺν τῷ λιβάνῳ καὶ τοῖς ἀνελκώτοις ἁρμοδιώτερον· σὺν οἴνῳ δὲ λέαινε τὸ διφρυγὲς ὅταν χωρὶς τοῦ λιβάνου σκευάζῃς, ὅταν δὲ καὶ τὸ λίβανον ἐμβάλλῃς, ξηρὰ τὰ ἀμφότερα κατάπλασσε τοῖς τηκτοῖς τετηκόσιν ἐπ' ἀνθράκων, καὶ οὕτως ἐπιβληθέντος τοῦ μέλιτος χρῶ θαρρῶν.

ΑΛΛΟ ΕΚ ΤΩΝ ΘΕΟΔΩΡΟΥ ΠΡΟΣ ΤΟΝ ΚΑΚΟΗΘΗ.

Σποδοῦ κυπρίας πεπλυμένης καὶ ἐξηραμένης, μολύβδου πεπλυμένου καὶ κεκαυμένου, ῥόδων χυλοῦ ἀνὰ γοδ ἤτοι οὐγ. δ'. ἀναλάμβανε καὶ χρῶ μετὰ ῥοδίνου· τοῦτο παρηγορητικώτατόν ἐστιν· εἰ δὲ πολλὴ καὶ νομώδης εἴη ἡ διάβρωσις, θαυμαστὸν ὅπως δραστικῶς βοηθεῖ, ὡς καὶ πολλάκις ἀπιστηθῆναι ὅτι ἦν κακόηθες· ἀπέδειξε τοῦτο εἰς Ἀδριανόν· οἴνου τουτέστι στύφοντος, εὐώδους, παλαιοῦ ξέστ. κ', βρέχε ῥοὸς βυρσοδεψικοῦ ξέστ ιβ'. κυπαρίσσου σφαιρίου λια'. κηκῖδος ὀμφακίτιδος,[1] κασίας ἀνὰ γοστ ἤτοι οὐγ. στ. τὰ ὅλα θλασθέντα βρέχε ἐπὶ ἡμέρας γ. τῇ δὲ τετάρτῃ ἕψε μέχρι τρὶς ἢ τετράκις ζέσῃ καὶ κίνει σπάθῃ κυπαρισσίνῃ· εἶτα τὰ μὲν ἐκθλιβέντα ῥίπτε, ἕψε δὲ τὸν χυλὸν ἕως μέλιτος σύστασιν λάβῃ, καὶ τότε ἐν ὑελίνῳ ἀγγείῳ ἀποτίθει. Χρῶ δὲ ἀκράτῳ μὲν τῷ φαρμάκῳ ἐπὶ τῶν νεμομένων, οἴνῳ ποτὲ εἰ παχύτερον γένηται ἐνυγραίνων αὐτό, μάλιστα εἰ ἐπὶ γυναικείου κόλπου τοιαύτη διάθεσις προσγένηται, οὐ μὴν ἀλλὰ καὶ τῶν ἄλλων ὀδυνῶν παρηγορητικόν ἐστι, γάλακτι ὀνείῳ ἀνιέμενον· τοῦτο καὶ τὰς ἄλλας νομὰς ἀφλεγμάντως ἰᾶται καὶ ὦτα χρονίως καὶ μυξωδῶς πυορροοῦντα καὶ οὖλα μυδῶντα καὶ δυσεντερίας, καὶ δυσεπούλωτα ἄγει εἰς οὐλὴν μετρίως ἐπιτεινόμενον καὶ μέτρῳ ἀνιέμενον, οὐ γὰρ ἀπειθήσει τὰ ἥμερα τῶν ἑλκῶν ᾧ πείθεται τὰ θηριώδη. Χρὴ δὲ μὴ πρότερον ἄγειν

Ἐκ τῶ Θεοδώρ

Χρῆσι

2 λεαίνε B. 3 „ὅτε" τὰ κείμ. ἡμ. διόρθ. „ὅταν" Ζερβ. 4 καὶ τοῖς A. 6 „ἐκ τοῦ" τὰ κείμ. ἡμ. διόρθ. „ἐκ τῶν" Ζερβ. 7 ἄνευ, ἐξηραμένης A. κεκαυμένου καὶ πεπλυμένου B. 8 ἀντί, οὐγ. ἔχει δραχμ. B. 9 παρηγορητικώτερον B. 11 ἄνευ, ὡς Γ. πολλὰ ὡς καὶ ἀπιστηθῆναι Γ. ὡς καὶ „πολλὰ" τὰ λοιπ. κείμ. ἡμ. διόρθ. ὡς καὶ „πολλάκις" Ζερβ. ἄνευ, ὅτι ἦν κακόηθες B. 12 ἀδριανοῦ οἴνου Γ. 16 κινεῖ B. κυπαρίσσῃ B. 17 ἕψει A. 18 καὶ ἀκράτῳ B. 19 πότε B. οἴνῳ ποτὸν Γ. ἢ παχύτερον B. 20 ἄνευ, εἰ A. 20—21 προσγένοιτο AB. προσγένητο Γ. „προσγένηται" ἡμ. διόρθ. Ζερβ. 21 ἄνευ, ἄλλων AB. 23 μυσαχθῶς A. 24 μηδῶντα B. 26 ἤ, ἀντί, ᾧ B.

[1] Τὸ μὴ ὥριμον ἔτι κηκίδιον. Ζ.

εἰς οὐλὴν τὰ ἕλκη, ἕως ἡ σύμπασα σκληρία διαλυθῇ πὴ μὲν μοτοῖς συμπεπτυκοῖς πὴ δὲ σπληνίοις, οἷά ἐστιν ἡ Σεραπιωνος[1] μηλίνη καὶ ἡ Ἱκεσίου καὶ ἡ πανάκεια.[2] ἐχρησάμην δὲ αὐτός ποτε ἐν τοῖς τῆς ἀνέσεως καιροῖς καὶ τῇ θηριακῇ, ἀνέσας αὐτὴν γάλακτι καὶ ῥοδίνῳ, καὶ δι' ἐρίου μαλακοῦ τῷ ἕλκει προσαγαγὼν καὶ ποτίζων αὐτὴν μετὰ γλυκέος, μεγάλα γὰρ ἐπ' αὐτῶν δύναται καὶ πρὸς τὰ ἰοβόλα ζῷα καὶ πρὸς τὰ δηλητήρια φάρμακα αἱ ἀντίδοτοι·[3] καὶ χρῶ ταύταις καταφρονῶν τῶν χλευαζόντων, ἀπείρων ὄντων τῆς φύσεως τοῦ συμβαίνοντος.

ΠΕΡΙ ΣΚΙΡΡΩΘΕΝΤΟΣ ΜΑΣΤΟΥ, ΛΕΩΝΙΔΟΥ.

ΚΕΦΑΛΑΙΟΝ ΜΘ΄.

Ἐπὶ μὲν τῶν ἄλλων μερῶν τοῦ σώματος ὡς προείρηται, ὁ σκιρρώδης ὄγκος ἀνώδυνός ἐστιν, ἐπὶ δὲ μαστοῦ γίνεται ὀδύνη οὐ διὰ τὴν φύσιν τοῦ πάθους, ἀλλὰ διὰ τὸ βάρος καθελκομένου τοῦ τιτθοῦ. Εἰ μὲν οὖν ὅλος εἴη ἐσκιρρωμένος ὁ μαστὸς, συνημμένου τοῦ σκίρρου τῷ θώρακι καὶ μὴ δυναμένης τῆς ἀπὸ τῶν ὑγιῶν ἐκτομῆς χωρὶς κινδύνου γενέσθαι, οὐ δεῖ ἐγχειρεῖν· ἐὰν δὲ τὸ ἄκρον τοῦ μαστοῦ ἢ καὶ ἕως ἡμισείας ἐσκιρρωμένον ᾖ, δοκιμαζέσθω ὁ ἀκρωτηριασμὸς χωρὶς καύσεως, οὐ γὰρ εὐλαβούμεθα ἐπὶ τοῦ σκίρρου αἱμορραγίαν, ὥσπερ ἐπὶ τοῦ καρκινώματος. μετὰ δὲ τὴν ἀφαίρεσιν διαμότωσις δοκιμάζεται καὶ τὰ ἀκολούθως πρὸς τὴν τῆς ἑλκώσεως ἴασιν.

1 „πῇ" τὰ κείμ. ἡμ. τροπ. „πὴ" Ζερβ. 2 συμπεπτικοῖς Β. σεραπιάδος Β. 5 ποτίζειν Γ. 6 μέγαλα Β. 7 ἄνευ, πρὸς Α. 8 ἀπίρρων Β. 9 φυσέως Β. 10 σκιρωθέντος Α. σκιρροθέντος ΒΓ. ἡμ. διόρθ. „σκιρρωθέντος" Ζερβ. 12 „προείρηται ὡς ὁ" ἄπ. τὰ κείμ. ἡμ. τροποπ. „ὡς προείρηται ὁ" Ζερβ. 13 ἀνώδυνός Β. 15 ἐσκιρωμένος Α. 17 „ὑγειῶν" τὰ κείμ. „ὑγιῶν" ἡμ. διόρθ. Ζερβ. 18 ἐάν ἕως Γ. ᾗ Β. 19 „ἀκροτηριασμός" Β. 21 ἀφαιρέσιν Β. 22 ἰάσινΒ.

[1] Ὁ Σεραπίων κατὰ τὴν β. π. χ. ἑκατονταετηρίδα ἀκμάσας, τῇ ἱερᾷ καλουμένῃ νόσῳ ἐχρήσατο πρὸς θεραπείαν καρδίαις πιθήκων, ὄρχεσι ποικίλων ζῴων, ἐγκεφάλῳ καμήλου, καὶ αἵματι χελώνης. Ζερβ.

[2] Πανάκεια ἐστὶ, κηροῦ γοη. κολωφονίας, τερεβινθίνης ἀνὰ λια. ἀμμωνιακοῦ θυμιάματος γοστ. χαλβάνης, ἐλαίου, ὀποπάνακος, μάννης, ἀνὰ γοα. καὶ οἴνου τὸ ἀρκοῦν. Ζερβός.

[3] Ἀντίδοτοί εἰσι πλεῖσται, ὧν τινας Ἀσκληπιάδης ὁ Βιθυνὸς ἔγραψεν ἔν τινι τοῦ δεκαβίβλου αὐτοῦ· οἷον περὶ ληξιπυρέτων καὶ ληξιφαρμάκων, θηριακὰ πρὸς λυσσοδήκτους καὶ σκορπιοδήκτους καὶ τοὺς ἀπὸ φαλαγγίων δεδηγμένους καὶ ἐχιδνῶν, πρὸς τοὺς τὰ θανάσιμα πεπωκότας, καὶ προφυλακτικὸν θανασίμων φαρμάκων, ἤτοι τοῦ μηδὲν παθεῖν ὧν πίωσιν. Ζερβός.

ΠΕΡΙ ΤΩΝ ΕΠΕΧΟΜΕΝΩΝ ΕΜΜΗΝΩΝ ΕΚ ΤΩΝ ΡΟΥΦΟΥ ΚΑΙ ΑΣΠΑΣΙΑΣ.

ΚΕΦΑΛΑΙΟΝ Ν'.

Τὸ μηδόλως γίνεσθαι τὴν ἐπιμήνιον κάθαρσιν τισὶ τῶν γυναικῶν, ἢ κατὰ φύσιν συμβαίνει ἢ παρὰ φύσιν· καταληψόμεθα δὲ τὰς κατὰ φύσιν ἐχούσας ἐκ τοῦ ἀνενοχλήτως διάγειν τῷ τε ὅλῳ σώματι καὶ τῇ ὑστέρᾳ, τὰς δὲ παρὰ φύσιν οὕτως· δι' ἡλικίαν μὲν οὖν οὐ καθαίρονται αἱ νεώτεραι τῶν ιδ ἐτῶν[1] *καὶ αἱ τῶν πεντήκοντα ἐτῶν πρεσβύτιδες,*[2] *ἀλλὰ καὶ στεῖραι καὶ αἱ ἐν γαστρὶ ἔχουσαι φυσικῶς οὐ καθαίρονται, καὶ φωνασκοὶ δὲ καὶ γυμναστικαὶ φυσικῶς οὐ καθαίρονται, μηδενὸς εἰς κάθαρσιν ἐπ' αὐτῶν περιττεύοντος ἀλλ' ἐξαναλισκομένου ὑπὸ τῶν γυμνασίων· καὶ τὸ σύμπαν εἰπεῖν ταῖς θερμοτέραις τῶν γυναικῶν καὶ ταῖς ὑπὲρ τὸ δέον γυμναζομέναις καὶ ἀγροίκοις, οὐ πάνυ δαψιλεῖς αἱ καθάρσεις γίνονται. ὅταν οὖν διὰ τὴν φυσικὴν κρᾶσιν εἴτε δι' ὑπερβολὴν γυμνασίων πολὺ θερμοτέρα τοῦ δέοντος γένηται ἡ γυνή, οὐ καθαίρεται· ἡ γὰρ ὑπέρμετρος θερμότης ξηραίνει τὰ σώματα, ἀλλὰ καὶ τὸ φύσει θερμὸν σῶμα πρὸς τὰς πέψεις τῶν σιτίων ἄριστα ἔχει, καὶ περιουσίαν οὐδεμίαν ἐγκαταλείπει περιττὴν ἐν τῷ σώματι. τὸ σύμπαν μὲν οὖν αἱ τοιαῦται ἀνδρώδεις εἰσὶ*

4 *μηδ' ὅλως B.* 6 *τῷ δέ, ἀντί, τῷ τε B.* 8 *οὐ μὲν οὖν B. ἄνευ, οὖν Γ. νεωτέραι B.* 9 *ἀντί, πεντήκοντα ἔχει ἀριθμ. διὰ γράμμ. „ν" B.* 12 *θεραπεύονται, ἀντὶ περιττεύοντος Γ.* 13 *ταῖς ἐπὶ τῶν θερμοτέρων Γ.* 15 *κράσις τὰ κείμ. ἡμ. διόρθ. „κρᾶσις" Ζερβ.* 19 *περιττὸν B.* 20 *ἐν τῷ στόματι Γ.*

[1] *Τὰ γὰρ καταμήνια παρέχεται τῇ γυναικὶ πρὸς ὑγίειαν ἐκκενούμενα, ἐπισχεθέντα δὲ διὰ τὴν σύλληψιν, τῷ ἐμβρύῳ τὴν τροφὴν παρέχει· γέγονε γὰρ καὶ πρός σύλληψιν καὶ πρὸς τὴν τοῦ γάλακτος γένεσιν. Γαλ. ὅρ. Ἰατρ.* XIX. 455, 3.

[2] *Τισί δὲ καὶ θᾶσσον ἔτι τῶν ιδ ἐτῶν, τὸ τρισκαιδέκατον καὶ δωδέκατον, τὸ δέκατον, καὶ τὸ ἔννατον ἔτι ἔτος ἐπεφάνη τὸ πρῶτον τὰ ἐπιμήνια· ἱστορεῖται δὲ ὅτι καὶ παρὰ παιδίσκῃ δύο καὶ ἡμίσεως ἐτῶν ἡλικίας, καὶ ὅπερ ἀπίστευτον καὶ παρὰ ἐννεαμήνῳ ἑτέρᾳ, καὶ τριῶν καὶ εἴκοσι μηνῶν ἄλλῃ, ἀνεφάνη τὸ κατ' ἀρχὰς ἡ ἐμμήνιος κάθαρσις, ἄλλαις δὲ πολλῷ τοῦ τεσσαρεσκαιδεκάτου ἔτους βραδύτερον, οἷον τὸ ὀκτωκαιδέκατον, τὸ εἰκοστὸν καὶ εἰκοστὸν πέμπτον καὶ ἕκτον ἔτος καὶ ἔτι πρὸς ἀναφαίνεται ταῦτα. Πρὸς δὲ ἱστορεῖται, ὡς γυναῖκες τελείας ἀπολαύουσαι ὑγείας οὐδόλως παρετήρησαν ἐμμήνιον κάθαρσιν· ἡ φύσις, τὸ κλίμα, αἱ κοινωνικαὶ συνθῆκαι, ἡ ἀνατροφή, ὁ τόπος καὶ τρόπος τῆς ἀναπτύξεως τῆς παιδίσκης, καὶ πλεῖστα ὅσα ἄλλα οὐ σμικρὸν συμβάλλουσιν εἰς τὴν πρώϊμον ἢ τὴν βραδεῖαν τῶν ἐμμηνίων ἐμφάνισιν. Ζερβός.*

καὶ μελαγχρῶτες καὶ μεμνωμέναι καὶ νεύροις σύντονοι, φλεβώδεις, γλουτοῖς καὶ ὀσφύϊ μείονες, στέρνοις καὶ ὤμοις εὐρύτεραι καὶ δασύτεραι· ὅσαι τοιαῦται, ἢ οὐδόλως καθαίρονται ἢ σμικρότατα· Ἕτεραι δὲ αἰτίαι τοῦ μὴ καθαίρεσθαι, πὴ μὲν πιμελώδεστερον τὸ σῶμα ἐστὶ πὴ δὲ ἰσχνότερον. αἱ μὲν οὖν πιμελώδεις ἀναιμότεραι τῶν ἄλλων καὶ σμικρότατα τὰ φλεβία ἔχουσι, καὶ αὐτὸ τὸ ἐνυπάρχον αὐταῖς ὀλίγον αἷμα εἰς τὴν πιμελὴν δαπανᾶται· τεκμήριον δὲ τοῦτο· ὅτι οὐ κυΐσκουσιν αἱ τοιαῦται, καὶ εἰ κυήσειέν ποτε, ἰσχνὰ καὶ ἀσθενῆ τὰ παιδία τίκτουσι· πῶς οὖν ἀνακαθαίρονται, αἷς οὔτε αἷμα ἐπιπολὺ οὔτε μεγάλαι φλέβες; αἱ δὲ ἰσχνότεραι ἐκ νόσων τινῶν πολυχρονίων λεπτυνθεῖσαι δηλονότι, οὐδὲ ὅλως ἔχουσιν αἷμα περιττὸν ἐν τῷ σώματι. ἐπέχεται δὲ ἡ κάθαρσις, καὶ ἐφ' ὧν τὸ αἷμα ἢ παχύτερον ἢ γλισχρότερον γίγνεται ἢ δι' ἑτέρων τόπων φέρεται, οἷον διὰ μυκτήρων ἢ ἕδρας· ἔνιαι δὲ καὶ ἐκ θώρακος πτύσασαι αἷμα οὐκέτι ἐκαθάρθησαν, ἄλλαι δὲ φλεβοτομηθεῖσαι ἄκρως, ἐπεσχέθησαν τὴν ἔμμηνον κάθαρσιν, καὶ ἐκκρίσεις δὲ ἄλλαι γιγνόμεναι, ἐπέχουσι τὰς ἐμμήνους καθάρσεις· οἷον ἱδρώτων πλῆθος, ἔμετοι συνεχεῖς, διάρροιαι πῦον ἐξέλκουσαι δαψιλὲς, καὶ τὰ περὶ τὸ δέρμα ἐξανθήματα πάντα. Ταῦτα γὰρ πάντα ἐμποδὼν γίνεται ταῖς καθάρσεσι, καὶ ὅσα νοσήματα ὀξέα συμβαίνει καὶ μάλιστα τὰ μεγάλα, οὐκ ἐᾷ τὰς ἐπιμηνίων καθάρσεις γίνεσθαι, καὶ τροφαὶ αἵ τε ὀλίγαι καὶ αἱ πλείους κωλύουσιν· ἀπὸ μὲν γὰρ τοῦ ὀλίγου τάχα ἐξέρχεται βραχὺ, τὸ δὲ πολὺ στενοχωρούμενον οὐκ ἰσχύει ἐκκρίνεσθαι, δήλη δὲ ἡ θεραπεία· καὶ γὰρ αἱ διὰ πλῆθος μὴ καθαιρόμεναι φλεβοτομηθεῖσαι, παραχρῆμα καθαίρονται. σιτία δὲ τὰ μὲν παχέα καὶ φλεγματώδη πάντα πολέμια ταῖς καθάρσεσι, τὰ δὲ

3 σμικρόταται Β. 4 μὲν οὖν Α. „πῆ μὲν — — πῆ δὲ" τὰ κείμ. ἡμ. διόρθ. „πὴ μὲν — — πὴ δὲ" Ζερβ. 5 γοῦν Β. ἀναιμώτεραι Β. 6 ἤ, ἀντὶ, καὶ Β. ἔχουσαι Β. 7 ἐνυπάρχειν Β. 8 τούτου Β. κυΐσκουσαι Α. κυήσει Α. κυΐσαιεν Β. κυΐσκονται Γ. ἡμ. διόρθ. „κυήσειεν" Ζερβ. 9 ἂν καθαίρονται ΒΓ. ἀνακαθαίρωνται Α. ἡμ. διόρθ. ἀνακαθαίρονται Ζερβ· 10 τὰ κείμ. ἔχουσ. τελείαν. ἡμ. τροπ. ἐρώτησις. Ζερβ. 13 ταχύτερον Β. 14 γίγνοιτο Γ. φέροιτο Γ. 15 ἐνίαι Β. 16 ἐπεχέθησαν Β. 17 ἔκκρισεις Β. ἔκκρισις Γ. γιγνομέναι Β. 18 ἐμέτοι Β. συνεχῶς Β. διαρροίαν Β. „διάρροιαι, πῦον" τὰ κείμ. ἡμ. διόρθ. διάρροιαι πῦον Ζερβ. 20 ἐμποδῶντα Β. 22 αἵ δε Β. 23 ἀπέλθη ἂν Γ. 24 στενοχωρισμένον Β. 25 δηλή Β. 26 ἄνευ, δὲ ΒΓ. 27 παλαιά, ἀντὶ, παχέα Α. πολεμία Β.

δριμύτερα εὔρουν παρασκευάζει τὸ αἷμα, καὶ οἴνων οἱ παχεῖς καὶ νέοι οὐκ ἐπιτήδειοι καὶ ὑδάτων τὰ ψυχρὰ καὶ σκληρὰ καὶ πόνοι οἱ ὑπὲρ δύναμιν καὶ ἀργεῖαι αἱ μακρότεραι. Ταῦτα μὲν περί τε τὸ πᾶν σῶμα καὶ τὴν δίαιταν ἐπισκέπτεσθαι χρή, περὶ δὲ τὴν ὑστέραν μύσεις τε καὶ διαστροφαὶ τοῦ αὐχένος,[1] σκληρότητες, φλεγμοναί, ἀτροφίαι, παραλύσεις, ψύξεις, διατάσεις καὶ τὰ ἄλλα ὅσα τοιαῦτα παθήματα· προσέτι δὲ καὶ ἐπισκέπτεσθαι ὡς μή τινα ἐμφράττοντα τὸ τῆς ὑστέρας στόμα, κωλύει τὴν τοῦ αἵματος ἔξοδον. καὶ γὰρ πόροι αὐτόθι γινόμενοι ἢ ὑπερσαρκώματά τινα ἢ πιμελὴ πολλή, πολλάκις διεκώλυσαν τὴν κάθαρσιν. τισὶ δὲ ἐξ ἀρχῆς ἐπίφυσις ὑμένος περὶ τὸν τράχηλον τῆς ὑστέρας ἢ τὸ στόμα γέγονεν, ὡς ἐπὶ τῶν ἀτρήτων λεγομένων, ἅς ἀδύνατον καθαρθῆναι εἰ μὴ οἱ ἐμφράττοντες τοὺς τόπους ὑμένες τρηθεῖεν·[2] τισὶ δὲ ἕλκη γενόμενα ἐν ὑστέρᾳ εἶτα ἐπουλωθέντα, ἀπετύφλωσε τὰ στόματα τῶν εἰς τὴν μήτραν κομιζόντων τὸ αἷμα ἀγγείων, αἵτινες καὶ ἀνίατοί εἰσιν· ἔνιαι δὲ καὶ ἐκτρώσασαι ἡλκώθησαν τὸ στόμα τῆς ὑστέρας, καὶ συνουλωθέντων τῶν ἑλκῶν σύμφυσις ἤτοι ἔμφραξις παρηκολούθησεν, ἥτις τάς τε ἄλλας τῆς μήτρας διαπνοίας ἐκώλυσε καὶ τὴν τοῦ αἵματος ἔκκρισιν· ἐπέχεται δὲ τὸ καταμήνιον καὶ διὰ φροντίδα ὑπερβάλλουσαν καὶ διὰ φόβον ἰσχυρὸν καὶ διὰ λύπην μεγίστην. Μὴ καθαιρομένῃ τοίνυν γυναικὶ ὡς εἴθισται, κίνδυνος καὶ αἷμα πτύσαι καὶ ἀπόπληκτον γενέσθαι, παρέπεται γὰρ ταύταις ἐπεχομένων τῶν συνήθων ἐκκρίσεων συμπτώματα χαλεπά, οἷον βάρους αἴσθησις ἐν ὅλῳ τῷ σώματι καὶ ἆσαι καὶ ἀνορεξίαι καὶ ἀνωμαλίαι καὶ φρικώδεις διαδρομαί,

Τίνα σ πτώμα παρέπε ταῖς καθαι μέναι

---

4 *πάν B.* 5 *τὲ A.* 6 *ψύξις A.* *διάτασις A.* 10 *διεκώλυσε B.* 12 *γέγονειν B.* *ἥτις, ἀντὶ, ἅς A.* 13 *βρωθεῖεν, ἀντὶ, τρηθεῖεν Γ.* 16 *ἐνίαι B.* *ἐκτρῶσαι B.* 18 *ἥτις B.* 22 *ἤθισται B.*

---

[1] *Ἢν περισταφέωσιν αἱ μῆτραι, τά τε ἐπιμήνια οὐ γίνεται, καὶ . . . ὀδύνη ἴσχει τὴν νείαιραν γαστέρα καὶ τὰς ἰξύας καὶ τοὺς κενεῶνας, . . . καὶ λούειν τῷ θερμῷ δὶς τῆς ἡμέρας· . . . καὶ ξυνευδέτω τῷ ἀνδρὶ ὡς πυκνότατα, καὶ τὴν κράμβην ἐσθιέτω. Ἱππ.* VII. 386.

[2] *Ταῖς ἀτρήτοις κρυπτομένη ἡ ἐμμήνιος κάθαρσις, ἀναφαίνεται ἔστιν ὅτε ὡς περιοδικὴ ἀπὸ τῶν ῥινῶν ῥύσις, καὶ μόνον μετὰ τὸν γάμον εἰ ἡ τοῦ ὑμένος παρουσία κατάδηλος γένηται, τότε τῷ μαχαιρίῳ διανοίγεται ἡ πρὸς τὴν μήτραν ἄγουσα, ἀνευρισκομένου τοῦ κόλπου πλήρους θρόμβων αἵματος, ἢ τῶν διαφόρων τούτου τμημάτων, ἐπὶ πολλαπλῶν ὑμένων, μεστῶν τοιούτων. Ζερβός.*

συνεδρεύουσί τε ὀδύναι κατ' ὀσφὺν καὶ μηροὺς καὶ τράχηλον καὶ βρέγμα καὶ κατὰ τὰς τῶν ὀφθαλμῶν βάσεις, πυρετοὶ συνεχεῖς καὶ οὖρα μελαινόμενα μετ' ἐρυθροῦ τινὸς ἰχῶρος, καὶ δυσουριῶσι καὶ ἰσχουριῶσιν· ἔνιαι δὲ αὐτῶν καὶ εἰς μελαγχολίαν ἢ μανίαν ἐνέπεσον.[1]

ΘΕΡΑΠΕΙΑ ΤΩΝ ΔΙΑ ΠΛΕΙΣΤΗΝ ΘΕΡΜΟΤΗΤΑ ΜΗ ΚΑΘΑΙΡΟΜΕΝΩΝ, ΕΚ ΤΩΝ ΡΟΥΦΟΥ.

ΚΕΦΑΛΑΙΟΝ ΝΑ'.

Ὀρθότερον μὲν οὖν πρὸς ἅπασαν τὴν ὑγείαν πᾶσαν ἐξευρεῖν δίαιταν, ὑφ' ἧς ξηραινόμενον τὸ σῶμα τῆς γυναικὸς ἔσται πρὸς τὸ μὴ δεῖσθαι τῆς καταμηνίου καθάρσεως, ἀλλὰ εἰς τὴν κύησιν οὐδαμῶς τοῦτο συμφέρον, αἱ γὰρ μὴ καθαιρόμεναι οὐδὲ κυΐσκουσι· διά τε οὖν τὴν κύησιν καὶ ὅτι αἱ πλείους ἀταλαιπώρως διαιτώμεναι καθαίρεσθαι χρήζουσι, δίκαιον καὶ θεραπείας γράψαι πάσῃ γυναικὶ μὴ καθαιρομένῃ. Τὰς μὲν οὖν θερμοτέρας τὴν φύσιν, τῶν τε πολλῶν πόνων ὑπανιέναι προσήκει, ὑγραίνοντας τὸ σῶμα κατὰ τὸ δυνατόν· λουτρὰ μὲν οὖν εὔκρατα ἐν ὕδασι γλυκέσι ταῖς οὕτω διακειμέναις ἐπιτηδειότατα, σιτία δὲ καὶ ποτὰ δαψιλέστερά τε καὶ ὑγρότερα, οἷον ῥοφήματα διὰ πτισάνης καὶ χόνδρου καὶ διὰ γάλακτος σκευαζόμενα, λαχάνων δὲ θριδακίνη, κολοκύνθη καὶ τὰ ὅμοια, κρέα δὲ ἀρνῶν καὶ ἐρίφων καὶ τῶν μικρῶν χοίρων καὶ τὰ ἥμερα μᾶλλον καὶ τὰ θήλεα· ἰχθύες δὲ οἱ ἁπαλόσαρκοι πάντες καὶ ὀρνίθων τὰ ἥμερα· ὀπῶραι, σῦκα χλωρὰ καὶ σταφυλὴ πεπεμμένη καὶ πέπονες καὶ σίκυοι· ποτὸν οἶνος λεπτὸς, λευκὸς, μὴ ἄγαν παλαιὸς, κρᾶσις ὑδαρεστέρα.

1 „συνεδρεύουσαι" ἅπαντ. τὰ κείμ. ἡμ. τροποπ. „συνεδρεύουσί τε" Ζερβ. μήρους Β. 9 „ἦν" ἀντὶ οὖν ΑΒ. πᾶσιν Β. 10 διαίταν Β. „τῇ γυναικὶ" ἅπαντ. τὰ κείμ. ἡμ. διόρθ. „τῆς γυναικὸς" Ζερβ. ἄνευ, ἔσται Β. 12 κυΐσκονται Γ. 13 κυήσιν Β. 15 ἄνευ, πάσῃ Β. 16 ὑγραίνοντες Γ. 18 διακρατουμέναις Γ. 19 „πτισσάνης" τὰ κείμ. ἡμ διόρθ. „πτισάνης" Ζερβ. 21 κολοκύντη ΑΓ. 24 χλῶρα Β. σίκυιοι Γ. 25 ἄνευ, λεπτὸς Β. ἄνευ, μή ἄγαν παλαιὸς Γ.

[1] Ἑτέραις δὲ ἐπεχομένων τῶν συνήθων ἐκκρίσεων, πόνοι ἀναφαίνονται τοῖς ἄκροις καὶ ἐρυθήματα, τὸ δὲ σῶμα αὐτῶν τέλεον ἀλλοιοῦται ἀνδρικὴν λαμβάνον μορφὴν, δασύνεται ἡ τρίχωσις, ἀναφαίνεται πώγων, ἡ φωνὴ τραχύνεται ἐπὶ τὸ τελείως ἀνδρικὸν, ὁ ὀργανισμὸς καθόλου ἀνδροῦται, ὅπως μετὰ σμικρὸν καταπέσῃ εἴτε τὰ ἐμμήνια ἐπανῆλθε εἴτε καὶ μή. Ζερβός.

ΔΙΑΓΝΩΣΙΣ ΤΩΝ ΨΥΧΡΟΤΕΡΩΝ ΕΞΕΩΝ ΚΑΙ ΘΕΡΑΠΕΙΑ.

ΚΕΦΑΛΑΙΟΝ ΝΒ΄.

Τὰς δὲ ψυχροτέρας ἕξεις διαγνωσόμεθα ἔκ τε τῶν προρρηθέντων καὶ ἐκ τούτων· ὑπνωδέστεραι εἰσὶ καὶ ὀκνηραὶ πρὸς πᾶσαν κίνησιν, χρόᾳ λευκότεραι ἢ μαλακώτεραι ἢ μολυβδώδεις, τὰ φλεβία ὑπομελανοῦντα, οὖρα ὑδατώδη, ἀποχρέμψεις συνεχεῖς φλέγματος, ἐνίοτε καὶ ἔμετος φλεγματωδῶν χυμῶν. ὑπεναντίως δὲ ταῖς θερμαῖς ταύτας θεραπεύσεις· καὶ γὰρ ταλαιπωρίας πλείονας προστάξεις καὶ τῶν βρωμάτων τὰ θερμότερα, οἶνον κιρρὸν, εὐώδη, παλαιὸν, τῶν μὴ παντάπασι γλυκέων, ὠφέλιμος δὲ καὶ ταύταις ὁ τεθαλασσωμένος οἶνος· φάρμακα δὲ αὐταῖς ἐπιτήδεια συντόμως μὲν εἰπεῖν, ἃ τῇ θερμότητι διαλύειν δύναται τὸ αἷμα· ταῦτα δέ ἐστι γλήχωνος ἀφέψημα, θύμου, καλαμίνθης, δικτάμνου, ἀβροτόνου, ἴρεως, ἀσφοδέλου ῥίζης, μορέας τοῦ φλοιοῦ, τῆς ῥίζης λινοζώστεως, κασίας, καρπησίας, σχίνου ἄνθους, ναρδοστάχυος καὶ τῆς κελτικῆς ἀκόρου, μήου,[1] φοῦ,[2] βράθυος, ἀσάρου καὶ τῶν παραπλησίων. τούτων γὰρ ἕκαστον μετ' οἴνου λευκοῦ παλαιοῦ ἑψούμενον ἐπὶ πολὺ, καὶ πινομένου τοῦ οἴνου ἀκράτου θερμοῦ νήστει ἀπὸ βαλανείου, ἄγει τὰς ἐπιμηνίους καθάρσεις ἐπὶ τῶν ψυχροτέρων ἕξεων· καλῶς δὲ ποιεῖ καὶ ὁ κυρηναῖος ὀπὸς ὅσον ὄροβος καταπινόμενος, καὶ ὀποπάνακος γοα ἤτοι οὐγ. α. καὶ τοῦ σαγαπηνοῦ ὁμοίως, καὶ σμύρνα κυάμου μέγεθος, καὶ καστορίου δραχ. α. καὶ τῶν συνήθων ἡμῖν σπερμάτων, μαράθρου, κυμίνου,

Διάγνω

Θεραπ.

---

3 *γνωσόμεθα Β.* 4 *ὑπνοδέστεροι τὰ κείμ. ἡμ. διόρθ. „ὑπνωδέστεραι“ Ζερβ.* 5 *λευκοτέρα κλπ. ἑνικ. ὀνομ. Α.* 11 *ὅ τε θαλασσομένος Γ. τότε θαλασσομένος Β.* 12 *ἄνευ, μὲν ΒΓ.* 14 *μυρίας, ἀντὶ, μορέας Β. φλοιοῦ τῆς ῥίζης, λινοζώστεως ΑΒ.* 15 *καρπασίας Β. σχοίνου Β.* 16 *μίου Α.* 18 *γινομένου, ἀντὶ, πινομένου Β.* 20 *κράσεων, ἀντὶ, ἕξεων Α.* 21 *καταπινόμενα Β.* 22 *σμύρνης Α.*

---

[1] *Φυτὸν ἔχον ἀνήθου φύλλα, καὶ τὴν ῥίζαν εὐωδεστάτην. Διοσκ.* I. 3.

[2] *Πιθανῶς τὸ τῆς κελτικῆς νάρδου προϊὸν, τῆς ἄλλως τε* **Valeriana Celtica** *ἢ* **Valeriana tuberosa** *καλουμένης, ἢ τὸ τῆς γνησίας νάρδου λατιν.* **Nardus Linnaei.** *Ζερβ.*

σελίνου σπέρματος, σίου, πετροσελίνου, δαύκου,[1] ἄμμεως[2] καὶ ἐρεβίνθων ἀφέψημα· ἔστι δὲ καὶ τοῦτο κάλλιστον καὶ ὀξύτατον· γλήχωνος, ἀρτεμισίας, πηγάνου, ἐλελισφάκου, ἀνήθου ἀνὰ δεσμίδιον μικρὸν· πεπέρεως κόκκους κ. ὕδατος ξέστ. β. θλάσας τὸ πέπερι καὶ βαλὼν σὺν ταῖς βοτάναις, βρέχε ὅλην νύκτα· ἕωθεν δὲ ἑψήσας ἕως ἡμίσεως καὶ διηθήσας, ἐπίβαλλε μέλιτος καλοῦ τὸ ἀρκοῦν καὶ δίδου νήστει κυάθους β. καὶ κέλευε ἡσυχῇ βαδίζειν καὶ αἰωρεῖσθαι διὰ φορείου· καιροὶ δὲ ἐπιτήδειοι τῶν τοιούτων φαρμάκων εἰσὶν, εἷς μὲν ἐγγίζοντος τοῦ καιροῦ τῆς καθάρσεως, ἕτερος δὲ ἀλειψαμένην ἢ πυριασθεῖσαν ἢ λουσαμένην πίνειν αὐτίκα, ὡς ἂν θερμῷ καὶ διακεχυμένῳ τῷ σώματι ἐν τάχει τὸ φάρμακον τὴν αὐτοῦ ἐνέργειαν ἐνδείξηται. Τῶν μὲν οὖν τοιούτων φαρμάκων καὶ πάνυ πολλὴ εὐπορία τῷ βουλομένῳ πάντα συγγράφειν, ἀλλ' ἐξαρκεῖ καὶ τὰ εἰρημένα· εἰ δὲ ἐπὶ μηδενὶ τούτων ἔλθῃ ἡ κάθαρσις, ἑτέρου τρόπου δεῖ καὶ μείζονος. Ἐγὼ οὖν τούτοις χρησάμενος καὶ μὴ εὐτυχήσας τῆς ῥύσεως, ἐκέλευσα καθαρτήριον κατωτερικὸν πιεῖν φάρμακον τὴν γυναῖκα, ἡ δὲ ἔπιεν μὲν εὐφόρβιον μετὰ πετροσελίνου, οὐ πολὺ δὲ ὕστερον τῆς διὰ γαστρὸς καθάρσεως καὶ ἡ τῶν καταμηνίων ἔκκρισις ἐπηκολούθησεν.[3] Εἰ δὲ μελαγχολικώτερον εἴη τὸ πλεονάζον, δίδου ἐπιθύμου γράμματα ε, μετ' ὀξυμέλιτος κεκραμένου κοτύλης μιᾶς, ἅλας ὀλίγον ἐμβάλλων· τῆς γὰρ ὑποστάθμης καθαρθείσης τοῦ αἵματος

1 ἄμεος Β. 3 γλυχῶνος Β. γλύχωνος τὰ λοιπ. κείμ.ἠμ. διόρθ. γλήχωνος Ζερβ. 6 ἥμισυ ΑΒ. 7 κυαθοὺς Β. 8 αἰορεῖσθαι διαφορείου Γ. 9 εἰσιν ΒΓ. εἰς μὲν ΒΓ. 11 ὡσάν Α. 12 αὐτοῦ ΑΒ. 13 εὐκαιρία Β. 14 εἰ γὰρ Α. μηδὲν τῶν τοιούτων Β. 15 ἕλκει ΒΓ. 17 ποιεῖν, ἀντὶ, πιεῖν Β. 18 πετροσελίνοις Β. 19—20 ἐπικολούθησεν. 21 γράμματος Β. 22 ὀλίγους Β.

[1] Οἱ δὲ καὶ δαύκιον καλοῦσι . . . πινόμενον (τὸ σπέρμα) ἐμμήνων, ἐμβρύων καὶ οὔρων ἀγωγόν. Διοσκ. Ι. 420. περ. ὕλ. Ἰατρ.

[2] Οἱ δὲ καὶ βασιλικὸν κύμινον καλοῦσι, . . . ἄγει καὶ ἔμμηνα. Διοσκ. περ. ὕλ. Ἰατρ. β. 3ον Ι. 409.

[3] Γνωστὴ τυγχάνει ἡ κατὰ συμπάθειαν ἀμηνόρροια, ἐν ᾗ βιαία ἠθικὴ διέγερσις, χαρὰ ἢ λύπη, φόβος ἢ ὀργὴ, κλπ. ἐπιφέρει τὴν ἄνευ ἑτέρας τινὸς αἰτίας παῦσιν τῶν ἐμμήνων· ἀλλὰ καὶ ψῦξις καὶ κώλυσις περὶ τὴν ἄδηλον διαπνοὴν ἐπιφέρουσιν ἀμηνόρροιαν, παρερχομένην τῇ χρήσει ἁπλοῦ καθαρτικοῦ, ὁπότε τῇ τῆς γαστρὸς καθάρσει ἡ τῶν καταμηνίων ἔκκρισις ἀκολουθεῖ. Ζερβός.

καλῶς, εὔρουν γίνεται τὸ αἷμα· πολλὰς δὲ τῶν οὕτως ἐχουσῶν καὶ ἔμετος ὠφέλησεν· ἐμείτωσαν δὲ πίνουσαι θύμου ἀφέψημα ἢ ὀριγάνου[1] ἢ ὑσσώπου, μετὰ δὲ τὸν ἔμετον πίνειν χρὴ ἀπόβρεγμα κενταυρίου[2] ἢ ἀψινθίου. δεῖ δὲ καὶ αὐτὴν τὴν ὑστέραν προσθέτοις ἐρεθίζειν, ἵνα διὰ μὲν τῆς διαίτης λεπτὸν καὶ θερμὸν τὸ αἷμα ἀπεργασθῇ, ὑπὸ δὲ τῶν προσθέτων ἐρεθίζηται πρὸς ἔκκρισιν· τούτων δὲ τὰ μὲν ἰσχυρότερα φυλάττεσθαι, οἷα ἐστὶ τὰ δι᾽ ἐλατηρίου καὶ κανθαρίδων καὶ κυκλαμίνου[3] καὶ βοείας χολῆς καὶ ἐλλεβόρου,[4] κίνδυνος γὰρ ὑπὸ ἰσχύος τῶν τοιούτων φαρμάκων, καὶ φλεγμονὰς καὶ ἕλκη καὶ πυρετοὺς ἐπιγίνεσθαι.

ΠΕΣΣΟΙ ΑΙΜΑΓΩΓΟΙ.

ΚΕΦΑΛΑΙΟΝ ΝΓʹ.

Τὰ πραότερα οὖν προστιθέναι δεῖ· πήγανον ἢ δαφνίδας ἢ ἀρτεμισίαν, κόνυζαν τὴν λεπτόφυλλον, γλήχωνα, λινόζωστιν, τούτων ἕκαστον μετὰ ἰρίνου μύρου προστιθέσθω· εἰ δὲ ἰσχυροτέρων δέοι, ἀγαθὰ τὰ τοιαῦτα· σμύρνης δραχ. α, στυπτηρίας σχιστῆς δραχ. βʹ, λεῖα ἐν οἴνῳ καὶ ῥοδίνῳ προστιθέσθωσαν· ἀγαθὸν δὲ καὶ τερεβινθίνη μετὰ σμύρνης καὶ κρόκου καὶ μέλιτος. τοῦτο δὲ ἐστὶν ἰσχυρότερον· πελεκίνου[5] σπέρμα μετὰ σμύρνης καὶ μέλιτος, βδέλλιον ἢ χαλβάνη ἢ στύραξ μετὰ ἀψινθίου καὶ

5 θερμὸν γίνεται Γ. 6 ἐρεθιζόντων Β. ἐρεθίζονται ΑΓ. ἡμετ. διόρθ. „ἐρεθίζηται" Ζερβ. 8 κυκλαμίνων Β. 13 πρότερα Β. δαφνίδα ΒΓ. 14 ἀρτεμισίας Β. γληχῶνα Β. λινοζῶστιν τὰ κείμ. ἡμ. διόρθ. „λινόζωστιν" Ζερβ. 15 ἰσχυρότερον Γ. 20 „μέλιτος κλπ." μέχρις „ἀφεψήματος" παραλ. Α.

[1] Ὀρίγανον ... ἔμμηνά τε κινεῖ καὶ βῆχας θεραπεύει. Διοσκ. περ. ὕλ. ἰατρ. I. 3, 374.

[2] Τὸ μικρὸν κενταύριον οὐ σπανίως καὶ λεπτὸν καλεῖται διὰ τὴν λεπτότητα τῶν φύλλων βεβαίως. Ζερβ.

[3] Κυκλάμινον ἣν ἔνιοι κισσάνθεμον ἢ κισσόφυλλον καλοῦσι, ἔμμηνα τήκει δι᾽ οὔρων καὶ κοιλίας δαπανώμενα. Διοσκ. I. 306.

[4] Ιητήριον, πυρὶ ἴκελον ἐς δύναμιν λευκὸς ἐλλέβορος, φασὶν οἱ ἀρχαῖοι· καὶ ὅ,τι περ πῦρ ἐργάζεται ἐκκαῖον, τοῦδε πλέον ἐλλέβορος ἔσω παρεκθέων πράττει, εὔπνοιαν μὲν ἐκ δυσπνοίας, ἐξ ἀχροίης δὲ εὐχροίην, καὶ ἀπὸ σκελετίης εὐσαρκίην. Ζερβ.

[5] Πελκῖνος λατ. securidata καὶ securiclata πιθανῶς ἐκ τοῦ securis. πέλεκυς. Ζερβ.

θέρμων[1] ἀφεψήματος, ἰσχάδας λιπαρὰς καθαρὰς τῶν κεγχραμίδων[2] λεάνας μετὰ λιβάνου κυάμου μέγεθος καὶ νίτρου τὸ ἴσον, προστιθέσθω· καὶ ἐγχυματιστέον δὲ τὴν ὑστέραν τινὶ τῶν θερμαίνειν δυναμένων μύρων, οἷον σουσίνῳ, κυπρίνῳ, ἰρίνῳ, σαμψυχίνῳ, δαφνίνῳ, ἀμαρακίνῳ, ναρκησσίνῳ· ὑποθυμιᾶν δὲ συνεχῶς στύρακα μετὰ λιβάνου καὶ χαλβάνης, καλῶς δὲ ποιεῖ καὶ ὁ γαγάτης λίθος.

Δοκιμώτατον ὑποθυμίαμα. Δοκιμώτατον ὑποθυμίαμα καὶ τοῦτο· ἀριστολοχίας ῥίζης, ῥητίνης ξηρᾶς, σανδαράχης, ἀτρακτυλίδος βοτάνης, κόπρου γυπὸς, βδελλίου, βράθυος, καρδαμώμου, ἀρτεμισίας ἀνὰ δραχ. α. ὀστέων ἰχθύων ταρίχων λειοτάτων, μελανθίου,[3] στύρακος ἀνὰ δραχ. δ. ἀναλάμβανε τροχίσκους μεθ᾽ ὕδατος ἀνὰ γοα ἤτοι οὐγ. α. ἐπὶ δὲ τῆς χρείας ὑποθυμία πρωΐ καὶ ἑσπέρας ἐπὶ βολβίτων. μᾶλλον δὲ δεῖ καὶ πυριᾶν τὴν ὑστέραν ταῖς εὐώδεσι πυρίαις. ἑψοῦντα ἐν ὕδατι ἀμαράκου, ἑρπύλου, γλήχωνος, καλάμου, κυπέρου, ἴρεως, χαμαιμήλου, κόστου, ἀνίσου καὶ τῶν ὁμοίων· πυριᾶν

Πυρίαι. δὲ οὕτως· πωμάζειν χρὴ τὴν χύτραν πώματι τρῆμα ἔχοντι, καὶ τῷ τρήματι προσαρμόζειν κάλαμον καὶ χρίειν πάντοθεν, ἔπειτα προσκαθίσασα ἐπὶ δίφρου ἡ γυνὴ πυριάσθω διὰ τοῦ ὑποκειμένου

Τρόποι πυρίας. καλάμου· ἕτερος δὲ τρόπος πυρίας ἐστὶ τὸ ἐγκαθίσαι αὐτὰς εἰς τὰ προειρημένα ἀφεψήματα μέχρις ὀμφαλοῦ, καὶ μετὰ ταῦτα ἀπονιψαμένη ὕδατι γλυκεῖ θερμῷ, τοῖς προειρημένοις προσθέτοις χρῆσθαι. κάλλιστον δὲ πρόσθετον καὶ τοῦτο αἱμαγωγόν· καρποβαλσάμου, καρυοφύλλου, ἐλαίου ἀμαρακίνου ἢ σουσίνου ἀνὰ δραχ. α. ἀσταφίδων λιπαρῶν ἀνακεκαθαρμένων, νικολάων[4] φοινίκων κεκαθαρμένων δώδεκα τῶν σαρκῶν, ἁλὸς κοινοῦ γοιστ

---

6 λιβάνου χαλβάνης (ἄνευ καὶ) Β. 8 ῥητίνης, ξηρᾶς ἅπαντ. τὰ κείμ. ἡμετ. διόρθ. „ῥητίνης ξηρᾶς" Ζερβ. ἀτρακτιλίδος Β. 10 ταριχίνων Β. „ταριχηρῶν" τὰ λοιπ. κείμ. ἡμ. τροποπ. „ταρίχων" Ζερβ. 12 καὶ ἐπὶ δὲ Β. 14 κυπέρεως χαμαιμήλου Β. 19 πυρία Β. 23 καρυοφύλλων Β. 24 ἄνευ, νικολάων Β. 25 ἄνευ, δώδεκα Β. σάρκας Γ.

---

[1] Θέρμος τὰ κοινῶς λούπινα καλούμενα, λατ. Lupinus καὶ um. Ζερ.

[2] Τὰ κοκκία τῶν σύκων, τὰ ἐν αὐτοῖς εὑρισκόμενα σμικρὰ σπερμάτια. Ζερ.

[3] Οἱ δὲ κατὰ Δ. καὶ μήκωνα ἄγριον μέλανα καλοῦσι τὸ μελάνθιον· ἔμμηνα καὶ οὖρα καὶ γάλα ἄγει· I. 431 κοινῶς μαυροκούκκιον, μελάνσπερμον παρὰ Θεοφράστῳ. Λατ. nigella ὡς ἐκ τῆς μελαίνης χροιᾶς καλούμενον Ζερ.

[4] Εἶδος φοινίκων οὕτω κληθέντων ἐκ Νικολάου τοῦ ἐκ Δαμασκοῦ. Ζερ.

ἤτοι οὐγ. ιστ. μέλιτος κοχλιάρια δ. ἀναλαβὼν χρῶ μετὰ λουτρὸν ἢ πυρίαν· πυριᾶν δὲ χρὴ καὶ τοῖς καταπλάσμασιν, ἐμπλάσσοντας ταῖς ὠμαῖς λύσεσιν ἀρτεμισίαν, ἀμάρακον, ἶριν ἢ ἕτερόν τι τῶν προρρηθέντων, τὸ δὲ ὑγρὸν τῶν καταπλασμάτων ἔστω οἶνος εὐώδης καὶ μέλι καὶ ἀμαράκινον ἢ ἴρινον ἢ ἀνήθινον μύρον. Τῶν δὲ καταπλασμάτων ἀρθέντων, ἔριον καθαρὸν βεβρεγμένον τινὶ τῶν εἰρημένων μύρων θερμῷ ἐπιτιθέσθω ἄνωθεν, ἀγαθὸν δὲ καὶ βδέλλιον μετὰ στύρακος καὶ λιβάνου λειώσαντα μετ' οἴνου καὶ μύρου τινὸς τῶν εἰρημένων, ἐπιχρίειν τῷ ὑπογαστρίῳ ὅλῳ καὶ τῇ ὀσφύϊ.

ΕΠΙΘΕΜΑ ΑΙΜΑΓΩΓΟΝ ΕΠΙΤΗΔΕΙΟΝ ΚΑΙ ΤΟΥΤΟ.

Ἐλατηρίου, σμύρνης, χαλβάνης, κριθίνου ἀλεύρου ἀνὰ δραχ. δ. πηγάνου φύλλων χρωρῶν δραχ. β. χολῆς ταυρείας τὸ ἀρκοῦν· ἕκαστον ἰδίᾳ λειότατον ποιήσας καὶ ἑνώσας ἐπιχέων τῆς χολῆς ὅσον ἐξαρκεῖ, ἀναλάμβανε· ἐπὶ δὲ τῆς χρείας ἐπίχριε τῷ ὑπογαστρίῳ καὶ τῇ ὀσφύϊ, κατάγει γὰρ τὰ ἔμμηνα καὶ τὰς αἱμορροΐδας ἐν ἕδρᾳ κινεῖ. Χρῶ δὲ καὶ τοῖς ὁμοίοις ἐπιθέμασι τοῖς προγεγραμμένοις ἐν τῷ τρίτῳ λόγῳ.

ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ ΑΓΩΓΟΝ ΚΑΤΑΜΗΝΙΩΝ.

ΚΕΦΑΛΑΙΟΝ ΝΔ΄.

Καρκίνον ποτάμιον ζῶντα βαλὼν εἰς οἶνον καὶ πνιγέντα ἐν αὐτῷ, εἶτα λαβὼν τὸν οἶνον καὶ θερμάνας, δίδου πίνειν ἄκρατον ὡς κρᾶσιν τελείαν· καὶ ὅταν δόξῃ σοι ἱκανῶς καθαρθῆναι, δίδου τῇ γυναικὶ φαγεῖν αὐτὸν τὸν καρκίνον ὃν ἔπνιξας.

ΥΠΟΘΕΤΟΝ ΑΓΟΝ ΑΙΜΑ ΩΣΤΕ ΘΑΥΜΑΣΑΙ, ΠΟΙΕΙ ΚΑΙ ΕΠΙ ΤΩΝ ΥΣΤΕΡΙΚΩΝ ΠΝΙΓΩΝ ΧΡΟΝΙΖΟΥΣΩΝ ΜΑΛΙΣΤΑ.

Χολῆς ταυρείας, ἀψινθίου χυλοῦ ἢ αὐτῆς τῆς κόμης, στρουθίου ῥίζης, σμύρνης ἀνὰ δραχ. δ. καστορίου, ὀποβαλσάμου ἀνὰ δραχ. α. κυκλαμίνου χυλοῦ δραχ. ι. ἀναλαβὼν χυλῷ ἀρτεμισίας,

1 κοχλιάριον B. 5 ἰρίνον B. μῦρον BΓ. 7 „μύρῳ" ἅπαντ. τὰ κείμ. „μύρων" ἡμετ. διόρθ. Ζερβ. 11 ἐπιθέμα B. 12 ἄνευ, χαλβάνης B. 13 πηγάνου, φύλλων A. 21 πνιγέντος Γ. 25 ὑποθετέον B. „ὑποθετόν" τὰ λοιπ. κείμ. ἡμ. διόρθ. „ὑπόθετον" Ζερβ. 26 „πνιγμῶν" ἅπαντ. τὰ κείμ. ἡμ. διόρθ. „πνιγῶν" Ζερβ. 27 στροθίου τὰ κείμ. ἡμ. διόρθ. „στρουθίου" Ζερβ.

θέρμων[1] ἀφεψήματος, ἰσχάδας λιπαρὰς καθαρὰς τῶν κεγχραμίδων[2] λεάνας μετὰ λιβάνου κυάμου μέγεθος καὶ νίτρου τὸ ἴσον, προστιθέσθω· καὶ ἐγχυματιστέον δὲ τὴν ὑστέραν τινὶ τῶν θερμαίνειν δυναμένων μύρων, οἷον σουσίνῳ, κυπρίνῳ, ἰρίνῳ, σαμψυχίνῳ, δαφνίνῳ, ἀμαρακίνῳ, ναρκησσίνῳ· ὑποθυμιᾶν δὲ συνεχῶς στύρακα μετὰ λιβάνου καὶ χαλβάνης, καλῶς δὲ ποιεῖ καὶ ὁ γαγάτης λίθος. Δοκιμώτατον ὑποθυμίαμα καὶ τοῦτο· ἀριστολοχίας ῥίζης, ῥητίνης ξηρᾶς, σανδαράχης, ἀτρακτυλίδος βοτάνης, κόπρου γυπὸς, βδελλίου, βράθυος, καρδαμώμου, ἀρτεμισίας ἀνὰ δραχ. α. ὀστέων ἰχθύων ταρίχων λειοτάτων, μελανθίου,[3] στύρακος ἀνὰ δραχ. δ. ἀναλάμβανε τροχίσκους μεθ' ὕδατος ἀνὰ γοα ἤτοι οὐγ. α. ἐπὶ δὲ τῆς χρείας ὑποθυμία πρωῒ καὶ ἑσπέρας ἐπὶ βολβίτων. μᾶλλον δὲ δεῖ καὶ πυριᾶν τὴν ὑστέραν ταῖς εὐώδεσι πυρίαις. ἑψοῦντα ἐν ὕδατι ἀμαράκου, ἑρπύλου, γλήχωνος, καλάμου, κυπέρου, ἴρεως, χαμαιμήλου, κόστου, ἀνίσου καὶ τῶν ὁμοίων· πυριᾶν δὲ οὕτως· πωμάζειν χρὴ τὴν χύτραν πώματι τρῆμα ἔχοντι, καὶ τῷ τρήματι προσαρμόζειν κάλαμον καὶ χρίειν πάντοθεν, ἔπειτα προσκαθίσασα ἐπὶ δίφρου ἡ γυνὴ πυριάσθω διὰ τοῦ ὑποκειμένου καλάμου· ἕτερος δὲ τρόπος πυρίας ἐστὶ τὸ ἐγκαθίσαι αὐτὰς εἰς τὰ προειρημένα ἀφεψήματα μέχρις ὀμφαλοῦ, καὶ μετὰ ταῦτα ἀπονιψαμένη ὕδατι γλυκεῖ θερμῷ, τοῖς προειρημένοις προσθέτοις χρῆσθαι. κάλλιστον δὲ πρόσθετον καὶ τοῦτο αἱμαγωγόν· καρποβαλσάμου, καρυοφύλλου, ἐλαίου ἀμαρακίνου ἢ σουσίνου ἀνὰ δραχ. α. ἀσταφίδων λιπαρῶν ἀνακεκαθαρμένων, νικολάων[4] φοινίκων κεκαθαρμένων δώδεκα τῶν σαρκῶν, ἁλὸς κοινοῦ γοιστ

Δοκιμώτατον ὑποθυμίαμα.

Πυρίαι.

Τρόποι πυρίας.

---

6 λιβάνου χαλβάνης (ἄνευ καὶ) B. 8 ῥητίνης, ξηρᾶς ἅπαντ. τὰ κείμ. ἡμετ. διόρθ. „ῥητίνης ξηρᾶς" Ζερβ. ἀτρακτιλίδος B. 10 ταριχίνων B. „ταριχηρῶν" τὰ λοιπ. κείμ. ἡμ. τροποπ. „ταρίχων" Ζερβ. 12 καὶ ἐπὶ δὲ B. 14 κυπέρεως χαμαιμήλου B. 19 πυρία B. 23 καρυοφύλλων B. 24 ἄνευ, νικολάων B. 25 ἄνευ, δώδεκα B. σάρκας Γ.

---

[1] Θέρμος τὰ κοινῶς λούπινα καλούμενα, λατ. Lupinus καὶ um. Ζερ.

[2] Τὰ κοκκία τῶν σύκων, τὰ ἐν αὐτοῖς εὑρισκόμενα σμικρὰ σπερμάτια. Ζερ.

[3] Οἱ δὲ κατὰ Δ. καὶ μήκωνα ἄγριον μέλανα καλοῦσι τὸ μελάνθιον· ἔμμηνα καὶ οὖρα καὶ γάλα ἄγει· I. 431 κοινῶς μαυροκούκκιον, μελάνσπερμον παρὰ Θεοφράστῳ. Λατ. nigella ὡς ἐκ τῆς μελαίνης χροιᾶς καλούμενον Ζερ.

[4] Εἶδος φοινίκων οὕτω κληθέντων ἐκ Νικολάου τοῦ ἐκ Δαμασκοῦ. Ζερ.

ἤτοι οὐγ. ιστ. μέλιτος κοχλιάρια δ. ἀναλαβὼν χρῶ μετὰ λουτρὸν ἢ πυρίαν· πυριᾶν δὲ χρὴ καὶ τοῖς καταπλάσμασιν, ἐμπλάσσοντας ταῖς ὠμαῖς λύσεσιν ἀρτεμισίαν, ἀμάρακον, ἶριν ἢ ἕτερόν τι τῶν προρρηθέντων, τὸ δὲ ὑγρὸν τῶν καταπλασμάτων ἔστω οἶνος εὐώδης καὶ μέλι καὶ ἀμαράκινον ἢ ἴρινον ἢ ἀνήθινον μύρον. Τῶν δὲ καταπλασμάτων ἀρθέντων, ἔριον καθαρὸν βεβρεγμένον τινὶ τῶν εἰρημένων μύρων θερμῷ ἐπιτιθέσθω ἄνωθεν, ἀγαθὸν δὲ καὶ βδέλλιον μετὰ στύρακος καὶ λιβάνου λειώσαντα μετ' οἴνου καὶ μύρου τινὸς τῶν εἰρημένων, ἐπιχρίειν τῷ ὑπογαστρίῳ ὅλῳ καὶ τῇ ὀσφύϊ.

ΕΠΙΘΕΜΑ ΑΙΜΑΓΩΓΟΝ ΕΠΙΤΗΔΕΙΟΝ ΚΑΙ ΤΟΥΤΟ.

Ἐλατηρίου, σμύρνης, χαλβάνης, κριθίνου ἀλεύρου ἀνὰ δραχ. δ. πηγάνου φύλλων χρωρῶν δραχ. β. χολῆς ταυρείας τὸ ἀρκοῦν· ἕκαστον ἰδίᾳ λειότατον ποιήσας καὶ ἑνώσας ἐπιχέων τῆς χολῆς ὅσον ἐξαρκεῖ, ἀναλάμβανε· ἐπὶ δὲ τῆς χρείας ἐπίχριε τῷ ὑπογαστρίῳ καὶ τῇ ὀσφύϊ, κατάγει γὰρ τὰ ἔμμηνα καὶ τὰς αἱμορροΐδας ἐν ἕδρᾳ κινεῖ. Χρῶ δὲ καὶ τοῖς ὁμοίοις ἐπιθέμασι τοῖς προγεγραμμένοις ἐν τῷ τρίτῳ λόγῳ.

ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ ΑΓΩΓΟΝ ΚΑΤΑΜΗΝΙΩΝ.

ΚΕΦΑΛΑΙΟΝ ΝΔ΄.

Καρκίνον ποτάμιον ζῶντα βαλὼν εἰς οἶνον καὶ πνιγέντα ἐν αὐτῷ, εἶτα λαβὼν τὸν οἶνον καὶ θερμάνας, δίδου πίνειν ἄκρατον ὡς κρᾶσιν τελείαν· καὶ ὅταν δόξῃ σοι ἱκανῶς καθαρθῆναι, δίδου τῇ γυναικὶ φαγεῖν αὐτὸν τὸν καρκίνον ὃν ἔπνιξας.

ΥΠΟΘΕΤΟΝ ΑΓΟΝ ΑΙΜΑ ΩΣΤΕ ΘΑΥΜΑΣΑΙ, ΠΟΙΕΙ ΚΑΙ ΕΠΙ ΤΩΝ ΥΣΤΕΡΙΚΩΝ ΠΝΙΓΩΝ ΧΡΟΝΙΖΟΥΣΩΝ ΜΑΛΙΣΤΑ.

Χολῆς ταυρείας, ἀψινθίου χυλοῦ ἢ αὐτῆς τῆς κόμης, στρουθίου ῥίζης, σμύρνης ἀνὰ δραχ. δ. καστορίου, ὀποβαλσάμου ἀνὰ δραχ. α. κυκλαμίνου χυλοῦ δραχ. ι. ἀναλαβὼν χυλῷ ἀρτεμισίας,

---

1 κοχλιάριον Β. 5 ἰρίνον Β. μῦρον ΒΓ. 7 „μύρῳ“ ἅπαντ. τὰ κείμ. „μύρων“ ἡμετ. διόρθ. Ζερβ. 11 ἐπιθέμα Β. 12 ἄνευ, χαλβάνης Β. 13 πηγάνου, φύλλων Α. 21 πνιγέντος Γ. 25 ὑποθετέον Β. „ὑποθετόν“ τὰ λοιπ. κείμ. ἡμ. διόρθ. „ὑπόθετον“ Ζερβ. 26 „πνιγμῶν“ ἅπαντ. τὰ κείμ. ἡμ. διόρθ. „πνιγῶν“ Ζερβ. 27 στροθίου τὰ κείμ. ἡμ. διόρθ. „στρουθίου“ Ζερβ.

θέρμων[1] ἀφεψήματος, ἰσχάδας λιπαρὰς καθαρὰς τῶν κεγχραμίδων[2] λεάνας μετὰ λιβάνου κυάμου μέγεθος καὶ νίτρου τὸ ἴσον, προστιθέσθω· καὶ ἐγχυματιστέον δὲ τὴν ὑστέραν τινὶ τῶν θερμαίνειν δυναμένων μύρων, οἷον σουσίνῳ, κυπρίνῳ, ἰρίνῳ, σαμψυχίνῳ, δαφνίνῳ, ἀμαρακίνῳ, ναρκησσίνῳ· ὑποθυμιᾶν δὲ συνεχῶς στύρακα μετὰ λιβάνου καὶ χαλβάνης, καλῶς δὲ ποιεῖ καὶ ὁ γαγάτης λίθος.

Δοκιμώτατον ὑποθυμίαμα.

Δοκιμώτατον ὑποθυμίαμα καὶ τοῦτο· ἀριστολοχίας ῥίζης, ῥητίνης ξηρᾶς, σανδαράχης, ἀτρακτυλίδος βοτάνης, κόπρου γυπὸς, βδελλίου, βράθυος, καρδαμώμου, ἀρτεμισίας ἀνὰ δραχ. α. ὀστέων ἰχθύων ταρίχων λειοτάτων, μελανθίου,[3] στύρακος ἀνὰ δραχ. δ. ἀναλάμβανε τροχίσκους μεθ' ὕδατος ἀνὰ γοα ἤτοι οὐγ. α. ἐπὶ δὲ τῆς χρείας ὑποθυμία πρωΐ καὶ ἑσπέρας ἐπὶ βολβίτων. μᾶλλον δὲ δεῖ καὶ πυριᾶν τὴν ὑστέραν ταῖς εὐώδεσι πυρίαις. ἑψοῦντα ἐν ὕδατι ἀμαράκου, ἑρπύλου, γλήχωνος, καλάμου, κυπέρου, ἴρεως, χαμαιμήλου, κόστου, ἀνίσου καὶ τῶν ὁμοίων·

Πυρίαι.

πυριᾶν δὲ οὕτως· πωμάζειν χρὴ τὴν χύτραν πώματι τρῆμα ἔχοντι, καὶ τῷ τρήματι προσαρμόζειν κάλαμον καὶ χρίειν πάντοθεν, ἔπειτα προσκαθίσασα ἐπὶ δίφρον ἡ γυνὴ πυριάσθω διὰ τοῦ ὑποκειμένου καλάμου·

Τρόποι πυρίας.

ἕτερος δὲ τρόπος πυρίας ἐστὶ τὸ ἐγκαθίσαι αὐτὰς εἰς τὰ προειρημένα ἀφεψήματα μέχρις ὀμφαλοῦ, καὶ μετὰ ταῦτα ἀπονιψαμένη ὕδατι γλυκεῖ θερμῷ, τοῖς προειρημένοις προσθέτοις χρῆσθαι. κάλλιστον δὲ πρόσθετον καὶ τοῦτο αἱμαγωγόν· καρποβαλσάμου, καρυοφύλλου, ἐλαίου ἀμαρακίνου ἢ σουσίνου ἀνὰ δραχ. α. ἀσταφίδων λιπαρῶν ἀνακεκαθαρμένων, νικολάων[4] φοινίκων κεκαθαρμένων δώδεκα τῶν σαρκῶν, ἁλὸς κοινοῦ γοιστ

---

6 λιβάνου χαλβάνης (ἄνευ καὶ) B. 8 ῥητίνης, ξηρᾶς ἅπαντ. τὰ κείμ. ἡμετ. διόρθ. „ῥητίνης ξηρᾶς" Ζερβ. ἀτρακτιλίδος B. 10 ταριχίνων B. „ταριχηρῶν" τὰ λοιπ. κείμ. ἡμ. τροποπ. „ταρίχων" Ζερβ. 12 καὶ ἐπὶ δὲ B. 14 κυπέρεως χαμαιμήλου B. 19 πυρία B. 23 καρυοφύλλων B. 24 ἄνευ, νικολάων B. 25 ἄνευ, δώδεκα B. σάρκας Γ.

---

[1] Θέρμος τὰ κοινῶς λούπινα καλούμενα, λατ. Lupinus καὶ um. Ζερ.

[2] Τὰ κοκκία τῶν σύκων, τὰ ἐν αὐτοῖς εὑρισκόμενα σμικρὰ σπερμάτια. Ζερ.

[3] Οἱ δὲ κατὰ Δ. καὶ μήκωνα ἄγριον μέλανα καλοῦσι τὸ μελάνθιον· ἔμμηνα καὶ οὖρα καὶ γάλα ἄγει· I. 431 κοινῶς μαυροκούκκιον, μελάνσπερμον παρὰ Θεοφράστῳ. Λατ. nigella ὡς ἐκ τῆς μελαίνης χροιᾶς καλούμενον Ζερ.

[4] Εἶδος φοινίκων οὕτω κληθέντων ἐκ Νικολάου τοῦ ἐκ Δαμασκοῦ. Ζερ.

ἤτοι οὐγ. ιστ. μέλιτος κοχλιάρια δ. ἀναλαβὼν χρῶ μετὰ λουτρὸν ἢ πυρίαν· πυριᾶν δὲ χρὴ καὶ τοῖς καταπλάσμασιν, ἐμπλάσσοντας ταῖς ὠμαῖς λύσεσιν ἀρτεμισίαν, ἀμάρακον, ἶριν ἢ ἕτερόν τι τῶν προρρηθέντων, τὸ δὲ ὑγρὸν τῶν καταπλασμάτων ἔστω οἶνος εὐώδης καὶ μέλι καὶ ἀμαράκινον ἢ ἴρινον ἢ ἀνήθινον μύρον. Τῶν δὲ καταπλασμάτων ἀρθέντων, ἔριον καθαρὸν βεβρεγμένον τινὶ τῶν εἰρημένων μύρων θερμῷ ἐπιτιθέσθω ἄνωθεν, ἀγαθὸν δὲ καὶ βδέλλιον μετὰ στύρακος καὶ λιβάνου λειώσαντα μετ' οἴνου καὶ μύρου τινὸς τῶν εἰρημένων, ἐπιχρίειν τῷ ὑπογαστρίῳ ὅλῳ καὶ τῇ ὀσφύϊ.

ΕΠΙΘΕΜΑ ΑΙΜΑΓΩΓΟΝ ΕΠΙΤΗΔΕΙΟΝ ΚΑΙ ΤΟΥΤΟ.

Ἐλατηρίου, σμύρνης, χαλβάνης, κριθίνου ἀλεύρου ἀνὰ δραχ. δ. πηγάνου φύλλων χλωρῶν δραχ. β. χολῆς ταυρείας τὸ ἀρκοῦν· ἕκαστον ἰδίᾳ λειότατον ποιήσας καὶ ἑνώσας ἐπιχέων τῆς χολῆς ὅσον ἐξαρκεῖ, ἀναλάμβανε· ἐπὶ δὲ τῆς χρείας ἐπίχριε τῷ ὑπογαστρίῳ καὶ τῇ ὀσφύϊ, κατάγει γὰρ τὰ ἔμμηνα καὶ τὰς αἱμορροΐδας ἐν ἕδρᾳ κινεῖ. Χρῶ δὲ καὶ τοῖς ὁμοίοις ἐπιθέμασι τοῖς προγεγραμμένοις ἐν τῷ τρίτῳ λόγῳ.

ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ ΑΓΩΓΟΝ ΚΑΤΑΜΗΝΙΩΝ.

ΚΕΦΑΛΑΙΟΝ ΝΔ΄.

Καρκίνον ποτάμιον ζῶντα βαλὼν εἰς οἶνον καὶ πνιγέντα ἐν αὐτῷ, εἶτα λαβὼν τὸν οἶνον καὶ θερμάνας, δίδου πίνειν ἄκρατον ὡς κρᾶσιν τελείαν· καὶ ὅταν δόξῃ σοι ἱκανῶς καθαρθῆναι, δίδου τῇ γυναικὶ φαγεῖν αὐτὸν τὸν καρκίνον ὃν ἔπνιξας.

ΥΠΟΘΕΤΟΝ ΑΓΟΝ ΑΙΜΑ ΩΣΤΕ ΘΑΥΜΑΣΑΙ, ΠΟΙΕΙ ΚΑΙ ΕΠΙ ΤΩΝ ΥΣΤΕΡΙΚΩΝ ΠΝΙΓΩΝ ΧΡΟΝΙΖΟΥΣΩΝ ΜΑΛΙΣΤΑ.

Χολῆς ταυρείας, ἀψινθίου χυλοῦ ἢ αὐτῆς τῆς κόμης, στρουθίου ῥίζης, σμύρνης ἀνὰ δραχ. δ. καστορίου, ὀποβαλσάμου ἀνὰ δραχ. α. κυκλαμίνου χυλοῦ δραχ. ι. ἀναλαβὼν χυλῷ ἀρτεμισίας,

---

1 κοχλιάριον Β. 5 ἰρίνον Β. μῦρον ΒΓ. 7 „μύρῳ" ἅπαντ. τὰ κείμ. „μύρων" ἡμετ. διόρθ. Ζερβ. 11 ἐπιθέμα Β. 12 ἄνευ, χαλβάνης Β. 13 πηγάνου, φύλλων Δ. 21 πνιγέντος Γ. 25 ὑποθετέον Β. „ὑποθετόν" τὰ λοιπ. κείμ. ἡμ. διόρθ. „ὑπόθετον" Ζερβ. 26 „πνιγμῶν" ἅπαντ. τὰ κείμ. ἡμ. διόρθ. „πνιγῶν" Ζερβ. 27 στροθίου τὰ κείμ. ἡμ. διόρθ. „στρουθίου" Ζερβ.

ποίει βαλάνια μικρὰ καὶ δίδου προστίθεσθαι. κάλλιστον δὲ καὶ τρὺξ οἴνου παλαιοῦ ξηρὰ, ἀναλαμβανομένη σελίνου χυλῷ καὶ προστιθεμένη.

ΠΕΣΣΟΣ ΑΙΜΑΓΩΓΟΣ ΑΥΘΗΜΕΡΟΝ ΑΓΩΝ ΑΙΜΑ ΩΣ ΕΠΙ ΤΟ ΠΟΛΥ.

Ἀρτεμισίας φύλλα καὶ νίτρον ἴσα λειώσας καὶ ἀναλαβὼν ἰρίνῳ καὶ ῥοδίνῳ, χρῶ ἐν πεσσῷ μετὰ τὸ λουτρόν.

ΘΕΡΑΠΕΙΑ ΤΩΝ ΔΙΑ ΠΛΕΙΣΤΗΝ ΠΙΜΕΛΗΝ ΜΗ ΚΑΘΑΙΡΟΜΕΝΩΝ.

ΚΕΦΑΛΑΙΟΝ ΝΕ΄.

Τὰς δὲ πιμελωδεστέρας τῶν γυναικῶν τῇ τε ἄλλῃ διαίτῃ ὡς λεπτοτάτῃ διαιτᾶν, προείρηται δὲ ἐν τῷ δευτέρῳ καὶ τρίτῳ λόγῳ περί τε τῆς διαίτης καὶ τῆς τῶν τροφῶν δυνάμεως καὶ περὶ καθαιρέσεως σαρκῶν, καὶ σὺν ἐκείνοις δὲ καὶ πόμασι καὶ πυριάσμασι χρῆσθαι· εἰ γὰρ ἐνταῦθα ῥέψεις, καθαιροῦνται οὐ χαλεπῶς καὶ τὸ ὅλον σῶμα ἰσχνότερον γίνεται. Σφαλερὸν μὲν οὖν τὰς πιμελώδεις καθαίρειν διὰ τῆς κάτω κοιλίας, συντηκτικὸν γάρ· ἀλλὰ τῇ οὕτως ἐχούσῃ γυναικὶ οὐδὲ τοῦτο παραληπτέον, πολλαῖς γὰρ καὶ μόνη ἡ τοῦ καθαρτικοῦ φαρμάκου πόσις ἤρκεσε τὸ δέον ποιῆσαι·[1] τῶν δὲ καθαρτικῶν τὰ ὀξύτατα καὶ πυρωδέστατα ταῖς πιμελώδεσι κάλλιστα, ὅ τε κνίδειος κόκκος καὶ ἡ σκαμμωνία καὶ ὁ τοῦ μυρσινίτου τιθυμάλλου[2] τῆς ῥίζης φλοιός, παντὶ δὲ μίσγειν πετροσέλινον ἢ δαῦκον ἢ σέλινον ἢ ἄνισον ἢ γλήχωνα, ἡδύσματος χάριν καὶ διαλεπτύνσεως καὶ διακρίσεως τοῦ αἵματος. Καὶ τὰ προσθετὰ δὲ τὰ ἐπὶ τούτων ἰσχυρότερα ἔστω, οἷον κο-

2 τρύγα ΑΓ. τρυγὸν Β. ἡμ. διόρθ. „τρύξ" Ζερβ. ἀναλαμβανόμενον Β. 4 ἄγον Β. 10 τῇ δὲ ἄλλῃ Β. 12 περὶ δὲ Β. 13 σαρκῶν σύγκειται Α. τὸ δὲ καὶ πόμασιν (ἄνευ, καὶ σὺν ἐκείνοις) Α. πειράσμασι Β. 14 ῥύψεις Β. καθαροῦνται Β. 15 ἄνευ, τὰς Β. 18 ἄνευ, „ἡ" τὰ κείμ. ἅπαντ. ἡμ. προσθ. τὸ „ἡ" Ζερβ. ἤρεσκε, ἀντὶ, ἤρκεσε Α. 23 διὰ λεπτύνσεως Β. διὰ κρίσεως Β. 24 πρόσθετα Α. τὰ δὲ τὰ ἐπὶ Β. ἔσται Α. κολοκυνθίδα, Β.

[1] Ἱπποκρ. δὲ φησί· καὶ φάρμακον δόντες κάτω χολῆς ἢ φλέγματος, ἐπιμήνια οὐ γινόμενα κατέρρηξαν. Περὶ νούσων τὸ πρῶτ. VI. 154

[2] Εὐφόρβιον οὗ οὐ ἀρχαῖοι δύο διέκρινον εἴδη, τό τε ἄρρεν ἀμυγδαλοειδὲς, κωβὸν, λατ. Euphorbia maracias, καὶ τὸ θῆλυ, παράλιος καὶ μυρσινίτης καλούμενον· γνωστὴ δὲ τυγχάνει ἡ ἐπισπαστικὴ τοῦ εὐφορβίου δύναμις. Ζερβ.

λοκυνθίδος ἐντεριώνην, μελάνθιον καὶ σμύρναν λειωθέντα ὁμοῦ σὺν οἴνῳ γλυκεῖ προστιθέσθω, ἢ νίτρον μετὰ κυκλαμίνου καὶ χολῆς βοείας καὶ μέλιτος, καὶ ἰσχάδων σάρκας μετὰ νίτρου καὶ πηγάνου καὶ μέλιτος, καὶ πυρίας δὲ καὶ ἐπιθέματα τὰ ἐπὶ τῶν ψυχροτέρων προειρημένα κἄπει τούτων παραλαμβανέσθω.

ΘΕΡΑΠΕΙΑ ΤΩΝ ΔΙΑ ΠΛΗΘΟΣ ΜΗ ΚΑΘΑΙΡΟΜΕΝΩΝ.

ΚΕΦΑΛΑΙΟΝ ΝΕ′.

Αἱ δὲ διὰ πλησμονὴν χυμῶν μὴ καθαιρόμεναι, ὀδυνῶνται μὲν περὶ τὸν καιρὸν τῶν καταμηνίων, καὶ τοῖς ἄλλοις δὲ γινώσκονται πεπληρωμέναι τῷ τε ὄγκῳ τῶν φλεβῶν καὶ τῷ βάρει τοῦ σώματος καὶ τοῖς ἐγκαταλιμπανομένοις πνεύμασιν, ὑφ' ὧν παλμούς τε καὶ διατάσεις ἐν τῷ σώματι καὶ φρίκας ἀνάγκη γενέσθαι, τὰ δὲ λοιπὰ ζήτει ἄνωθεν καὶ εὑρήσεις. ἡ δὲ ἴασις ἐστὶν ἀφελεῖν τὸ πλεῖον τοῦ αἵματος. Τὴν κατ' ἀγκῶνα οὖν τμητέον φλέβα ἢ τὴν πρὸς τὸ σφυρόν, μετὰ δὲ τὴν κένωσιν τοῦ αἵματος καὶ τὰ ἄλλα ποιεῖν ὡς πρόσθεν εἴρηται, προποτίζοντα καὶ πυριῶντα τοὺς τόπους· φανέντων δὲ τῶν καταμηνίων, κατακλίνειν χρὴ τὴν γυναῖκα καὶ ἐν ἡσυχίᾳ τηρεῖν καὶ ἀκινησίᾳ, καὶ λουτρῶν καὶ σιτίων ἀπέχεσθαι τὴν πρώτην, τὴν δὲ δευτέραν σιτύα μὲν διδόναι πτισάνης χυλὸν συνηψημένου ἀνήθου, ἔπειτα λαχάνων τι τῶν ἐπιτηδείων, τῇ δὲ τρίτῃ λούειν καὶ διαιτᾶν συνήθως.

ΘΕΡΑΠΕΙΑ ΤΩΝ ΥΠΟ ΑΤΡΟΦΙΑΣ ΜΗ ΚΑΘΑΙΡΟΜΕΝΩΝ.

ΚΕΦΑΛΑΙΟΝ Νϛ′.

Ὅσαι δὲ ὑπὸ ἀτροφίας καὶ ἰσχνότητος οὐ καθαίρονται εἴτε διὰ νόσον εἴτε ἄλλως, ἀνακομίζειν χρὴ πρότερον καὶ εὔσαρκα

---

2 „καὶ χολῆς κλπ.“ μέχρι τοῦ ἐννάτου στίχ. „ἄλλοις“ παραλ. ὁ *A*. ἀναγράφει δὲ κατατέρω σελ. 81. 10 γινώσκονται πεπληρωμέναι“ κλπ. μέχρι „γενέσθαι“ στιχ. δέκατος τρίτος ἐπαναλαμβάνει δὶς ὅ τε *B*. καὶ *Γ*. ὅπερ ἀφήρεσα. ἑπόμενος τῷ *A* κώδικι Ζερβ. τῷ δὲ *B*. 11 ἐν τῷ σώματι *B*. ἐγκαταλαμβανομένοις *Γ*. „καὶ τοῖς ἐγκαταλιμπανομένοις“ μέχρι, „φρίκας“ παραλείπ. ὁ *B*. 12 „σῶμα“ τὰ κείμ. ἡμ. διόρθ. „σώματι“ Ζερβ. 13 „τὰ δὲ λοιπὰ ζήτει ἄνω καὶ εὑρήσεις“ παραλείπ. *A*. „ζήσει“ *BΓ*. ἡμ. τροποπ. „ζήτει“ Ζερβ. 13 ἴασις *B*. 14 ἄγχωνα *B*. 20 συνεψουμένου *AB*. 26 εὐσαρκῆ *A*.

ἀποδεικνύειν τὰ σώματα, τοῖς τε γυμνασίοις καὶ πόνοις μετριωτέροις καὶ τοῖς σιτίοις δαψιλέστερον χρωμένας. εἰ γὰρ εὐσαρκότεραι γένοιντο, ἐλπίδες μὲν πολλαὶ καὶ αὐτομάτως ἐλθεῖν πρὸς τὰς καθάρσεις, εἰ δὲ μὴ εὐχερέστερον καὶ πόμασι καὶ τοῖς προσθέτοις ἀγαγεῖν ταύτας.

ΘΕΡΑΠΕΙΑ ΤΩΝ ΔΙΑ ΜΟΧΘΗΡΙΑΝ ΧΥΜΩΝ ΜΗ ΚΑΘΑΙΡΟΜΕΝΩΝ.

ΚΕΦΑΛΑΙΟΝ ΝΖ′.

Ἐπειδὴ δὲ καὶ χολώδεις καὶ φλεγματώδεις χυμοὶ καὶ ὅσοι ἄλλοι σμιγόμενοι τῷ αἵματι, ἐμποδὼν τῇ καθάρσει γίνονται, διαγνώσει μὲν τῇ τε πάσῃ ἕξει πονηροτέρᾳ οὔσῃ καὶ ἑκάστῳ τῶν γνωρισμάτων πλειστάκις προειρημένων, καὶ ἐκ τῶν παρεπομένων ἐνίοτε περὶ τὴν ὑστέραν συμπτωμάτων. εἰ γὰρ κἂν σμικρὰ ἐπιφαίνηται ταῖς τοιαύταις τὰ καταμήνια, τὰ μὲν χολώδη δάκνει καὶ ξύει τὰς ὑστέρας καὶ τῇ χρόᾳ ξανθὰ ὑπάρχει καὶ κατάκορα, τὰ δὲ φλεγματώδη[1] βραδυπορώτερα καὶ παχύτερα καὶ λευκὰ καὶ ὑπόψυχρα καὶ ναρκώδη εἰσὶν. Ὅταν οὖν τοιαῦτα εἴη τὰ σημεῖα, κάλλιστον καθαίρειν τοῖς ἐπιτηδείοις φαρμάκοις τὸ πᾶν σῶμα, καὶ μετὰ ταῦτα λούειν καὶ πυριᾶν τοὺς γυναικείους τόπους καὶ σιτίον ἡδὺ προσφέρειν καὶ εὔχυμον, καὶ πόμα οἶνον ἢ μέλι διδόναι καὶ γάλα δὲ ὄνειον μετὰ μέλιτος προσφέρειν, καὶ γλήχωνα ὅσον δεσμίδιον ζέσας μεθ' ὕδατος καὶ οἴνῳ γλυκεῖ κεράσας, δίδου πίνειν ἀκρατέστερον. ταῦτα καὶ τὰς καθάρσεις κινεῖ καὶ οὐδὲν ἐγκαταλείπει περίττωμα τῷ αἵματι· προσπλέκειν δέ ποτε καὶ τοῖς ἐσθιομένοις καὶ πινομένοις καὶ τῶν εὐωδῶν τι

1 τοῖς δὲ B. 2 δαψιλεστέροις B. „χρωμένων“ ἄπ. τὰ κείμ. ἡμ. διόρθ. „χρωμένας“ Ζερβ. εὐσάρκηραι B. 5 ἀγάγειν B. „ταύταις“ τὰ κείμ. ἡμ. διόρθ. „ταύτας“ Ζερβ. 9 ἐμποδῶν B. διαγνώσῃ B. 10 πονηροτέρης οὔσης B. ἕκαστῃ B. 11 προειρημένῳ A. 12 περὶ τῶν τὴν B. 13 ἐπιφαίνοιτο Γ. 14 χροῷ B. κατακορῆ Γ. κατὰ κοῤα A. 15 βραδυπορότερα B. 16 σαρκώδη, ἀντὶ, ναρκώδη Γ. 18 λύειν, ἀντὶ, λούειν B. 19 οἰνόμελι Γ. 24 ἄνευ, τί Γ.

[1] Καθ' Ἱππ. VII. 420. ἡ διαφορικὴ τούτων διάκρισις γίνεται οὕτω· πρότερον ψάμμον ἐμβαλὼν εἰς τὸν ἥλιον λεπτὴν, ξηρὰν, ὁκόταν τὰ καταμήνια γένηται, ἐν τῷ ἡλίῳ ἀποχέας τοῦ αἵματος, ἔα ξηρανθῆναι· καὶ ἢν μὲν χολώδης ᾖ, ἐπὶ τῇ ψάμμῳ ξηραινόμενον τὸ αἷμα, χλωρὸν γίνεται· ἢν δὲ φλεγματώδης, οἷον μύξα.

σπερμάτων, τῶν λαχάνων δὲ ἔστω κρίθμον, γιγγίδιον, σταφυλῖνος[1] πάνυ ἑφθὸς καὶ μάραθρα, ἅμα δὲ μὴ δὲ τῶν προσθέτων ἀμελεῖν, οἷα χρὴ εἶναι ταῦτα· τὰ μὲν ἤδη προείρηται, τὰ δὲ νῦν ἐρήσεται· *χολῶδες* μὲν γὰρ εἰ ἐθέλεις ἄγειν, ἐλατήριον προστίθει μετὰ σύκου λιπαροῦ, ἐνίοτε δὲ καὶ κυκλάμινον μετ' οἴνου· *φλέγμα* δὲ ἐξ ὑστέρας ἄγει ἀνεμώνης φύλλα, ἶρις μετὰ μέλιτος, αἱρῶν ἄλευρον μετὰ πεπέρεως ὀλίγου καὶ μέλιτος· φρύξας δὲ καὶ ἐπ' ὀλίγον τὰς αἴρας πρόσφερε· κολοκυνθὶς μετὰ ἰσχάδων· *ὑδατώδη* δὲ ἄγει πράσον[2] μετὰ μέλιτος. Μετὰ δὲ τὰ πρόσθετα προσήκει εἰς ὕδωρ θερμὸν ἐγκαθίζειν καὶ μύρῳ ῥοδίνῳ χρίειν τὸ στόμα τῆς ὑστέρας, ἢ κηρωτῇ ῥοδίνῃ ἢ στέατι ὀρνιθείῳ.[3]

ΘΕΡΑΠΕΙΑ ΤΩΝ ΔΙ' ΕΤΕΡΩΝ ΤΟΠΩΝ ΚΕΝΟΥΜΕΝΩΝ ΔΙ' ΑΙΜΟΡΡΟΙΔΩΝ Η ΜΥΚΤΗΡΩΝ, ΚΑΙ ΔΙΑ ΤΟΥΤΟ ΜΗ ΚΑΘΑΙΡΟΜΕΝΩΝ.

ΚΕΦΑΛΑΙΟΝ ΝΗ'.

Τὰς δὲ δι' ἄλλων τόπων κενουμένας δι' αἱμορροΐδων ἢ μυκτήρων, θεραπεύειν οὕτως· τὸ ῥέον αἷμα ἐπέχειν δεῖ, σὺν τούτοις καὶ τοῖς ὑστερικοῖς βοηθήμασι χρῆσθαι, ἵνα μὴ κωλυόμενον ἐκεῖθεν ἀλλαχοῦ ῥεύσῃ εἴς τι τῶν κυρίων μορίων, τὸ δ' αὐτὸ

1 κριθὸν B. κριδμὰ Γ. γεγγίδιον B. σταφυλίνη Γ. 3 „οἷα δὲ" τὰ κείμ. ἡμ. ἀφηρέσ. τὸ „δὲ" Ζερβ. „τὰ δὶς, ἀντὶ, „τὰ δὲ" B. 4 εἴρηται, ἀντὶ, ἐρήσεται BΓ. εἰρήσεται A. ἡμ. διόρθ. „ἐρήσεται" Ζερβ. ἐλατῆρα B. 6 ἀνεμώνης, ἶρις (ἄνευ, φύλλα) B. 8 καὶ κολοκύνθαν B. ἰσχάδος A. 11 ῥοδίνῳ B. „θεραπεία διὰ πλησμονὴν χυμῶν" ἀκολουθεῖ νῦν. ἐν τῷ A. 12 ἑτέρου τόπου B. 17 ἄνευ, οὕτως A. ἄνευ, „ἐπέχειν δεῖ" A. τούτοις τε οὖν A. 18 κέχρησο A. 19 ἄνευ, κυρίων BΓ.

[1] Δαυκίον, κοιν. σταφύλινας καλούμενον. Λατ. pastinaca. Ζερβ.

[2] Κατὰ Διοσκορ. τὸ κηπαῖον πράσον οὐρητικὸν, εὐκοίλιον, καταμηνίων ἀγωγὸν, βλαπτικὸν κύστεως ἡλκωμένης καὶ νεφρῶν. Περ. ὕλ. ἰατρ. I. β. 287.

[3] Ὅρ. διάφορα εἴδη ἐμμήνων σημείωσ. 1 σελ. 45. Γαλ. δὲ φησὶ XV. 327, 7. γενομένης ποτὲ τῆς τῶν καταμηνίων ἐπισχέσεως πολλὰ ἕπεσθαι εἴωθε συμπτώματα. Ἐνίαις μὲν διασημαίνει τι ἄλγημα κατ' ἐκεῖνο τὸ μόριον μετὰ βάρους, ἐνίαις δὲ εἰς ἰσχίον τὸ ἄλγημα ἥκει, ἐνίαις δὲ χωλένει τὸ σκέλος τὸ κατ' εὐθύ. Ἐὰν δὲ πολλῷ χρόνῳ τὰ καταμήνια κρυφθῇ, τότε καὶ φλεγμοναὶ καὶ φυματώδεις ὄγκοι ἐγείρονται κατὰ τὸ πέρας τοῦ κενεῶνος, καὶ χωρὶς τούτων ἀλγήματα κατ' ὀσφὺν καὶ τράχηλον καὶ βρέγμα καὶ τὰς τῶν ὀφθαλμῶν βάσεις, ἔτι δὲ καὶ πυρετοὶ σφοδροί· ἔνιαι δὲ καὶ δυσουροῦσι.

χρὴ κἀπὶ τῶν ἄλλων μηχανᾶσθαι δι' ἱδρώτων τε καὶ ἐμέτων καὶ τῶν λοιπῶν ἐκκρίσεων. Τὸ δὲ σύμπαν γινώσκειν χρή, ὅτι οὐ μέγα βλάπτονται ὅσαι διὰ τοιαύτας προφάσεις οὐ καθαίρονται, οὐδὲ ὅσαι διὰ τροφῆς ἔνδειαν, οὐδὲ ὅσαι δι' ὑπερβολὴν πόνων, πλὴν ὅτι αἱ μὴ διὰ μήτρας καθαιρόμεναι οὐ κυΐσκουσι.

ΘΕΡΑΠΕΙΑ ΤΩΝ ΔΙ' ΑΡΓΙΑΝ ΜΗ ΚΑΘΑΙΡΟΜΕΝΩΝ.

ΚΕΦΑΛΑΙΟΝ ΝΔ'.

Τὰς δι' ἀργίαν μὴ καθαιρομένας δῆλον ὅτι προσάγειν χρὴ τοῖς πόνοις· τῶν δὲ πόνων ἐπιτηδειότατοι γυναιξὶ περίπατοι καὶ αἰῶραι διὰ ζῴων ὀλίγῳ συντονώτεραι, τὰ δὲ ἄλλα ὡς τὴν ψυχροτέραν καὶ φλεγματωδεστέραν θεραπεύσεις· καὶ καθόλου ὡς Ἱπποκράτης φησί, τὰ ἐναντία ἐπιτηδεύειν τοῖς τὴν ἀπόκρισιν τοῦ αἵματος ἐμποδίζουσι· καὶ εἰ μὲν τὸ ὕδωρ βλάπτει ψυχρὸν καὶ σκληρὸν ὑπάρχον, ἕτερον ἐπιζητεῖν κάλλιστον, πίνειν τε τὸ ὕδωρ μετ' οἴνου λευκοῦ τῶν διουρητικῶν· καὶ σιτία δὲ ἀντὶ μὲν τῶν ψυχόντων θερμαίνοντα, ἀντὶ δὲ τῶν παχέων τὰ λεπτύνοντα, ἀντὶ δὲ τῶν ξηρῶν τὰ ὑγρὰ καὶ τὰ ἄλλα κατὰ λόγον.

ΘΕΡΑΠΕΙΑ ΤΩΝ ΔΙ' ΑΙΤΙΑΝ ΤΙΝΑ ΤΩΝ ΠΕΡΙ ΤΗΝ ΥΣΤΕΡΑΝ ΜΗ ΚΑΘΑΙΡΟΜΕΝΩΝ.

ΚΕΦΑΛΑΙΟΝ Ξ'.

Εἰ δὲ τὸ μὲν ἄλλο σῶμα εὖ ἔχει, ἡ δὲ δίαιτα ἁρμόζει εἰς κάθαρσιν, οὐ καθαίρεται δὲ ἡ γυνή, σκόπει μή τι νόσημα τὴν ὑστέραν ἔχῃ· καὶ εἰ νοσεῖ, μηδὲν φάρμακον κατ' ἀρχὰς αὐτῇ προσφέρειν δεῖ, μὴ δὲ ποτὸν τῶν αἷμα ἀγόντων, κίνδυνος γὰρ τοῦ μὲν φαρμάκου ἐπὶ τὴν ὑστέραν ἄγοντος τὸ αἷμα, τῶν δὲ τόπων οὐ δυναμένων χαλᾶν, ὀδύνας χαλεπὰς ἐπιγίνεσθαι ὥσπερ ταῖς τικτούσαις. Θεραπεύειν οὖν προσήκει πρότερον τὴν διάθεσιν τὴν τῆς ἐποχῆς αἰτίαν, καὶ οὕτως ἐπὶ τὰ προτρέποντα πορευτέον. ὅπως δὲ ἕκαστον

---

1 δέ, ἀντὶ, τὲ *B*. 4 ἐνδείαν *B*. 6 ἀγρίαν, ἀντὶ, ἀργίαν *B*. ἀεργίαν *A*. 8 ἀγρίαν *B*. „δηλονότι" τὰ κείμ. ἡμ. διόρθ. „δῆλον ὅτι" Ζερβ. 9 ἐπιτηδειότατον *B*. 10 αἰώραι *B*. συντονώτερα *B*. συντονώτερον *A*. 16 ἄνευ, τὰ *B*. 17 κατ' ἀγωγὸν, ἀντὶ, κατὰ λόγον *B*. 18 ἑτέραν τινὰ *B*. 21 διαίτα *B*. 22 σκοπῇ *Γ*. 23 νόσει *B*. 27 προτέραν *B*. 28 πορουτέον, ἀντὶ, πορευτέον *B*. ἰτέον *Γ*.

τῶν περὶ τὴν ὑστέραν γινομένων χρὴ θεραπεύειν, ἀκολούθως ἐφεξῆς ῥηθήσεται.

ΠΕΡΙ ΣΤΡΑΓΓΗΣ ΚΑΘΑΡΣΕΩΣ.

ΚΕΦΑΛΑΙΟΝ ΞΑ'.

Στραγγὴ κάθαρσις ὠνόμασται ἐκ τοῦ κατὰ σταγῶνα καὶ μετ' ὀδύνης χαλεπῆς τριχώσης τὸ βάθος ἐκκρίνεσθαι τὸ αἷμα, φαίνεται δὲ παραπλήσια τινὰ γινόμενα ἐπὶ τῆς ὑστέρας παθήματα, τοῖς συμβαίνουσι παθήμασι τῇ οὐροδόχῳ κύστει. καὶ γὰρ ἐπ' ἐκείνης ἢ τελείως ἐπέχεται τὸ οὖρον καὶ λέγεται ἰσχουρία, ἢ κατὰ σταγῶνα φέρεται καὶ λέγεται στραγγουρία, ἢ μετὰ δυσχερείας τινὸς φέρεται καὶ λέγεται δυσουρία. πέντε δὲ τὸν ἀριθμὸν κατ' εἶδος αἰτίαι τὴν στραγγὴν ἐργάζονται· κάθαρσις, Αἰτια *πόρων στένωσις ποικίλως γινομένη, δυνάμεως ἀσθένεια, αἵματος πλῆθος, αἷμα φλεγματῶδες, αἷμα τρυγῶδες. Τὰ ἐναντία τοίνυν τῇ παρεμποδὼν γινομένῃ αἰτίᾳ μηχανητέον ἐστὶ· καὶ τὸ μὲν πλῆθος κενωτέον, τὸ δὲ πάχος λεπτυντέον, τὴν δὲ ἀσθενῆ δύναμιν ῥωστέον, τὴν δὲ τῶν πόρων στένωσιν ἀνοικτέον· ζητητέον μέντοι τὴν αἰτίαν τῆς στενώσεως καὶ ταύτην περιαιρετέον. ἀρθέντων γὰρ τῶν περιεργαζομένων τὴν διάθεσιν αἰτίων, καὶ ἡ κάθαρσις ἀπαρεμποδίστως διὰ πάσης ὀδύνης ἀπαντᾷ· ὅπως δὲ χρὴ ἐνίστασθαι πρὸς ἕκαστον τῶν αἰτίων, τὰ μὲν ἤδη προείρηται ἐν τῷ περὶ ἐποχῆς ἐμμηνίων, τὰ δὲ ἐφεξῆς ἐν τοῖς κατὰ πάθος μήτρας ἐρήσεται. νυνὶ δὲ πρόκειται λέγειν ὅπως δεῖ παραμυθεῖσθαι τὰς ἐμπιπτούσας ἐν τοῖς παροξυσμοῖς χαλεπὰς ὀδύνας. Ἀρχομένων τοίνυν τῶν παροξυσμῶν κατακλίνειν δεῖ τὴν πάσχουσαν ἐν οἰ-* Θεραπε *κήματι συμμέτρως μὲν ὑελίνῳ μὴ πάνυ δὲ φωτεινῷ, ταινίαις τε*

---

1 τῆς περὶ *B*. 3 στρογγῆς *B*. 5 στρογγὴ *B*. καθάρσις *B*. 7 γίνεσθαι *BΓ*. παρακολουθήματα *A* [εὑρίσκεται ὡς διόρθ. τοῦ κειμ. τοῦ *A* γραφεῖσα ὑπὸ ξένου προσώπου] *Z*. 10 σταγόνα *B*. „ἢ μετὰ δυσχερείας τινὸς", μέχρι, „δυσουρία" παραλ. *B*. 11 καὶ λέγεται φέρεται καὶ λέγεται *A*. ἡμ. διόρθ. „τινὸς φέρεται καὶ λέγεται" *Ζερβ*. 12 αἰτίας *B*. στράγγην *B*. 13 ἀσθενεία *B*. 14 τριγῶδες *B*. 15 παρεμποδῶν *B*. 17 ἄνευ, τῶν *B*. 18 ἄνευ, τῆς *B*. 19 ἄνευ, τὴν *A*. 20 ἀπαρεμποδίστος *B*. δίχα πάσης, ἀντὶ, διὰ πάσης *BΓ*. 22 ἐμμήνων *BΓ*. τὸ δὲ *B*. ἄνευ, μήτρας *AΓ*. „εἰρήσεται" τὰ κείμ. ἡμ. διόρθ. ἐρήσεται *Ζερβ*. 26 ὑελίῳ *B*. ἀλεινῷ *Γ*. φωτεικῷ *B*.

περιλαβεῖν τὰ ἄκρα χειρῶν καὶ ποδῶν, μηδενὶ δὲ παρερεθίζοντι πεσσῷ χρῆσθαι· ὑδροποσίας τε τηρεῖν καὶ φυλάττεσθαι πάντων τῶν δριμέων πομάτων, καὶ σιτίων προσφορὰς καὶ μάλιστα φυσωδῶν, θάλπειν τε τὸ ἦτρον καὶ τὸ ὑπογάστριον καὶ τὰ ἰσχία ποικίλοις κεχρημένους θερμάσμασι· τοῦτο μὲν ἔρια οἴνῳ καὶ ῥοδίνῳ θερμῷ βεβρεγμένα ἐπιτιθέναι τῷ ὑπογαστρίῳ καὶ ἐφηβαίῳ, τοῦτο δὲ καὶ κύστιν ἡμιπλήρη ἐλαίου θερμοῦ ἐπιτιθέναι, τοῦτο δὲ καὶ τοῖς λεγομένοις φακωτοῖς πυριατηρίοις χρῆσθαι. Εἰ δὲ ἐπιμένει ἡ ὀδύνη καὶ ἡ δύναμις ἀντέχει, τέμνειν δεῖ τὴν ἐν ἀγκῶνι φλέβα καὶ ἀφαιρεῖν πρὸς δύναμιν, καὶ πάλιν ταῖς αὐταῖς ἐμβροχαῖς χρῆσθαι· εἰ δ' ἔτι ἐπιμένει, καταπλάττειν τοῖς διὰ λινοσπέρματος καὶ ἄρτου καὶ ὑδρομέλιτος, ἔσθ' ὅτε δὲ καὶ τερεβινθίνης συντακείσης, χρῆσθαι δὲ καὶ τοῖς ἐγκαθίσμασιν ἐν ἀφεψήματι ἀλθαίας καὶ λινοσπέρματος, τήλεως, ἀνήθου, πηγάνου, ἀρτεμισίας, σπόγγοις τε ἐκ τοῦ τοιούτου ἀφεψήματος πυριᾶν τὸν κόλπον, καὶ πήγανον λεῖον μέλιτι ἀναλαβὼν καὶ ἐμπλάσας ὀθονίῳ, ἐπιτίθει τῇ ἥβῃ καὶ τῷ ὑπογαστρίῳ, ἐνίοτε καὶ αὐτὸ τὸ αἰδοῖον τῷ τοιούτῳ καταπλάσματι σκέπε. καλὸν δὲ καὶ εἰς αὐτὸν τὸν κόλπον ἐγχεῖν διὰ μητρεγχύτου ἔλαιον ἐν ᾧ ἀφήψηται πήγανον βραχὺ καὶ τῆλις, εἶτα διηθηθὲν καὶ προσλαβὸν βούτυρον, τερεβινθίνην καὶ ὕσσωπον τὸ κηρωτοειδές· τὸ αὐτὸ δὲ καὶ διὰ τῆς ἕδρας

Πεσσοί. ἐνιέναι ὅσον κυάθων γ ἢ δ. Πεσσοῖς δὲ χρηστέον τοῖς παρηγορεῖν δυναμένοις, ἁπλουστέροις μὲν τοῖς διὰ χυλοῦ τήλεως, λινοσπέρματος καὶ μαλάχης, γλοιωδῶν γινομένων μετ' ἐλαίου καὶ πιμελῆς χηνός, συνθέτοις δὲ τοῖς τοιούτοις· κηροῦ τυῤῥηνικοῦ πεπλυμένου λευκοῦ γοα ἤτοι οὐγ. α. τερεβινθίνης δραχ. δ. στέατος χηνείου γοδ ἤτοι οὐγ. δ. φοινίκων πατητῶν γραμ. δ. ᾠοῦ λεκίθου α καὶ ἐλαίου τηλίνου τὸ ἀρκοῦν.

---

1 „τὰ“ ἡμ. προσθ. Ζερβ. ἄνευ, καὶ ποδῶν B. 3 προσφορὰν B. 4 δὲ, ἀντί, τὲ B. ἦτρον B. 5 κεχρημένοις θερμάσματι B. 6 ἐπιτίθει B. 7 ταῦτα δὲ B. ἡμικληρῆ B. ἡμιπληρῆ A. ἡμιπληρεῖ Γ. ἡμ. διόρθ. „ἡμιπλήρη“ Ζερβ. 8 ἄνευ, φακωτοῖς B. 10 ἄνευ, αὐταῖς B. 11 ἐπιμένει ἡ ὀδύνη Γ. 14 λινοσπέρμου Γ. 15 πυρίαν A. 16 λεῖα A. 17 τῷ αἰδοίῳ A. 18 σκέπειν Γ. 19 „ἐκχεῖν“ τὰ κείμ. ἅπαντ. ἡμετ. διόρθ. „ἐγχεῖν“ Ζερβ. πηγανὸν B. 20 τίλις A. 21 ἄνευ, δὲ ΒΓ. 27 λεκιθινοῦ B. 28 τιλίνου A.

ΕΤΕΡΟΝ ΤΟΙΟΝΔΕ.

Οἰσύπου δραχ. δ. στέατος χηνείου γοδ ἤτοι οὐγ. δ. ἐγκέφαλοι χηνῶν πρόσφατοι δύο· στέατος χηνείου καὶ φασιανοῦ καὶ ὄρνιθος καὶ κηροῦ ἀνὰ γογ ἤτοι οὐγ. γ. χρῶ δὲ καὶ τῷ λιβάνῳ λεγομένῳ πεσσῷ καὶ τῷ ἐννεαφαρμάκῳ,[1] καὶ τοῖς παραπλησίοις τοῖς πρὸς φλεγμονὰς καὶ σκληρίας μήτρας ἀναγραφησομένοις. Ἐπιθέμασι δὲ χρῆσθαι πρῶτον μὲν τῷ τετραφαρμάκῳ ἢ τῷ βρωμίῳ ἢ τῇ διὰ χυλοῦ ἀναλυθείσῃ, ἔπειτα τῷ διὰ μελιλώτων καὶ τῷ διὰ σπερμάτων καὶ τῷ πολυαρχίῳ, ὡς ἂν ἡ χρεία ἀπαιτῇ. εἰ δὲ κατά τινα δυστροπίαν ἀντιβαίνει τὸ σύμπτωμα, καὶ κατὰ περίοδον ἢ ἄτακτον ἐνοχλεῖ καὶ οὐ πείθεται τοῖς προειρημένοις βοηθήμασιν, ἐπὶ τὰ δραστικώτερα παραγίνεσθαι χρή· καὶ σικύας προσβάλλειν ἤτρῳ καὶ βουβῶσι, πρῶτον μὲν χωρὶς καταχασμοῦ τρεῖς ἢ τέσσαρας, εἰ δὲ ἐπιμένει καὶ κατασχάζειν καὶ ἕλκειν σύμμετρον αἷμα, ἱκαναὶ δὲ μετὰ τὴν τῶν σικυῶν χρῆσιν καὶ βδέλλαι προστιθέμεναι τοῖς τόποις, ἕλκειν δυνάμεναι σικύας οὐχ ἧττον· χρῆσθαι δὲ μετὰ ταῦτα καὶ ἐπιθέμασιν ἢ δρώπαξι φοινίσσειν τὴν ἐπιφάνειαν δυναμένοις, ἀνατρίβειν τε τοὺς τόπους συνεχῶς καὶ μαλακῶς ἐλαίῳ μεθ' ἁλῶν λειοτάτων, καὶ γυμνάζειν συμμέτροις γυμνασίοις παραιτουμένην τὴν πολλὴν βάθισιν, χρωμένην δὲ τῇ αἰώρᾳ· ἔπειτα τοῖς αὐτοφυέσιν ὕδασι χρῆσθαι καὶ αὐτῇ τῇ θαλάσσῃ ψυχρᾷ ἐμβιβάζειν συνεχῶς.

ΠΕΡΙ ΥΠΕΡΚΑΘΑΡΣΕΩΣ.

ΚΕΦΑΛΑΙΟΝ ΞΒʹ.

Ὑπερκάθαρσις μὲν ταῖς γυναιξὶ γίνεται, τῶν καταμηνίων παρατεινομένων ἐπὶ πλείους ἡμέρας καὶ ἀθροωτέρου ῥέοντος τοῦ

---

2 ὑσσώπου ΑΓ. 7 „βρομίῳ" τὰ κείμ. ἅπαντ. ἡμ. διόρθ. „βρωμίῳ" Ζερβ. 8 ἀναλυθεῖσι Α. ἀναλυθέντι Β. ἀναλυθείσης Γ. „ἀναλυθείσῃ" ἡμ. διόρθ. Ζερβ. 13 σηκύας Β. καταχάσμου Β. 15 ἱκανὸς Α. ἄνευ, τὴν Β. 16 σικύαι ΑΒΓ. ἡμ. διόρθ. „σικύας" Ζερβ. 18 ἐπιφανείαν Β. 20 παραιτουμένη Β. παραιτουμένοις Γ. χρωμένη ΒΓ. 21 αὐτοφύεσιν Β. 26 ἀθροωτέρως Β.

---

[1] Κηρὸς λευκός, τερεβινθίνη, στέαρ χήνειον καὶ βόειον, βούτυρον, μυελὸς ἐλάφειος, μέλι, ῥόδινον, κύμινον, ἴσα πρόσφατα πάντα διπλώματι τήκεται· ἐκλήθη δ' ἐννεαφάρμακος ἐκ τοῦ ἀριθμοῦ τῶν ἀποτελούντων αὐτὸν φαρμάκων, ὡς καὶ ὁ τετραφάρμακος πάλιν ἐκ τοῦ αὐτοῦ. Ζερβός.

αἵματος, σπανιώτερον δὲ καὶ ἐπὶ κυήσεσι καὶ ἐπὶ φθοραῖς πλείοσι τοῦτο συμβαίνει καὶ ὀξὺν ἐνίοτε κίνδυνον ἐπιφέρει. Ἐπισκέπτεσθαι μὲν οὖν χρὴ τὸ τῆς αἱμορραγίας ποσὸν καὶ τὸν τρόπον τῆς φορᾶς, ἐπὶ μὲν γὰρ τῶν μεγάλων ἀγγείων ῥηγνυμένων ἢ ἀναστομουμένων, πλῆθος αἵματος φέρεται καὶ ἀθρόον, ἐπὶ δὲ τῶν μικρῶν ἐλάχιστον, ἐπὶ δὲ τῶν ἐξ ἀναβρώσεως κατὰ βραχὺ ἄρχεται καὶ μετ' ὀδύνης πλείστης φέρεται.[1]

Θεραπεία. Πρῶτον μὲν οὖν διασφίγγειν τὰ κῶλα καὶ τὰ ἄκρα χρὴ ἀπὸ τῶν μασχαλῶν καὶ βουβώνων, διδόναι δὲ αὐταῖς ὀξύκρατον μὴ ψυχρὸν ἀλλὰ γαλακτῶδες, καὶ προσαντλεῖν ὀξυκράτῳ καὶ ἐπιτιθέναι τοῖς τόποις ἔρια πολλὰ ἐξ οἴνου καὶ ἐλαίου ῥοδίνου ἢ μυρσινίνου ἢ μηλίνου. οἱ γὰρ δι' ὀξυκράτου σπόγγοι καταψύχοντες τὴν κύστιν καὶ τὴν ὑστέραν, μείζονα τῆς ὠφελείας τὴν βλάβην ἐπιφέρει. ἀρκείτω δὲ πρὸς μίαν ἢ δευτέραν ἡμέραν, εἰ δὲ μὴ δύναται, ψίχας δι' ὀξυκράτου δοτέον ἢ χόνδρον ἁπαλὸν ἱκανῶς ἐψημμένον, ποτίζειν δὲ τὸ βαλαύστιον μετ' ὀξυκράτου βρεχόμενον ἄχρις οὗ τρυφερὸν γένηται καὶ οὕτως ἐσθιέτω, ἢ χόνδρον πλυτὸν ἢ ὄρυζαν σὺν τῷ ὀξυκράτῳ, ἢ ὠὸν ῥοφητὸν ἁπαλὸν ἱκανῶς ἐψυγμένον. Ποτίζειν δὲ βαλαύστιον μετ' ὀξυκράτου ἢ ὑποκυστίδος ἢ ἀκακίας χυλοῦ, ἢ λύκιον ἢ σάμιον ἀστέρα ἢ ὀμφάκιον ξηρὸν, καλῶς δὲ ποιεῖ καὶ σήσαμον ὀξυκράτῳ βρεχόμενον ἄχρις οὗ τροφερὸν γένηται, καὶ οὕτως ἐσθιόμενον· δυνατὸν δὲ καὶ λειώσαντας αὐτὸ μετὰ τὸ βραχῆναι ποτίζειν, καὶ ῥέου ποντικοῦ ἀφέψημα διδόναι ἢ αὐτὸ λεῖον ἐμπάσσειν τῷ ποτῷ, καὶ λωτοῦ πρίσματα ἢ τὸ ἀφέψημα αὐτῶν ἢ κοραλίου δραχ. β. ἢ παιωνίας κόκκους ιε ἐρυθροὺς. Θαυμαστῶς

---

1 „σπανωτέρου" τὰ κείμ. ἡμετ. διόρθ. „σπανιώτερον" Ζερβ. κινήσεσι, ἀντὶ, κυήσεσιν Α. ἄνευ, καὶ ἐπὶ φθοραῖς Α. 5 ὀρθρόον, ἀντὶ, ἀρθρόον Β. 8 ἄνευ, χρὴ Α. 9 βουβῶνων Β. „αὐτοῖς" ἅπαντ. τὰ κείμ. ἡμετ. διόρθ. „αὐταῖς" Ζερβ. 12 τόποι, ἀντὶ, σπόγγοι Β. 13 ἄνευ, τὴν βλάβην Β. 14 ψύχας ΒΓ. 15 ἐψυγμένον Β. ἄνευ, δὲ Α. 16 ἄνευ, τὸ Β. ἄχρις οὐ Β. 17 ὄρυξα Γ. 18 ἐψιμμένον Γ. 19 ὑποκυστίδος τὰ κείμ. ἅπαντ. „ὑποκίστιδος" διορθωτέον Ζ. 20 ἄστερα Β. ὄμφακα Β. καλὸν δὲ καὶ Β. 21 ἄχρις οὐ Β. 22 λειώσαντα Γ. 23 λειὸν Β. 24 λώτου Β. 25 κοράλλου Β.

---

[1] Παρέπεται δὲ ταύταις ἄχροια ἄλλοτε ἄλλη τὴν ἔντασιν, ποδῶν τε οἰδήματα καὶ βλεφάρων καὶ τοῦ παντὸς ἔστιν ὅτε σώματος, κόποι τε καὶ ἀνορεξίαι, σκοτοδινίαι τε καὶ δυσπεψίαι ἐπίμονοι. Ζερβός.

δὲ ποιεῖ καὶ σπόγγος καινὸς ὑγρᾷ πίττῃ δευθεὶς καὶ καυθεὶς ἐν χύτρᾳ, καὶ λεῖος πινόμενος καὶ προστιθέμενος· χρῆσθαι γὰρ προσήκει καὶ τοῖς τῇ μήτρᾳ προστιθεμένοις καὶ ἐνιεμένοις. τεσσάρων γοῦν ἡμερῶν οἶδά ποτε διὰ μήτρας φερόμενον αἷμα φησὶν ὁ Γαληνὸς, πρὸς οὐδενὸς τῶν βοηθημάτων κωλυόμενον, χυλῷ δὲ ἀρνογλώσσου χρησαμένων ἡμῶν, παντάπασιν ἐπαύσατο· ἔστω δὲ τὸ ἐνιέμενον πλῆθος κυάθου. τοῦτο κάλιστον ἐστὶ φάρμακον πρὸς τὰς ἐξ ἀναβρώσεως αἱμορραγίας, εἰώθασι δὲ μιγνύειν αὐτῷ καὶ τῶν ἰσχυρῶν τι φαρμάκων ἄλλοτε ἄλλο, πρὸς ὅλην ἀποβλέποντες τὴν διάθεσιν. Εἰ μὲν οὖν ἐρρωγὸς ἀγγεῖόν τι τῶν μεγάλων ἰσχυρῶς ἀνεστόμωται, τῶν αὐστηρῶν φαρμάκων ἐστὶ χρεία, οἷον βαλαυστίου, ἀκακίας, ὑποκυστίδος, ὀμφάκων, κηκίδων, σιδίων καὶ τῶν ὁμοίων. εἰ δὲ εἴτε μικρὸν ἐστὶ τὸ ἐρρωγὸς ἀγγεῖον ἢ ἀνεστόμωται μετρίως, τοῦτο δὲ γνωσόμεθα ὡς πρείρηται ἐκ τοῦ ὀλίγον εἶναι τὸ φερόμενον αἷμα χωρὶς πλείστης ὀδύνης, ἀλόη τούτῳ ἐπιτηδεία καὶ μάννη καὶ ὁ τῆς πίτυος φλοιὸς, ἥ τε λημνία σφραγὶς καὶ ὁ τῆς αἰγυπτίας ἀκάνθης καρπὸς, κρόκος τε καὶ λίθος αἱματίτης καὶ ὅσα τοιαῦτα σὺν τῷ χυλῷ τοῦ ἀρνογλώσσου, ἢ σὺν οἴνῳ μέλανι ἢ χυλῷ ἀρνογλώσσου προστιθέμενα ἢ ἐγχυματιζόμενα. Εἰ δὲ ἐξ ἀναβρώσεως αἱμορραγία γένηται, τὰ πολλὰ μὲν ὡς εἴρηται οὐδὲ λαύρως αὐταῖς ἀλλὰ ὀλίγη καὶ κατὰ βραχὺ φέρεται, καὶ διὰ τοῦτο τῷ Ἄνδρωνος ἢ τῷ Πασίωνος ἢ τῷ Πολυείδου τροχίσκῳ, ἢ τῷ Μούσα[1] ἢ τῷ διὰ χάρτου χρὴ θε-

---

1 *σπογγός B. σωθείς B.* 2 *χυτρᾷ B.* 3 *ἀνιεμένοις B. ἀνειμένοις Γ.* 4 *οἷα πότε, ἀντὶ, οἶδα ποτὲ B. εἰσί ποτε Γ.* 5 *φασὶ B.* 8 *ἀναβρώσεις B.* 9 *τὶ A.* 10 *ἀποβλέπων B. ἀρρωγὸς ἀγγείων τι B. τὶ A.* 11 *ἐστ B.* 12 *ἄνευ, οἷον AB.* 13 *ἀρρωγὸς B.* 14 *ἀναστόμωται B.* 16 *τοῦτο A. τούτου BΓ. ἡμ. διόρθ. „τούτῳ" Ζερβ.* 17 *ἄκανθος B.* 19 *μελανῷ A.* 20 *ἀποβρώσεως BΓ.* 21 *λαυρῶς B.* 22 *τοῦτο ἄνδρωνος [ἄνευ, τῷ] A. ἄνευ, ἢ . . . ἢ A.*

---

[1] *Ὁ Μούσας Ἀντώνιος ἦν ἕλλην ἰατρὸς ἀπελεύθερος τοῦ Αὐγούστου καὶ ἔνθερμος τῆς ψυχρολουσίας θιασώτης, δι' ἧς ἰάσατο τὸν Αὐτοκράτορα ἐκ λίαν σοβαροῦ ἠπατικοῦ νοσήματος κτησάμενος οὐ σμικρὰν δόξαν· μέλος τῆς τῶν Μεθοδικῶν καλουμένης Σχολῆς, ἧς ἀρχηγὸς ἦν ὁ ἀπὸ Βιθυνίας Ἀσκληπιάδης, ὅστις ἐπρέσβευεν ἐν τῇ ἰατρικῇ τὴν θεωρίαν τῶν ἀτόμων, ἣν Λεύκιππός τε καὶ Δημόκριτος καὶ Ἐπίκουρος ἐδίδαξαν πρῶτοι. Ζερβός.*

ραπεύειν, πρὸς νομὰς ὄντα χρήσιμα τὰ τοιαῦτα· παύει γὰρ τὴν ἀνάβρωσιν καὶ τὴν αἱμορραγίαν ἐπέχει· ἀναλυέσθω δὲ καὶ ταῦτα τινὶ τῶν προρρηθέντων.

ΠΕΣΣΟΙ ΠΡΟΣ ΤΗΝ ΕΚ ΜΗΤΡΑΣ ΑΙΜΟΡΡΑΓΙΑΝ.

Πεσσοὶ δὲ πρὸς τὴν ἐκ μήτρας αἱμορραγίαν ἁρμόδιοι οἱ τοιοῦτοι· στυπτηρίας σχιστῆς, ἀκακίας, κηκίδων τοῦ ἐντός, μάννης ἀνὰ δραχ. α. τὰ μὲν ξηρὰ λεαίνεται χυλῷ ἀρνογλώσσου, εἶτα ὠῶν ὀπτῶν λέκιθοι τέσσαρες μίγνυνται, ἐν δὲ τῇ χρήσει ἀναλαμβάνεται εἰς πεσσὸν ἐρίου καὶ ἀποβάπτεται εἰς ῥόδινον, καὶ εἶθ' οὕτως προστίθεται. ἐντιθέσθω δὲ ταῦτα ἐσωτάτω περὶ τὸ στόμιον τῆς μήτρας. Ἄλλο. *Ἄλλο. Κηκίδων τὸ ἐντὸς σὺν λιβάνῳ ἴσοις καὶ ὕδατι χρῶ, ἢ πολύγονον λεῖον ἐν πεσσῷ προστίθει· καὶ ἐγκαθίζειν δὲ αὐτὰς χρὴ συνεχῶς τοιούτοις· ὀξυσχίνου κεφαλῶν, μυρσίνης, ῥόδων, ῥάμνου φύλλων ἕκαστον ἴσον, ὕδατος τὸ ἀρκοῦν.* Ἄλλο. *Ἄλλο. Κυπαρίσσου φύλλα, κύτινα, ἐλαίας φύλλα καὶ βάτου, ἴσα ἑνώσας χρῶ· ἔξωθεν δὲ ὠφέλιμον ἐπιτίθεται τὰ στύφοντα ἐπιθέματα καὶ καταπλάσματα, τά τε διὰ φοινίκων καὶ κυδωνίων προστιθέμενα καὶ προσειληφότα βαλαύστιον, ἀκακίαν, ὑποκυστίδα, στυπτηρίαν καὶ τὰ ὅμοια. ἁρμόδιοι δὲ αὐταῖς καὶ αἱ κολλητικαὶ ἔμπλαστροι, ἥ τε Ἀρμενίδου, ἡ τοῦ Γαληνοῦ κιρρά, ἡ Ἱκεσίου, ἡ δι' ἰτεῶν καὶ ἡ Ἀθηνᾶ.*[1]

---

1 ὄντα ξηρὸν A. 3 ἄνευ, τῶν B. 4 „πεσσοὶ πρὸς τὴν ἐκ μήτρας αἱμορραγίαν" παραλείπ. A. 5 ἁρμόδιον B. 6 κηκίδας B. 7 εἶτ' B. 10 προστιθέται B. 11 κηκίδος B. καὶ λιβάνῳ AB. ἴσα Γ. 12 σὺν ὕδατι AB. 13 τοιαῦτα Γ. 15 ἄνευ, κυπαρίσσου φύλλα B. κοτυλοῦς B. κυτίνων B. 17 „τὰ δὲ" ἄπαντ. ἡμ. διόρθ. „τά τε" Ζερβ. 18 προσειλαφότα A. βαλαυστίου κλπ. γενικ. ἑνικ. Γ. ἀπὸ κυστίδος, ἀντὶ ὑποκυστίδα B. 19 ἁρμοδίοι B. 20 ἄνευ, ἥ τε Ἀρμενίδου B. ἢ ἡ Ἱκεσίου ἢ ἡ B. 21 ἑτέων καὶ ἡ ἁρμονία καὶ ἡ πολλὰς B. δι' ἴτεων Γ. 21 τοῖς ὀσφύοις καὶ ἤτρῳ ἐπιτιθέμενα B.

---

[1] Εἶδος τροχίσκου οὕτω καλουμένου, οὐ μὴν καὶ Παλλὰς κέκληται ἕτερος καὶ Ζεὺς ἄλλος, καὶ Ἥρα καὶ Ἀφροδίτη καὶ Ἀσκληπιός. Ζερβός.

ΠΕΡΙ ΓΥΝΑΙΚΕΙΟΥ ΡΟΥ ΕΚ ΤΟΥ ΑΡΧΙΓΕΝΟΣ.[1]

ΚΕΦΑΛΑΙΟΝ ΞΓ'.

Ὁ καλούμενος γυναικεῖος ῥοῦς, ῥευματισμός ἐστι χρόνιος τῆς ὑστέρας· διαφέρει δὲ τῆς αἱμορραγίας, τῷ ἐπ' ἐκείνην μὲν αἷμα καθαρὸν φέρεσθαι, ἐπὶ δὲ τούτων διεφθορὸς, καὶ ποτὲ μὲν ἐρυθρὸν ὅπερ ἐστὶν αἵματος ἰχὼρ, ποτὲ δὲ λευκὸν πτισάνης χυλῷ ὅμοιον, ἀποφλεγματικοῦ δηλονότι αἵματος· ἔστι δ' ὅτε ὠχρὸν πλεοναζούσης τῆς πικρᾶς χολῆς· ἐνίοτε δὲ ὑδατῶδες, ὅπερ ἔστι τοῦ ῥοώδους περιττώματος. τούτων ἕκαστον τὰ πολλὰ χωρὶς ἀλγήματος φέρεται, ἐνίοτε δὲ καὶ μετ' ὀδύνης ἑλκώσεως ἐν ὑστέρᾳ μελετωμένης. Ἐπιφέρει δὲ ἀτονίαν καὶ ἄχροιαν, καὶ ἀνατροπὴν τῆς ὀρέξεως πρὸς ἅπαντα, καὶ δυσθυμίαν ἄρρητον, καὶ ποδῶν οἴδησιν, καὶ ἐνίαις μὲν ἀδιαλείπτως ἡ ἔκκρισις παρακολουθεῖ, ἐνίαις δὲ ἐκ διαλειμμάτων τινῶν. καὶ ὁ μὲν ἐρυθρὸς ταῖς ἀκμαζούσαις συνεδρεύει, ὁ δὲ λευκὸς ὡς ἐπίπαν ταῖς πράως ἀκμαζούσαις· ἑκάτερος δὲ αὐτῶν εἰ μὲν ταῖς οἰκείαις ἡλικίαις συμβαίη, εὐΐατος ἐστὶν· εἰ δὲ ταῖς ἀνοικείαις δυσίατος. Ἐπὶ παντὸς μέντοι ῥοῦ ἀνέῳγε τὸ στόμα τῆς ὑστέρας καὶ ὥσπερ χαλᾶται, τισὶ δὲ καὶ προσπίπτει ἡ ὑστέρα, ὥστε μέχρι τοῦ γυναικείου αἰδοίου προϊέναι.

ΘΕΡΑΠΕΙΑ ΤΩΝ ΥΠΟ ΡΟΥ ΕΡΥΘΡΟΥ ΕΝΟΧΛΟΥΜΕΝΩΝ.

ΚΕΦΑΛΑΙΟΝ ΞΔ'.

Ἐπὶ τῶν ὑπὸ ῥοῦ ἐρυθροῦ[2] ἐνοχλουμένων, πρώτη σκέψις περὶ αἵματος ἀφαιρέσεως γένοιτ' ἄν· οὐ μόνον γὰρ ἀντιπράττει τῇ

---

1 ἄνευ, ἐκ τοῦ Ἀρχιγένους Γ. 3 χρονιός Β. 4 τὸ Β. ἐκείνων, ἅπαντ. τὰ κείμ. ἡμετ. τροποπ. „ἐπ' ἐκείνην“ Ζερβ. „αἷμα καθαρὸν φέρεσθαι ἐπὶ δὲ τούτων διεφθορὸς καὶ ποτὲ“ παραλ. Β. 7 ἀποφλεγμάτικου Β. 9 τὸ τοῦ Γ. 15 „συνεδρεύει κτλ.“ μέχρις, „ἑκάτερος“ παραλείπ. ΒΓ. „τῶν πρᾶως“ Α. ἡμετ. διόρθ. „ταῖς πράως“ Ζερβ. 17 εἰ δὲ καί, ἀντὶ, εἰ δὲ ταῖς Β. 20 προσιέναι Β. 23 τῶν ἀπὸ τοῦ Β. 23 ὑπὸ τοῦ ῥοῦ Β. σκέψη Β. 24 ἀντιπράττειν Β. „τὴν“ ἅπαντ. τὰ κείμ. ἡμ. τροποπ. „τῇ“ Ζερβ.

---

[1] Ἀρχιγένης ὁ ἐξ Ἀπαμείας πιθανῶς ἐστι, ὀπαδὸς τῆς τῶν πνευματιστῶν καλουμένης Σχολῆς, πρεσβευούσης τὰ τοῦ φιλοσόφου Ἡρακλείτου, καὶ ἱδρυθείσης ὑπὸ τοῦ ἐξ Ἀτταλείας τῆς Κιλικίας περιωνύμου ἰατροῦ Ἀθηναίου. Ζερβός.

[2] Καὶ ῥόος ἐρυθρός μὲν γίνεται, φησὶν Ἱππ. περὶ Γυν. τὸ δεύτ. VIII. 234

εἰς τὴν ὑστέραν τῆς ὕλης περιολκῇ, ἀλλ' ἤδη καὶ τὴν ἐποχὴν ἀκίνδυνον ἀπεργάζεται. πολλὰ γὰρ ἄτοπα παρακολουθεῖ ἐκ τῆς διὰ τῶν τοπικῶν βοηθημάτων γινομένης ἀθρόας ἀποκοπῆς τοῦ αἵματος ἢ τοῦ ῥεύματος, τινὲς γὰρ ὑδέρῳ περιέπεσαν ἐκ τούτου, καὶ ἄλλαις νευρικαὶ ἐγένοντο συμπάθειαι, καὶ περὶ τὸ στόμα τῆς κοιλίας καὶ περὶ τὴν κεφαλὴν διαθέσεις δύσλυτοι ἐνέπεσον. Οὐκοῦν εἰ μηδὲν κωλύει, τοῦτ' ἔστιν εἰ μὴ ἀξιόλογα εἴη τὰ κωλύοντα, ἀφαιρεῖν δεῖ τοῦ αἵματος, καὶ μάλιστα εἰ μὴ δὲ ἡλικία ἀρνεῖται τὴν φλεβοτομίαν· ὡς ἐπίπαν γὰρ νέαις ἔφημεν συμβαίνειν τὸν ἐρυθρὸν ῥοῦν. Ἡ δὲ ἀφαίρεσις ὡς ἐπὶ τῶν αἷμα ἀναγόντων μεμερισμένη γενήσεται κατὰ βραχύ, ὑπὸ τοῦ χρόνῳ πολλῷ παραμεῖναι τὴν ἀντίσπασιν· ὑπερτιθεμένης τῆς ἀπ' ἀγκῶνος φλεβοτομίας, ἀφαιρεῖν χρὴ ἀπὸ τοῦ μετώπου ἢ τῶν ῥινῶν ἢ τοῦ μεταφρένου. χρὴ δὲ καὶ κατακλίνειν αὐτὰς ὑποτιθέντας τοῖς περὶ τὰ ἰσχία μέρεσι τριβακὰ[1] ῥάκη μὴ θερμὰ μηδὲ κροκύδας ἔχοντα, ἕνεκεν τοῦ μετρίως ἐμψύχεσθαι. δῆλον δὲ ὡς καὶ μετέωρα εἶναι ὠφείλει τὰ περὶ τὰ ἰσχία μέρη, καὶ τὰ σκέλη δὲ ἀποτεινέσθω καὶ συμπεπλέχθω πρὸς ἄλληλα εἰς συναρωγὴν τῶν περὶ τὴν ὑστέραν τόπων, σκεπέσθω δὲ τὰ ἰσχία καὶ τὸ ἦτρον καὶ αὐτὰ τὰ πτερυγώματα, εἰ μὲν πλῆθος φέροιτο σπόγγοις βεβρεγμένοις ὀξυκράτῳ, εἰ δὲ κατ' ὀλίγον φέροιτο ἐρίοις[2] οἰσυπηροῖς διαβρό-

---

1 „περιολκὴν" τὰ κείμ. ἡμετ. διόρθ. „περιολκῇ" Ζερβ. 3 γενομένης Β. 5 ἄλλαι Α. 7 τουτέστιν ΒΓ. 8 ἀφαίρει Α. 10 εἰ δέ, ἀντί, ἡ δὲ Α. 11 γίνεται Β ὡς κατὰ Β. ὑπὸ τῷ ΒΓ. χρόνου Α. 12 ἀγκῶνος δὲ Β. 14 „ὑποτιθέντες" τὰ κείμ. ἡμ. διόρθ. „ὑποτιθέντας" Ζερβ. 15 κροκόδας Β. 16 μεταίωρα Β. 17 ἀποτινέσθω Β. 19 ἦτρον Β. 21 οἰσσυπυροῖς Β. οἰσυπιροῖς Γ.

ἐκ πυρετοῦ . . . γίνεται δὲ καὶ ἐξ ἀπολήψιος ἐπιμηνίων, ὅταν ἀποκλισθέντα ἐξαπίνης καταρραγῇ . . . Αἷμα ῥέει πάμπολυ καὶ θρόμβοι ἐκπίπτουσι, καὶ ὀδύνη γίνεται τῶν κληΐδων καὶ τῶν τενόντων, καὶ νάρκη τοῦ σώματος, ἀπόψυξίς τε τῶν σκελέων· ἐνίοτε δὲ . . . καὶ ἄναυδοι γίνονται, καὶ ἱδρὼς καταχεῖται πολὺς . . . καὶ τῆς αὐτῆς ἡμέρης πολλάκις ῥιγέουσι καὶ αὖθις ἱδροῦσι, . . . καὶ εἰς τοὺς βουβῶνας ὀδύναι ὀξεῖαι ἐμπίπτουσι καὶ ἰσχυραὶ φοιτέουσαι ὥσπερ ὠδῖνες· . . . καὶ τὸ στόμα ξηρόν, καὶ δίψα . . . καὶ ἡ γλῶσσα τρηχείη, καὶ οἱ δάκτυλοι ξυνέλκονται τῶν ποδῶν οἱ μεγάλοι . . . καὶ τῆς ὀσφύος περιωδυνίαι καὶ τῶν χειρῶν ἀκρασίη.

[1] Τριβακὰ καλεῖται τὰ τετριμμένα καὶ ὡς ἐκ τῆς παλαιότητος μὴ φορούμενα ἱμάτια, οὐ μὴν καὶ τὰ λεπτὰ καὶ λεῖα τὰ τῷ θέρει ἐπιτήδεια. Ζερβ.

[2] Οἴσυπος . . . λέγεται τὰ ἐκ τῶν οἰσυπηρῶν ἐρίων λίπος . . . καὶ ἔμβρυα καὶ ἔμμηνα ἐν ἐρίῳ προστιθέμενος ἄγει. Διοσκ. περ. ὕλ. ἰατρ. I. β. 206.

χοις οἴνῳ καὶ ῥοδίνῳ, διαθέσεις τε τῶν ἄκρων περιλαμβανέσθωσαν. Ταῦτα δὲ οὐ μόνον ἀρχομένου τοῦ πάθους δοκιμάζεται τὰ βοηθήματα, ἀλλ' ἤδη καὶ περιόδους τινὰς πεποιημένα πρὸ τοῦ παροξυσμοῦ καὶ ἐν αὐτῷ τῷ παροξυσμῷ. χρησόμεθα δὲ καὶ ἐγκαθίσμασιν εἰς ἀφέψημα ῥιζῶν βάτου, μυρσίνης, σιδίων καὶ τῶν ὁμοίων, ἐνίοτε δὲ καὶ ὄξος ἐπιβάλλοντες καὶ ἐγκαθίζοντες αὐτὰς μέχρις ὀμφαλοῦ, καὶ ἐγχυματισμοῖς δὲ χρηστέον στύφουσι καὶ ἠρέμα ἐμψύχουσιν, ὡς τῷ ἀρνογλώσσου χυλῷ καὶ πολυγόνου καὶ στρατιώτου,[1] κυδωνίων τε καὶ μεσπίλων· ἄκρως δὲ ποιεῖ καὶ ὁ τῆς σιδηρίτιδος βοτάνης χυλός. Ἕκαστον μέντοι τούτων σὺν ῥοδίνῳ ἢ μυρσινίνῳ ἐγχυματιζέσθω, ἢ γλυκὺν οἶνον ἑψήσας ἐν κελύφει ῥοιᾶς ἐπὶ θερμοσποδιὰν καὶ διηθήσας, ἔνιε χλιαρόν· εὐτονώτερον μέντοι ἐπέχει τὴν ἔκκρισιν καὶ ἡ τέφρα τοῦ μεθ' ὑγρᾶς πίσσης κεκαυμένου σπόγγου ὁμοίως ἐγχυματιζομένη, καὶ τρίχες λαγωοῦ καυθεῖσαι. εἰώθαμεν καὶ ὀθόνιον στυπτηρίᾳ βρέξαντες καὶ ξηράναντες, καίειν καὶ ὁμοίως παραλαμβάνειν· γάλα δὲ ὄνειον εἰ παρείη καὶ μάλιστα εἰ ἀπὸ νομῆς ἐστὶ τὸ ζῷον, παντὸς ἄλλου χυλοῦ ἐνεργέστερόν ἐστι, ὅτε μετὰ πόνου φέρεται. ἀγαθὸν δὲ καὶ ὁ τοῦ ἄλικος χυλὸς[2] ἢ πτισάνης ἐγχεόμενος, καὶ τὸ ῥόδινον καθ' αὑτὸ καὶ μετὰ γάλακτος· σφόδρα δὲ ἐνεργεῖ καὶ ὁ τῆς ὀνείας κόπρου χυλὸς καὶ μᾶλλον εἰ ἀπὸ νομῆς εἴη τὸ ζῷον. Πεσσοὶ δὲ ἁρμόδιοι πρὸς τὸν ἐρυθρὸν ῥοῦν, οἱ ἐπὶ τῆς αἱμορραγίας προειρημένοι· βρεχέσθωσαν δὲ εἴς τινα τῶν προρρηθέντων χυλῶν, ποιεῖ δὲ καὶ τὸ λύκιον καὶ ἡ ἀκακία καὶ ὑποκυστίδος ὁ χυλὸς γάλακτι βοείῳ ἢ ἑψήματι ἀνιέμενα, καὶ κηκὶς μετὰ λιβάνου καὶ ῥοδίνου, ἢ σπόδιον πομφόλυγος μετὰ ῥόδων καὶ

Τίνα ἐπ χουσιν ἀπονώτι ρον τὴν τ αἵματο ῥύσιν. Πεσσοί

1 παραλαμβανέσθωσαν B. 3 ἄλλ' B. 5 ἀφεψήμα B. 7 ἐγχυματίσμοις B. 10 σιδηριτίδος B. 11 οἴνον B. 12 καλύψι, ἀντί, κελύφει B. κέλυφει Γ. ἐπίθερμον σποδίᾳ B. ἐνίε B. 15 καὶ τὸ B. στυπτηρίαν B. 16 ἄνευ, καὶ ξηράναντες B. περιλαμβάνειν A. 19 ἄλικος A. πτισσάνης ἄπ. τὰ κείμ. „πλισάνης“ ἡμετ. διόρθ. Z. ἐκχεόμενος B. 22 ζωον B. οἱ μὲν τῆς, ἄνευ, ἐπὶ B. 23 τινὰ B. ἄνευ, τῶν πορρηθέντων BΓ. 25 γαλάκτι B. 26 „καὶ γλυκέος ἢ κληματίνην τέφραν ἐν ἀποδέσμῳ βαλὼν“ παραλείπ. B.

[1] Εἶδος φακοῦ ἐν ὕδασι ἢ λίμναις φυομένου καὶ αὐξανομένου· καλεῖται ἄλλως τε „ποτάμιος στρατιώτης“ ὁ δὲ ἐν τοῖς τέλμασι, φακός. Ζερβ.

[2] Ἄλιξ-ικος ὁ κοιν. χόνδρος ἐστί.

γλυκέος, ἢ κληματίνην τέφραν ἐν ἀποδέσμῳ βαλὼν καὶ ἐμβάψας τινὶ τῶν χυλῶν ἐντίθει· ἢ ᾠοῦ κέλυφος κεκαυμένον μετὰ σμύρνης ξηρᾶς καὶ γλυκέος, ἢ ἐριγέροντα λεάνας προστίθει καὶ πότιζε. χρώμεθα δὲ καὶ κηκῖδα καίοντες καὶ σβεννύντες αὐτὴν ποτὲ μὲν οἴνῳ ποτὲ δὲ ὄξει, καὶ τὴν τέφραν λείαν ἐν πεσσῷ προστιθέντες. μετὰ δὲ τὴν τῶν τοιούτων ἀφαίρεσιν νιπτέον τοὺς πόδας τοῖς προειρημένοις στύμμασιν ἠρέμα ψυχροῖς ἢ χλιαροῖς, καὶ ἐγκλυστέον τὴν μήτραν τινὶ τῶν προειρημένων χυλῶν. Ἐπὶ μέντοι τῶν ἀσθενῶν καὶ τρυφερῶν γυναικῶν τοῖς μαλακωτέροις χρηστέον, ἐνίαις γὰρ ὑπὸ τῶν ἰσχυρῶν συναχθέντες σφοδρῶς οἱ περὶ τὴν μήτραν πόροι, ἢ σκληρίαν ἢ ἕλκωσιν ἐπήνεγκαν, ὡς μηκέτι δυνηθῆναι συλλαβεῖν τὴν γυναῖκα. καταπλαστέον δὲ τὸ ἐπιγάστριον καὶ τὴν ὀσφὺν τοῖς ψύχουσι καὶ τοῖς στύφουσιν, οἷον φύλλοις ἀνδράχνης, περδικίου βοτάνης, στρύχνου, ὑοσκυάμου κατ' ἰδίαν καὶ μετὰ ἀλφίτων καὶ ὄξους καὶ φοινίκων, ἢ ἀλεύρῳ κριθίνῳ μετὰ σιδίων, ἢ φοίνιξι μετὰ κυδωνίων, ἢ μεσπίλων καὶ τῶν ὁμοίων· καὶ κηρωτὰς διὰ τούτων σκευαζομένας ὑποτιθέναι τῷ ὑπογαστρίῳ καὶ τῇ ὀσφύϊ. ἐπιβοηθοῦσι δὲ καὶ σικύαι κατὰ τῆς ῥάχεως ἄνω κολλώμεναι καὶ κατὰ τὸν τῶν μασχαλῶν τόπον· ἀγαθὸν γὰρ καὶ τὰ πινόμενα φάρμακα παρὰ τῶν αἱμοπτοϊκῶν καὶ ταύταις διδόμενα, τῶν μὲν ἁπλῶν ῥέον ποντικὸν, σάμιος ἀστὴρ, λημνία σφραγὶς μετὰ χυλοῦ ἀρνογλώσσου ἢ πολυγόνου, καὶ τὰ λοιπὰ τὰ ἐκεῖσε προκατηριθμημένα ἁπλᾶ τε καὶ σύνθετα πάντα, καὶ ἡ σύμπασα δὲ δίαιτα στυπτικωτέρα ἔστω καὶ ποσῶς παχύνουσα καὶ ἀφ' ὑδροποσίας τηρείσθω. Εἰ δὲ αἱ δυνάμεις πίπτοιεν, δοτέον οἶνον τῶν παχυτέρων· εἰ δὲ ἡ πολλὴ ἔκκρισις ἀνακοπῇ, ὀλίγη δὲ ἐπιφέρεται, ἀντὶ τῶν λίαν ψυχόντων καὶ στυφόντων τὰ μέσον τούτων ποιεῖν δυνάμενα παραλαμβάνειν, ὑπὲρ τοῦ μὴ φλεγμονήν τινα ἀπεργασθῆναι καὶ ἀθρόαν ἐποχὴν γε-

3 ποτίζε B. 4 σβεννύνται B. 5 λεῖαν B. 9 τροφερῶν B. 10 χρήστεον B. 11 ἑλκώσιν B. 12 μήκετι B. 15 μετὰ τῶν B. 16 μεσπύλων A. 18 κηκῆαι B. σηκυῖαι A. σηκίαι Γ. ἡμ. διόρθ. σικύαι Ζερβ. 19 ἄνευ, τὸν ΒΓ. τόπων ΒΓ. 21 ἁπλῶς B. 23 προκαταριθμημένα B. 24 ἄνευ, πάντα A. 25 παχύνοντα, ἀντὶ, παχύνουσα B. ἐφ' ὑδροποσίας A. 26 ἢ δὲ, ἀντὶ, εἰ δὲ B. 27 „ἀνακοπὴ" τὰ κείμ. ἡμ. διόρθ. „ἀνακοπῇ" Ζερβ. 28 „μέσω" τὰ κείμ. ἅπαντ. ἡμ. διόρθ. „μέσον" Ζερβ.

νέσθαι. χρηστέον δὲ καὶ ταῖς ἐναίμοις ἐμπλάστροις, οἷον τῇ δι' ἰτεῶν, τῇ Ἱκεσίου καὶ ταῖς ὁμοίαις.

ΚΛΥΣΜΑ ΠΡΟΣ ΡΟΥΝ.

Ῥούδιον, ῥόδα, ῥοιδολέπια, ῥοῦν συρικὸν ἀφεψήσας σὺν ὕδατι καὶ ἐπιβαλὼν ἀκακίας χυλὸν σὺν μυρσίνῃ· ἀφεψήσας σὺν ὕδατι, συλλείωσον ὑποκυστίδος χυλῷ καὶ ἔνιε.

ΡΟΥ ΛΕΥΚΟΥ ΘΕΡΑΠΕΙΑ.

ΚΕΦΑΛΑΙΟΝ ΞΕ'.

Ἐπὶ δὲ τοῦ λευκοῦ ῥοῦ ἢ ἰχωροειδοῦς ἢ πελιοῦ ἐν ἀρχαῖς μὲν μὴ ἀντιπράττειν μηδὲ κωλύειν, ὡς ἀλλοτρίων τινῶν ἐκ τοῦ παντὸς σώματος ἐκκρινομένων· βλαβερὸν γάρ. Δεῖ δὲ τοῖς μετρίως στύφειν μετὰ καὶ τοῦ ἀποκαθαίρειν δυναμένοις χρῆσθαι, θερμῷ τε ὕδατι συνεχῶς ἀπονίπτειν τοὺς ἰχῶρας καὶ ἐρίοις ἀπομάττειν, ἵνα μὴ ἑλκωθῶσιν οἱ τόποι ὑπὸ τῶν παροδευόντων ὑγρῶν· περιχρίειν τε ῥοδίνῳ ἢ μυρσινίνῳ ἢ μηλίνῳ, τῷ τε ὕδατι καθαρῷ χωρὶς στυμμάτων χρηστέον καὶ μάλιστα κατὰ τοὺς πρώτους χρόνους διὰ τὴν τοῦ ἐπιῤῥέοντος δριμύτητα, ὥστε καὶ ἄλικος χυλῷ ἐγχυματίζειν καὶ ὀρύζης· εὐθετίζει δὲ καὶ τὸ τῆς τήλεως ἀφέψημα σὺν πολλῷ σουσίνῳ, χρησίμως γὰρ τὸ σούσινον καὶ τοῖς ἄλλοις παραμίγνυται χυλοῖς. γένοιντο δὲ οἱ ῥηθέντες χυλοὶ στατικώτεροι, εἰ προσλάβοιεν ἀκακίας βραχὺ ἢ ὑποκυστίδος χυλὸν ἢ ἄλλου τινὸς τῶν προῤῥηθέντων ἐπὶ τοῦ ἐρυθροῦ ῥοῦ, καὶ ἀντὶ τοῦ σουσίνου σχίνινον ἢ οἰνάνθινον ἔλαιον· ποιοῦσι δὲ καὶ σπύραθοι[1] αἰγῶν μετὰ λιβανωτοῦ ἢ σμύρνης ἢ ἀλόης καὶ

---

1 ἐκπλειστροις B. 2 „ἰτέων" τὰ κείμ. ἡμ. διόρθ. „ἰτεῶν,' Ζερβ. ἰκεσίᾳ B. 4 ῥουδίον B. 5 μυρσίνην B. 9 πελίου B. ἐνηλλημένου B. ἣν λέξιν ἀφῄρεσ. Ζερβ. 10 κωλύει A. 13 ἀποπίπτειν B. 14 „οἱ ὑπὸ τῶν" ἅπαντ. τὰ κείμ. ἡμ. διόρθ. „ὑπὸ τῶν" Ζερβ. παραδευόντων B. 15 δὲ, ἀντὶ, τε ΒΓ. τὲ A. ἡμ. τε Ζερβ. ἄνευ, „ἢ μηλίνῳ" B. δὲ, ἀντί, τε B. 16 στιμμάτων B. 18 εὐθετήσει A. τίλεως A. 19 σουνίον B. σουσίνον Γ. 21 σταλτυκότεροι B. στακτικώτεροι Γ. 22 χυλοῦ Γ. 23 ἄνευ, ἀντὶ B. 24 σποράδοι, ἀντί, σπύραθοι B.

---

[1] Σπύραθος ἡ τῶν αἰγῶν καὶ προβάτων κόπρος, οὕτω καλουμένη ἐκ τοῦ σπυροειδῆ εἶναι καὶ συμπεπιλημένη ἐξέρχεσθαι. Ζερβ.

ὀλίγου ὄξους καὶ ῥοδίνου, μετὰ δὲ τὴν ἀφαίρεσιν προκλύζεσθαι χρὴ οἴνῳ μέλανι αὐστηρῷ. Ἐπὶ δὲ τῶν ἄγαν δυσωδῶν μετὰ τὴν τῶν προγεγραμμένων χρῆσιν, ποιεῖ τετραφάρμακος ἢ κατ' ἰδίαν ἢ ῥοδίνῳ ἀνιεμένη, καὶ ἐκ διαλειμμάτων τινῶν τὰ προειρημένα καὶ πάλιν ἡ τετραφάρμακος. Εἰ δὲ ῥυπαρὰ ᾖ τὰ φερόμενα καὶ μετὰ πόνου, λεκίθοις ᾠῶν χρηστέον μετὰ κρόκου βραχέος καὶ ῥοδίνου, ἢ μηλοκυδωνίῳ ὀπτῷ παραπλησίως ἤ τινι τῶν ὁμοίων, ἀποζέματί τε φακοῦ ἐγχυματίζειν καὶ ἀρνογλώσσου χυλῷ. εἰ δὲ ῥυπαρὰ μὲν ᾖ ὡς τρυγῶδες εἶναι τὸ φερόμενον, ὀδύνης δὲ χωρίς, τοῖς δυσεντερικοῖς ἐνέμασι χρηστέον ἐγχυματίζοντας. Ἀποκαθαρθέντων δὲ τῶν τόπων καὶ ἔτι ὁμοίως δυσωδῶν φερομένων, θαρρούντως τοῖς στύφουσι κλύσμασι χρηστέον. σκληροθέντων δὲ τῶν τόπων, ὄνου γάλα μετὰ ῥοδίνου ἢ σουσίνου ἐγχεῖν καὶ ἐν πεσσῷ προστιθέναι, ὀνείου δὲ μὴ παρόντος αἰγείῳ χρηστέον. μάλιστα δὲ ὀνίνησι τὸ γάλα, εἰ ἀπὸ νομῆς τρεφόμενον ᾖ τὸ ζῷον, ἐνίοτε δὲ καὶ ἄμυλον τῷ γάλακτι προστιθέμενον ὑπὲρ τοῦ πάχος ἐμποιῆσαι τῷ ἐγχυματισμῷ, καὶ τοῖς προσθέτοις χρηστέον καὶ καταπλάσμασι τοῖς προρρηθεῖσιν ἐπὶ τοῦ ἐρυθροῦ ῥοῦ καὶ τῆς ὑπερκαθάρσεως, καὶ ἐμπλάστροις ταῖς αὐταῖς· τὸ μέντοι πλέον τῇ διαίτῃ πιστεύειν, καὶ οὐ μόνον τὸ πλῆθος ἀκριβωτέον ἀλλὰ καὶ τὴν ποιότητα τῶν ἐδηδεσμένων.

Ὕλη τροφῆς.

Ὕλη δὲ ἐπιτήδειος εἰς τροφὴν ἡ παχύνουσά τε καὶ κατακιρνῶσα· τοιαῦτα δέ ἐστι τὰ σιτώδη ῥοφήματα καὶ τὰ διὰ γάλακτος σκευαζόμενα, μὴ ὑδαρῆ καὶ διαλελυμένα ἀλλὰ σύστασιν ἔχοντα καλήν. εἰ δὲ ἐπιδέχοιτο καὶ διὰ γλυκέος κρητικοῦ σκευαζέσθωσαν, σάρκας δὲ ἐπιλέγεσθαι ἐχούσας τι καὶ ξηραντικόν, οἷαι εἰσὶν αἱ τῶν ὀρείων πτηνῶν, δεύτερον δὲ καὶ τῶν ἀγρίων ζῴων. Στεγνωθείσης δὲ τῆς ῥύσεως, φυλάττεσθαι χρὴ ἐπὶ χρόνῳ πολλῷ περιπάτους ταχεῖς καὶ τρίψεις πολλὰς τοῦ ὑπογαστρίου καὶ τῆς ὀσφύος, δριμυφαγίαν τε καὶ τὰ θερμαίνοντα καὶ φυσώδη

1 αἵρεσιν, ἀντί, ἀφαίρεσιν B. προκλυζέσθαι B. 3 ἄνευ, κατ' ἰδίαν A. 4 ἀνιέμενον B. „καὶ ἐν τισὶ διασήμασι κατ' ἄλληλον καὶ τοῖς προειρημένου καὶ τῷ τετραφαρμάκῳ χρήσιμα. εἰ δὲ ῥυπαρὰ" B. 5 ᾗ B. 6 λεκίθος B. 7 μυλοκυδωνίῳ B. 8 φακκοῦ A. 9 λιπαρά, ἀντί, ῥυπαρὰ B. ᾗ B. ὀδύνος B. ὀδύνειε Γ. 10 ἐναίμασιν, ἀντί, ἐνέμασι B. ἐγχυματίζειν Γ. 11 „καὶ ἔτι ὁμοίως κλπ." μέχρις „ὄνου γάλα" παραλείπ. B. 13 οἴνου γάλα B. καὶ ἐν μὲν A. 16 πρὸς τὸ πάχος B. τῷ πάχει Γ. 19 ἄνευ, τῇ AB. 21 ἤ, ἀντί, ἡ B. 22 κατακερνῶσα Γ. 25 ἔχουσας B. τὶ A. 29 „φυσσώδη" ἅπαντ. τὰ κείμ. ἡμ. τροποπ. „φυσώδη" Ζερβ.

καὶ διουρητικὰ τῶν ἐσθιομένων, μήτε δὲ κοιλίαν κινεῖν καὶ τὰ λουτρὰ σπανίως παραλαμβάνειν, φυλάττειν δὲ καὶ πνεύματος κατοχὴν· ὑπομνηστικὰ γὰρ τοῦ πάθους ταῦτα πάντα· γυμνάζειν τε καὶ τρίβειν τὰ ἄνω μέρη μὴ βιαίως μήτε μετὰ σπαραγμοῦ, εἶτα ἐγκαθίζειν εἰς ὕδωρ μὴ πάνυ ψυχρὸν· τῶν δὲ προσθέτων τὰ περίεργα καὶ φαρμακώδη φευκτέον, μετὰ δὲ τὸ ἐγκάθισμα ῥόδινον ἐρίῳ προσθετέον. Πινέτωσαν δὲ καὶ αὗται κατὰ τὸν τῆς θεραπείας καιρὸν τὰ ἐπὶ τῶν αἱμοπτοϊκῶν προγεγραμμένα, πρὸς τούτοις δὲ καὶ παιωνίας[1] κόκκους ὠχροὺς ὅσον ιε συνεχῶς πινέτωσαν, καὶ κοραλλίου δραχ. α μετ' οἴνου μέλανος, καὶ γίγαρτα λεῖα ὁμοίως, καὶ πιτύαν λαγωοῦ ἢ ἐρίφου ὅσον ὀρόβου μετ' ὀξυκράτου, καὶ ἀφέψημα τοῦ φλοιοῦ τοῦ λωτίνου ξύλου.

ΑΛΛΟ ΑΣΠΑΣΙΑΣ ΠΡΟΣ ΤΑΣ ΚΑΘΥΓΡΑΙΝΟΜΕΝΑΣ ΣΦΟΔΡΑ ΤΟΝ ΓΥΝΑΙΚΕΙΟΝ ΚΟΛΠΟΝ, ΚΑΙ ΔΙΑ ΤΟΥΤΟ ΠΟΛΛΑΚΙΣ ΜΗ ΚΥΙΣΚΟΥΣΑΣ.

ΚΕΦΑΛΑΙΟΝ Ξς′.

Πῶς ἔσ ὡς παρθένος γυνή.

Κηκῖδας βρέξας ὕδατι ἡμέρας η, εἶτα λαβὼν ἔριον ἁπαλὸν καθαρὸν ἀπόβρεχε ἐν τῷ ὕδατι τῶν κηκίδων, καὶ μὴ ἐκπιέσας ἔα ξηραίνεσθαι καὶ δίδου τὸ ἔριον προστίθεσθαι, καὶ ἔσται ἡ γυνὴ ὡς παρθένος· ποιείτω δὲ τοῦτο συνεχῶς. Ἄλλο. Ὀξυλαπάθου σπέρμα λειώσας ὕδατι ὀλίγῳ, εἰ δὲ χλωρὸν ἢ καθ' αὐτὸ λειώσας, δίδου προστίθεσθαι καὶ ἔσται ὡς παρθένος.

ΠΕΡΙ ΥΣΤΕΡΙΚΗΣ ΠΝΙΓΟΣ.

ΚΕΦΑΛΑΙΟΝ ΞΖ′.

Ἡ ὑστερικὴ πνὶξ κάτωθεν μὲν ἀπὸ τῆς ὑστέρας λαμβάνει τὴν ἀρχὴν,[2] εἰς συμπάθειαν δὲ ἄγει τὰ ὑπερκείμενα μέρη καὶ

---

2 τὲ, ἀντὶ, δὲ B. 4 σπαραγμῶν B. 10 κοράλλου, ἀντὶ. κοραλλίου B. 12 ξυλοῦ B. 17 κηκῖδος B. 18 ἐκπιάσας B. 19 τέα τε, ἀντὶ, ἔα B. 21 προστιθέσθαι B. 21 ἧ B.

---

[1] Οὕτως ἐκλήθησαν ἐκ τοῦ ἰατροῦ τῶν Ὀλυμπίων θεῶν Παίωνος, ὅστις καὶ ἐφεῦρε καὶ αὐτοῖς πρῶτος ἐχρήσατο ὡς πανσηδόνου φαρμάκου. Ζερβ.

[2] Ὑστερικὴ πνὶξ λέγεται, φησὶ Νόννος II. 168 ὅταν ἐξαίφνης πεσοῦσα ἡ γυνὴ μὴ ἀναπνέῃ, ἀλλὰ νομίζεται νεκρὰ εἶναι. Γινεται δὲ ἢ ἐπὶ ἐποχῆς ἐμμηνίων, ἢ δι' ἐποχὴν σπέρματος ἢ· ἑτέρας ὕλης σηπομένης ἐν τῇ μήτρᾳ, ἢ τοῖς σπερματικοῖς ἀγγείοις.

μάλιστα τὰ κυριώτατα, διὰ μὲν τῶν ἀρτηριῶν τὴν καρδίαν, διὰ δὲ τῶν τοῦ νωτιαίου μηνίγγων καὶ τῶν εἰς αὐτὴν ἐμφυομένων νεύρων τὸν ἐγκέφαλον, διὰ δὲ τῶν φλεβῶν τὸ ἧπαρ. ἔοικε δὲ ἀναδρομὴ πάσης τῆς ὑστέρας ἐπὶ τὰ ἄνω μέρη γίνεσθαι.

Σημειολογία

Παρέπεται δὲ ταῖς πασχούσαις ἐγγίζοντος μὲν τοῦ παροξυσμοῦ, διανοίας νωθρότης στυγνή, οἷον ὑπὸ ἐκπλήξεως τεθαμβωμένη, ὄκνος πρὸς τὰς πράξεις, ἀτονία σκελῶν, ὠχρότης προσώπου, βλέμμα ὑπολίπαρον, εἶτα ἐξαπίνης προσπεσούσης τῆς πνιγὸς, ἀναίσθητοι καὶ ἀκίνητοι γίνονται. μικρὸν δὲ καὶ ἀμυδρότατον τὸν σφυγμὸν[1] ἴσχουσιν, ἐνίοτε δὲ καὶ παντελῶς ἄσφυκτοι γίνονται, ἐνίαις δὲ οὐδὲ ἡ ἀναπνοὴ αἰσθητικὴ σώζεται, δηλονότι παρὰ τῆς ποιούσης αἰτίας τὴν διαφορὰν καὶ τὸ μέγεθος.

Πῶς γνῶναι εἰ σώζεται ἡ ἀναπνοή.

Καί τινες βουλόμενοι γνῶναι εἰ σώζεταί τις κἂν βραχεῖα ἀναπνοὴ, κατὰ τῆς ῥινὸς ἔριον ἐξασμένον ἀποκρεμῶσιν, εἶτα ἐκ τῆς γινομένης τούτου κινήσεως τεκμαίρονται σώζεσθαι τὴν διὰ τῆς ῥινὸς εἰσπνοὴν καὶ ἐκπνοήν. τινὲς φιάλην ὕδατος μεστὴν κατὰ τοῦ στόματος τῆς γαστρὸς ἐτίθεσαν, θεωροῦντες εἰ κίνησίν τινα ἕξει τὸ ὕδωρ· ἀγνοοῦσι δὲ οὗτοι ὡς ἡ μὲν διὰ τοῦ στόματος καὶ τῶν ῥινῶν ἀναπνοὴ ἐνίοτε οὐ γίνεται, ἡ δὲ διὰ τῶν ἐν ὅλῳ τῷ σώματι ἀρτηριῶν διαπνοὴ ἐγγίνεται, καθάπερ ἐπὶ τῶν ἰοβόλων φωλευόντων ζῴων ὁρῶμεν γιγνόμενον. τὰ γὰρ ἰοβόλα ζῷα, τὸ τῶν ὄφεων λέγω γένος, δι' ὅλου τοῦ χειμῶνος νεκροῖς ὅμοια κατὰ τοὺς ἑαυτῶν φωλεοὺς ἐρρίπται, διὰ τῶν ἐν ὅλῳ τῷ σώματι ἀρτηριῶν διαπνεόμενα. Ἐγχωρεῖ τοίνυν κἀπὶ τῆς ὑστερικῆς πνιγὸς, ἐπειδὴ κατέψυκται τὸ πᾶν σῶμα, τὴν μὲν διὰ τοῦ στόματος ἀναπνοὴν

1 ἀρτηρίων Β. 2 „αὐτὴν" ἡμ. διόρθ. „αὐτὴν" Ζερ. 3 νευρῶν Β. 5 ἐγγύζοντος ἅπαντ. τὰ κείμ. ἡμετ. διόρθ. „ἐγγίζοντος" Ζερβ. 6 ὑπ' ἐκπληξέως τε θαμβημένη Β. 7 ἄτονια Β. 8 ὑπολιπαρὸν Β. ὑπολαπαρὸν Γ. 11 αἰσθητῶς Γ. 12 διαφθορὰν, ἀντὶ, διαφορὰν Β. 13 τις αὐταῖ; Α. 14 ἐρίον Β. 15 ἄνευ, τούτου ΑΒ. 16 φυάλην Β. „κατὰ τοῦ στόματος κλπ." μέχρι „διὰ τοῦ στόματος" παραλείπ. ὁ Α. 17 ἐτιθέσαν Β. ἐπέθησαν Γ. ἡμ. διόρθ. ἐτίθεσαν Ζερβ. 18 „εἰ μὲν διὰ" ἅπαντ. τὰ κείμ. ἡμετ. διόρθ. „ἡ μὲν διὰ" Ζερβ. 19 εἰ δὲ Β. 20 ἀρτηρίων Β. ἀναπνοαί Β. γίνεται Α. ζώων φωλευόντων Β. 21 ζώα Β. ὀφέων Β. 23 ἀρτηρίων Β.

[1] Ὑστερικῆς πνίξεως ἀποτεταμένος ἐστὶ σπασμωδῶς καὶ ἀραιὸς (ὁ σφυγμὸς)· . . . τῆς δὲ ὀλεθρίας πυκνὸς, ἄτακτος καὶ ὑπεκλείπων. Γαλ. IX. δ. 197, 7.

μηδόλως γίνεσθαι, τὴν δὲ ἐν ὅλῳ τῷ σώματι διὰ τῶν ἀρτηριῶν γίνεσθαι· δυνατὸν δὲ καὶ γινομένην αὐτὴν διὰ στόματος καὶ ῥινῶν, ἐλαχίστην οὖσαν λανθάνειν τὴν αἴσθησιν. Καταφέρονται τοίνυν βαθέως αἱ τοιαῦται μετ' ἀφωνίας καὶ ἀναισθησίας καὶ ἀκινησίας, εἶτα διαλυομένων τῶν αἰτίων ἄρχεται τονοῦσθαι τὸ σῶμα καὶ ἐρευθεῖν τὰ μῆλα, διανοίγονται δὲ καὶ αἱ γνάθοι, καὶ οἱ ὀφθαλμοὶ μετὰ πλείστου βάρους ἐπαίρονται. μελλούσης δὲ ἤδη ἀνίεσθαι, προστρέχει ἐκ τῶν γυναικείων τόπων ὑγρασία πρὸς τὴν ἀφὴν, καὶ βορβορυγμὸς γίνεται τῶν ἐντέρων, αὐτή τε ἐπιχαλᾶται κατ' ὀλίγον ἡ ὑστέρα, καὶ οὕτως ἀπολαμβάνουσιν αἱ πάσχουσαι τό τε νοεῖν καὶ αἰσθάνεσθαι καὶ κινεῖσθαι. Ἐπιπίπτει δὲ τὸ πάθος ἀεὶ μὲν, μάλιστα δὲ ἐν χειμῶνι καὶ φθινοπώρῳ, νέαις δὲ μᾶλλον καὶ εὐκαταφόροις πρὸς λαγνείαν, στείραις, καὶ μάλιστα εἰ διὰ φαρμακείαν εἶεν ἄτοκοι· καὶ ψύξις δὲ ἐν καθάρσει καταμηνίων τὸ νόσημα ἀπειργάσατο, ἐνίαις δὲ καὶ ἐκτρωσμοὺς δυσχερεῖς τὸ πάθος ἐπήνεγκε, καὶ εἰ αἱμορραγίαν ἀπὸ ὑστέρας ἀποτόκως στεῖλαί τις βουληθῇ, τὸ νόσημα εἰργάσατο. μελετηθὲν δὲ τὸ πάθος, ὡς ἐπιληψία χρονίζει· τὸ μὲν ὅλως ἀκινδύνως παρεῖναι δοκοῦν, καθ' ἕκαστον παροξυσμὸν ἀποτελεῖ κίνδυνον ὀξὺν, ὡς μηδ' ἐν ἡμέρᾳ ὅλῃ ἀλλ' ἐν ὀλίγαις ὥραις ἀποκτεῖναι· τῶν μὲν σφυγμῶν ἀπὸ τῆς εὐταξίας τῆς πρόσθεν πυκνουμένων τε καὶ ἀποσπαιρόντων ἀτάκτως, βραχείας δὲ νοτίδος ὑποψύχρον τὴν ἐπιφάνειαν δροσιζούσης, τῆς δὲ ἀναπνοῆς τὸ μὲν πρῶτον ἀμαυρουμένης, μετὰ δὲ τοῦτο τελέως ἀποκοπείσης. Ψύξις δέ ἐστι πνευματικωτέρα τὸ πάθος, οὐχ ὡς ὁ Σωρανὸς ᾠήθη φλεγμονὴν εἶναι· τὸ γὰρ ἀθροιζόμενον αὐταῖς κατὰ βραχὺ σπέρμα μένον καὶ καταψυχόμενον, δίδωσι τὴν ψύξιν εἰς καρδίαν καὶ ἐγκέφαλον. καταψυχόμενα δὲ τὰ κύρια μόρια,

Ψύξις ἐσ τὸ πάθο

1 *μηδ' ὅλως ΒΓ.* „*τὴν δὲ ἐν ὅλῳ τῷ σώματι διὰ τῶν ἀρτηριῶν γίνεσθαι*" *προσθ. δι' ἄλλης γραφῆς ἐν τῷ ΒΓ.* 4 *μετὰ ΒΓ.* 8 *ἄνευ, ἤδη Α.* 14 „*φαρμακίαν*" *τὰ κείμ. ἡμ. διόρθ.* „*φαρμακείαν*" *Ζερβ. ψύξεις Β.* 16 *καὶ ἡ αἱμορραγία ΒΓ.* 17 *ἀποτόκῳ Β. ἀποτόκου Γ. ἢν στεῖλαι Β.* 19 *οὕτως ἀκίνδυνον Γ. ἑκαστὸν Β.* „*ἕκαστον δὲ*" *ἐγὼ ἀφῄρεσ. τὸ* „*δὲ*" *Ζερβ.* 20 „*ἀποτελοῦν*" *ἅπαντ. τὰ κείμ. ἡμ. διόρθ. ἀποτελεῖ Ζερβ. μηδὲν, ἀντὶ, μηδ' ἐν Β.* 22 *τὲ Α. ἀποσφαιρόντων, ἀντὶ, ἀποσπαιρόντων Β. βραχίας, ἅπαντ. τὰ κείμ. ἡμ. διόρθ.* „*βραχείας*" *Ζερβ.* 25 *ἐστὶ Β.* 27 *διδόασι Α. διδῶσι ΒΓ. ἡμ. διόρθ.* „*δίδωσι*" *Ζερβ.*

τὰ προρρηθέντα συμπτώματα ἐπάγει· οἶδα γάρ αὐτός ποτε θεασάμενος γύναιον περιπεσὸν τῷ τοιούτῳ πάθει, καὶ τῆς μαίας τὰ χαλαστικὰ καὶ εὐώδη βοηθήματα προσαγούσης, καὶ παρατριβούσης τὸ αἰδοῖον ἐσωτάτω τοῖς δακτύλοις, ὑπό τε τῆς ἐκ τῶν βοηθημάτων θερμασίας καὶ τῆς ἐκ τῶν δακτύλων ψαύσεως, ἐγένοντο συνολκαὶ μετὰ πόνου τε ἅμα καὶ ἡδονῆς, ἐφ αἷς ἐκκριθέντος παχέος τε καὶ πολλοῦ καὶ γλίσχρου σπέρματος, ἀπηλλάγη τῶν κατεχόντων αὐτὴν ὀχληρῶν ἡ γυνὴ, καὶ οὐδὲν θαυμαστὸν ἐκ τοῦ οὕτως ἐλαχίστου τοιαῦτα γίνεσθαι συμπτώματα· ὅπου γε καὶ τὰ δηλητήρια σμικρότατα διδόμενα, καὶ τῶν ἑρπετῶν ὁ ἰὸς μείζονα τούτων τὰ πάθη προσάγει, βραχυτάτου ἰοῦ διὰ στενοτάτης ὀπῆς ἐνιεμένου· οὐδὲν οὖν ἄτοπον, εἰ καὶ σπέρμα κακόχυμον ἢ καταμήνιον ὁμοίως ἔχον, ἐπισχεθέντα καὶ διασαπέντα συμπτώματα φέρει χαλεπά. τεκμήριον δέ σοι γενέσθω τὸ ἐπὶ τῶν λυττόντων κυνῶν γινόμενον· τοσαύτη γὰρ ἐν αὐτοῖς γίνεται διαφορὰ τῶν χυμῶν, ὥστε τὸ σίελον αὐτῶν μόνον ἀνθρωπίνῳ σώματι προσπεσὸν, ἀπεργάζεσθαι λύτταν. Παρὰ μὲν οὖν τὴν ποσότητα καὶ ποιότητα τοῦ ἀθροισθέντος αὐτοῦ σπέρματος καὶ καταμηνίου, ἄλλοτε ἄλλου συμπτώματος εἶδος αὐταῖς γίνεται. ψύχειν μὲν γὰρ ὅλον τὸ σῶμα δυναμένου τοῦ λυποῦντος αἰτίου, καταψύχονται σφοδρῶς, ὡς μήτε ἀναπνεῖν αἰσθητῶς μήτε σφύζειν τὰς ἀρτηρίας· παχέος δὲ ὄντος ἢ δριμέος, σπασμοὶ γίνονται. δυσθυμία δὲ παρακολουθεῖ ὅταν μελαγχολικώτερον ᾖ, λειποψυχίαι δὲ ταῖς σφοδρότησι τῶν διατάσεων ἕπονται καὶ ταῖς καταψύξεσι καὶ ταῖς τοῦ στόματος τῆς γαστρὸς κακώσεσι.

Θεραπεία. Διαδεσμεῖν τοίνυν χρὴ τὰ ἄκρα ἐν τοῖς παροξυσμοῖς, καὶ τρίβειν τοὺς πόδας ἰσχυρῶς μετὰ τῶν διαδέσμων καὶ τὰς κνήμας καὶ ὅλα τὰ σκέλη, καὶ ὀσφραντὰ ταῖς ῥισὶ προσάγειν καστόριον

---

1 „ἐπάγει· καὶ ἐγὼ μὲν εἶδον γυναῖκα τοῦτο τῷ πάθει ἁλισκομένην καὶ τῆς μαίας“ B. 6 ὀδύνης, ἀντὶ, ἡδονῆς A. „ἐφ᾽ οἷς“ κείμ. ἡμ. διόρθ. „ἐφ᾽ αἷς“ Ζερβ. 11 παθήματα, ἀντὶ, τὰ πάθη AB. „βραχύτατα“ τὰ κείμ. ἡμετέρ. διόρθ. „βραχυτάτου“ Ζερβ. διὰ τὴν στενότητα τῆς ὀπῆς AB. 12 ὕλης, ἀντὶ, ὀπῆς. 14 φέρειν B. 16 μόνων, ἀντὶ, μόνον B. 17 προσπέσον B. 19 ἄνευ, ἄλλοτε A. αὐτοῖς B. 24 λειποψυχία B. διαστάσεων, ἀντὶ, διατάσεων B.

μετ' ὄξους[1] λεῖον, καὶ διαχρίειν αὐτῷ τοὺς μυκτῆρας, ἢ χαλβάνην ὁμοίως καὶ σαγάπηνον καὶ ὄξος δριμύτατον, ἐν ᾧ ἀφήψηται γλήχων μάλιστα ἢ καλαμίνθη ἢ θύμος ἢ ὀρίγανον ἢ κόνυζα λεπτὴ καὶ τὰ οὕτω δριμέα. Ταῦτα γάρ τούς τε ἀνενεχθέντας ἐπὶ τὸν ἐγκέφαλον ἀτμοὺς ἢ χυμοὺς παχεῖς, τέμνειν πέφυκε καὶ λεπτύνειν μετὰ καὶ τοῦ θερμαίνειν τὴν ψύξιν· τὸν δὲ θώρακα καὶ τὸν πνεύμονα διακαθαίρειν καὶ τὰ εἰς τὸν στόμαχον περιεχόμενα. δεῖ δὲ τὸ τοιοῦτον ὄξος θερμὸν ὑποτιθέναι ταῖς ῥισί, καὶ πταρμοὺς κινεῖν τηνικαῦτα καιρὸς διὰ καστορίου καὶ πεπέρεως καὶ στρουθίου, διὰ πυρῆνος μήλης προστιθεμένων τοῖς μυκτῆρσι· διανοίγειν τε τὸ στόμα καὶ παραπιέζειν τὸν λειχανὸν τῶν δακτύλων ὡς ἔμετον ἐρεθίσαι, καὶ ὑποθυμιᾷν δὲ ταῖς ῥισὶ καστόριον, ἄσφαλτον, χαλβάνην, θεῖον, τῇ δὲ μήτρᾳ εὐώδη, μετὰ τοῦ χαλᾷν καὶ θερμαίνειν καὶ πνεῦμα προσκαλεῖσθαι δυνάμενα προσάγειν, οἷον ἐστὶ τὸ ἐννεαφάρμακον λεγόμενον καὶ τὰ παραπλήσια ἐπὶ σκληρίας μήτρας γραφησόμενα, ἀναλυόμενα ἀμαρακίνῳ ἢ γλευκίνῳ ἢ ἰρίνῳ ἢ κυπρίνῳ ἢ τῷ καπνιστῷ λεγομένῳ μύρῳ, προσλαμβάνοντα καὶ πήγανον καὶ κύμινον βραχύ. Τοιαῦτα δὲ προσήκει λαβοῦσαν τὴν μαῖαν τοῖς δακτύλοις, προσάγειν τῷ στόματι τῆς μήτρας καὶ παρατρίβειν ἠρέμα καὶ ἐπὶ πολύ, ἵνα τῷ ἐρεθισμῷ τὸ παρακείμενον τοῖς σπερματικοῖς ἀγγείοις παχὺ ἐρεθιζόμενον ἢ ποσῶς θερμαινόμενον ἐκκριθῇ,[2] καὶ εἰς αὐτὴν

1 αὐτῇ, ἀντί, αὐτῷ Γ. 2 ἢ σαγάπινον ὁμοίως Β. ἀφέψηται Β. 3 ἄνευ, μάλιστα Γ. „κονύζα“ τὰ κείμεν. ἡμ. διόρθ. „κόνυζα“ Ζερ. 4 ἄνευ, γὰρ ΑΒ. 5 τεμνεῖν Β. πέφυκεν ΒΓ. 7 στομάχον Β. περιεχομένα Β. 9 καὶ ῥοδιὰ καστορίου, ἀντὶ καιρὸς διὰ καστορίου Α. 11 τὸν χαλινὸν διὰ τῶν, ἀντί, τὸν λειχανὸν τῶν Γ. 15 παραπλησία Β. 17 ἢ ῥίνῳ, ἀντὶ, ἢ ἰρίνῳ Β. 19 μαίαν ΒΓ. 22 ἐκκριθῆναι Β.

[1] Γυναιξὶ δὲ τὸ ἐπίπαν πολεμιώτατον, φησὶν Ἱππ. περ. Διαιτ. II. 358. ἢ ἀνδράσιν ὄξος, ὑστεραλγὲς γάρ ἐστι.

[2] Ἡ ὑστέρα ζῷον πάθη πάσχει, ᾤοντο οἱ ἀρχαῖοι, ἐν ὀσφρήσει· ἵεται γὰρ ἐπὶ τοῖσι εὐώδεσι πρὸς ἡδονὴν καὶ τὰ κάκοδμα καὶ ἀτερπέα φεύγει. Οὔκουν ἄπο σκοποῦ τῇ ὑστερικῇ πνιγὶ ἡ ὀσμὴ τῶν κακωδέων ταῖς ῥισίν, οἷον καστορίου, ἐρίων κεκαυμένων, πίσσης ὑγρᾶς, κρομμύων καὶ σκορόδων, οὐμὴν καὶ ἀμμωνίας ἰδίᾳ, καὶ αἰθέρος, καὶ καθόλου τῶν ἔντονον διέγερσιν δυναμένων ἐπενεγκεῖν ὀσφραντῶν· κάτωθεν δὲ ὑποθυμιᾷν τοῖς εὐώδεσι τὸ αἰδοῖον, οἷον στύρακι καὶ ἀλόῃ καὶ τῶν μύρων τοῖς εὐωδεστάτοις, οἷον μαλαβαθρίνῳ καὶ ναρδίνῳ καὶ τοῖς τούτων παραπλησίοις τῇ ὀσμῇ, ἅπερ ἐγχεόμενα τῇ ὑστέρᾳ, φασὶν οἱ παλαιότεροι, κατασπᾶν αὐτὴν πέφυκε. Ζερβός.

τὴν μήτραν διὰ μητρεγχύτου[1] τὸ ἀμαράκινον ἢ γλεύκινον ἢ μαλαβάθρινον μύρον θερμὸν ἐνιέναι, καὶ τῇ ἕδρᾳ δὲ προσθῆναι πήγανον, κύμινον, νίτρον μετὰ μέλιτος, καὶ τὰ προρρηθέντα μύρα μετὰ βουτύρου ἐνιέναι· καὶ σικύαν δὲ κολλᾶν προσήκει βουβῶσί τε καὶ μηροῖς, κἄπειτα περὶ τὸ ὀμφαλοῦ μέσον καὶ ἑκατέρωθεν μετὰ πολλῆς φλογὸς ἄνευ καταχασμοῦ. σὺν τούτοις δὲ πᾶσιν ἐμβοείτω τις αὐτῇ τραχυτέραις φωναῖς, καὶ μετακλείτω τῇ οἰκείᾳ προσηγορίᾳ. Ἐγκαθίζειν δὲ αὐτὰς εἰς ἀφέψημα δάφνης καρποῦ, ἢ φύλλων γλήχωνος, καλαμίνθης, πρασίου, ἀρτεμισίας, κονύζης, βράθυος, κενταυρίου, δικτάμνου, σαμψύχου, τήλεως, ἀλθαίας, χαμαιμήλου, ἀριστολοχίας, ἴρεως, ἑρπύλλου· ἐπιμελεῖσθαι δὲ τῷ καιρῷ τοῦ ἐγκαθίσματος τῆς κεφαλῆς, ῥοδίνῳ ἐμβρέχοντα μετ' ὄξους, προαφεψήσαντα τῷ ὄξει ἕρπυλλον ἢ σπονδύλιον· ἐνίοτε δὲ καὶ καστόριον προσπλεκτέον ἢ πήγανον ἢ δαφνίδας, καὶ τὰ ὀσφραντὰ τὰ προειρημένα ἀδιαλείπτως ταῖς ῥισὶ προσάγειν καὶ μάλιστα τὸ καστόριον μετ' ὄξους· τῷ δὲ ὑποχονδρίῳ ταινίαν προσάγειν καὶ σφίγγειν, καὶ ταῖς χερσὶ πιέζειν πλατείαις τὸ στόμα τῆς γαστρός, ἀνενεχθεῖσα δὲ ἀπὸ τοῦ παροξυσμοῦ ἐπ' ἀσιτίας τηρείσθω.

Οἱ μετὰ τροφὴν παροξυσμοί.

Τὰς δὲ μετὰ τροφὴν ἐμπεσούσας τῷ παροξυσμῷ, ἐμεῖν ἀναγκαστέον· πάσας μὲν γὰρ κουφίζει ὁ ἔμετος, μάλιστα δὲ τὰς μετὰ τροφὴν παροξυνομένας· τῇ δὲ τρίτῃ σικύαν τῷ ἤτρῳ λέγω σοι προσφέρειν καὶ τῇ ὀσφύϊ, καὶ ἀμυχαῖς κατακνίζοντα τοὺς τόπους καὶ ἁλσὶν ἐπιψύχειν τὰς ἀμυχάς, καὶ ἀναλαβόντα

---

2 μῦρον Β. ἐνίεναι Β. „καὶ τῇ ἕδρᾳ δὲ κλπ.“ μεχρι „καὶ σικύαν“ στίχ. τέταρτ. παραλ. ΒΓ. 5 „περὶ τὸν ὀμφαλὸν μέσον“ κείμ. ἡμ. τροποπ. „περὶ τὸ ὀμφαλοῦ μέσον“ Ζερβ. 7 ἐμβοείτο Β. 8 προσηγόρσει Γ. τὲ, ἀντὶ, δὲ ΒΓ. 9 ἢ φύλλα, ἢ γλήχωνος Β. καλαμίνθου Β. 10 τίλεως Α. 12 ἐμβρέχοντι Β. ἐμβρέχοντες Γ. 13 προαφεψοῦντα ΑΒ. προαφεψήσαντες Γ. „προφεψήσαντα“ ἡμ. διόρθ. Ζερβ. 15 ὄσφαντα Β. 16 „μάλιστα τὸ καστόριον κλπ.“ μέχρι, „καὶ σφίγγειν“ παραλείπ. Β. ταινίᾳ Γ. 21 „σικύᾳ“ τὰ κείμ. ἡμ. διόρθ. „σικύαν“ Ζερβ. 21 μετὰ τροπὴν, ἀντὶ, τροφὴν Α. 22 δὴ, ἀντὶ, σοι Β. 23 ἀναλαβόντας Β. ἀναλαβόντες Γ.

---

[1] Μητρεγχύτης τε καὶ ἡ μητρομήλη καὶ διόπτρας πλεῖστα μεγέθη, ἀλλὰ καὶ ὁ ἐμβρυουλκὸς καὶ τὸ πολύπικον καὶ τὸ σκολοπομαχαίριον καὶ τὰ ἄγγιστρα καὶ ὁ καθετὴρ καὶ ἅπαντα τὰ καὶ νῦν ἔτι ἐν τῇ Γυναικολογίᾳ ἐν χρήσει ὄντα, πάνυ γνωστὰ καὶ οἰκεῖα ἐτύγχανον τῷ Ἀετίῳ. Ζερβός.

ἀπὸ τῶν βοηθημάτων τούτων ἀπολύειν ἐπὶ τὴν τοῦ καστορίου πόσιν· συνεχῶς γὰρ παραλαμβανομένη, πολλάκις τῆς διαθέσεως ἀπήλλαξε. διδόσθω δὲ τὸ καστόριον ὁτὲ μὲν μετ' ἀφεψήματος ἀρτεμισίας, ὁτὲ δὲ μετὰ μελικράτου ὅσον δραχ. α. καθ' ἑκάστην ἡμέραν δὲ ἡ πόσις ἔστω. κάλλιστον δὲ καὶ ἄσφαλτον σὺν τῷ καστορίῳ μιγνύειν καὶ διδόναι, πλὴν ἔστω τὸ τρίτον αὐτοῦ, καὶ καταρροφείτωσαν συνεχῶς καὶ ὄξους σκιλλιτικοῦ.[1] Ἡ μὲν οὖν ἐν τοῖς παροξυσμοῖς παραλαμβανομένη καὶ διδομένη ἐπιμέλεια τοιαύτη τις ἔστω, τῆς δὲ ἐπὶ τῶν χρονιζόντων ἀνασκευῆς κατὰ τὸ πλεῖστον ἀπὸ φλεβοτομίας ἀρχόμεθα τῆς θεραπείας, καὶ μάλιστα ἐφ' ὧν ἐπίσχεσις τῶν καταμηνίων γίνεται, ἔπειτα καὶ κάθαρσιν παραλαμβάνομεν. πρακτικωτάτη δὲ ἐστὶν ἐπὶ τούτων ἡ διὰ τῆς ἱερᾶς διὰ τῆς κολοκυνθίδος κάθαρσις, καταλληλοτέρα μέντοι γυναιξὶ καὶ τῇ περὶ τὴν ὑστέραν διαθέσει ἡ διὰ τῆς ἱερᾶς ἀλόης, ἣν πικρὰν ὀνομάζομεν. λαμβάνει δὲ ἀλόης μὲν δραχμ. ρ, ἀσάρου, κρόκου, κιναμώμου, μαστίχης, ναρδοστάχυος καὶ ξυλοβαλσάμου ἀνὰ δραχμ. στ. ξηρὸν δὲ λεῖον ἀποτίθεται τὸ φάρμακον· ἐπὶ δὲ τῆς χρήσεως πρὸς μὲν ἀθροωτέραν ὑπαγωγὴν τῆς γαστρὸς διδόναι χρὴ δραχμ. δ. μετὰ μελικράτου κυάθων στ· πρὸς δὲ μεμερισμένην καὶ σχολαίαν κένωσιν διδόναι καθ' ἑκάστην δραχ. β. ἐν τρισὶ τοῦ μελικράτου κυάθοις. οὕτω δὲ καὶ στόμαχον τονοῖ καὶ τὰς δυνάμεις συγκρατεῖ καὶ τῆς διαθέσεως ἀπαλλάττει. Δεῖ δὲ μετὰ τὴν θεραπείαν οὐκ ἐξαπίνης καταλιπεῖν τὴν πρὸς τὸ φάρμακον συνήθειαν, ἀλλὰ κατὰ βραχὺ μειοῦν τὴν δόσιν, μετὰ δὲ τὴν κένωσιν σικῦαι παραλαμβανέσθωσαν κοῦφαι μέν, μετὰ φλογὸς δὲ πλείονος καὶ βιαίως ἀποσπώμεναι, ἐνίοτε δὲ καὶ μετὰ ἀμυχῶν ἵνα τοῖς ἁλσὶ δοθῇ τόπος· αἱ δὲ ἀμυχαὶ μετὰ κηρωτῆς κυπρίνης

3 διδώσθω A. „ὅτε μὲν κλπ.“ ὅτε δὲ B. 5 ὁ πόσις B. σὺν ἄσφαλτον B. 6 μιγνύειν ὡς γράμμα B. αὐτῷ, ἀντί, αὐτοῦ A. αὐτοῦ ὅ ἔστι τὸ καταρροφείτωσαν B. 8 ἄνευ, διδομένη Γ. ἐπιμελεία B. 9 κατασκευῆς B. 11 καταμηνίου A. 12 ἔστιν B. 13 ἱερᾶς τῆς (ἄνευ, διὰ) A. καταλληλότερα B. 16 κρόκου καὶ (ἡ σύνδεσις διὰ τοῦ „καὶ“ A) 20 σκολέαν Γ. 21 ἐν τρὶ, ἀντὶ, ἐν τρισὶ B. 25 σηκυῖαι B. σηκυῖας Γ. σικυίας A. ἡμ. διόρθ. „σικῦαι“ Ζερβ. κοῦφας A.

[1] Ἐκ τῆς σκίλλης τῆς καὶ ἐπιμενιδείας παρὰ τοῖς ἀρχαίοις καλουμένης ἐξ Ἐπιμενίδου τοῦ ἐνθέρμου ταύτης ἐπαινέτου. Λατ. Scilla, κοιν. σκιλλοκρόμυδον· γνώριμος τοῖς πᾶσι βολβός. Ζερβός.

ἀπουλούσθωσαν, εἶτα ἐπιρριπτέσθω μάλαγμα καθ' ὅλου τοῦ ἐπιγαστρίου τὸ διὰ σπερμάτων τὸ ἐν τοῖς σπληνικοῖς προγεγραμμένον, τὰ μὲν πρῶτα σὺν κηρωτῇ προσπλεκόμενον, ὕστερον δὲ κατὰ βραχὺ τῆς κηρωτῆς ἀφαιρουμένης, αὐτὸ καθ' αὐτὸ ἐπιρριπτέσθω μέχρις οὗ ψιδράκια κατὰ τῆς ἐπιφανείας ἰονθώδη προκαλέσηται. Τούτων δὲ ἀπουλωθέντων δι' ἐμπλάστρου λευκῆς ἤ τινὸς τῶν πρὸς τὰ πυρίκαυστα, τοῖς δρωπακισμοῖς[1] γίνεται χώρα καὶ τοῖς σιναπισμοῖς καὶ τοῖς δι' εὐφορβίου ἀκόποις, πυρέθρου τε καὶ ἀδάρκης καὶ πεπέρεως. συμβάλλεται δὲ τοῖς βοηθήμασι καὶ δίαιτα πᾶσα, περίπατοι μὲν ἕωθεν, αἰώρα δὲ ἐπ' αὐτῶν ἡ διὰ ζευκτοῦ ἢ πλοίου ἢ ὄνου, μετὰ δὲ τὴν αἰώραν κίνησις καὶ ἀναφώνησις χρησίμη, καὶ ἀνάγνωσις μετὰ μελισμοῦ καὶ κραυγῆς καὶ εὐτροπίας, καὶ μετὰ διάστημα σύμμετρον ἄλειμμα καὶ τρίψεις καὶ γυμνάσιον γυναιξὶ πρέπον, λουτρὸν δὲ σπάνιον καθαριότητος μόνης ἕνεκα, καὶ δὶς δὲ καί τρὶς ἐπὶ τὴν αὐτὴν θεραπείαν ἀνακαμπτέον πρὸς τὸ βιαίως λυθῆναι τὴν διάθεσιν. ὕστατον δὲ ἐστὶ βοήθημα ἡ τῶν αὐτοφυῶν ὑδάτων χρῆσις, πρῶτον μὲν θερμῶν ἔπειτα δὲ ψυχρῶν. Μετὰ δὲ τὴν ἀπαλλαγὴν οὐκ ἀμελητέον παντάπασι τῆς γυναικὸς, ἀλλὰ προφυλακῆς χάριν ἐκ διαλειμμάτων τινῶν καὶ μάλιστα περὶ τὸν ὕποπτον καιρὸν, ἐγκαθίσμασι χρῆσθαι τοῖς προειρημένοις καὶ προσκλύσμασι συνεχῶς, ἀφεψήματος ἐλελισφάκου, γλήχωνος, λινοζώστεως, ἐκ δὲ τούτων αὐτῶν καὶ τῶν θερμαίνειν καὶ μαλάσσειν δυναμένων πεσσοὺς προστιθέναι, καὶ μάλιστα μετὰ τὰ λουτρά. ἄριστον δὲ καὶ τὰ καταμήνια κατὰ καιρὸν εὔροα ποιεῖν, καὶ συνουσίᾳ χρῆσθαι συνεχῶς. Ὁ δὲ φιλόσοφος φησὶν ἐπὶ γυναικός τινος τῇ

Τί ὁ φιλόσοφος φησί.

1 καθόλου, ἀντὶ, καθ' ὅλου B. 2 τὸ διὰ σπερμάτιον B. 3 ἄνευ, σὺν κηρωτῇ B. ἴσα κηρωτῇ Γ. προσπλεκόμενα Γ. 6 προσκαλέσεται A. „προσκαλέσητε" τὰ λοιπ. ἡμ. διορθ. „προκαλέσηται" Ζερβ. 7 ἄνευ, τὰ ΒΓ. 8 „χῶρα" τὰ κείμ. „χώρα" ἡμ. διόρθ. Z. 9 πεπερέως B. συμβάλλει δὲ B. συμβαλλέτω Γ. 11 αὐτοῦ B. ζευτοῦ A. ζευγοῦ B. ζεύκτου Γ. ἡμ. διόρθ. „ζευκτοῦ" Ζερβ. „μετὰ δὲ τὴν κτλ." μέχρι „χρησίμη καὶ" παραλείπ. B. 12 μελησμοῦ B. 13 συμμέτρον B. 15 καθαρώτητος Γ. 17 ἐστι B. 18 ἄνευ, δὲ B. 19 παντάπασιν B. 21 προκλύσμασι B. 22 ἀφεψήματος, B. 26 „κεχρῆσθαι" ἅπαντ. τὰ κείμ. ἡμ. τροποπ. „συνουσίᾳ χρῆσθαι" Ζερβ.

[1] Δρωπακισμός ἐστὶν ἡ μάδησις τῶν τριχῶν τῆς κεφαλῆς διὰ δρώπακος, κοιν. πισσωτῆς σκούφιας καλουμένου. Ζερβ.

ὑστερικῇ πνιγὶ περιπεσούσης μετὰ τὴν τῶν πολλῶν βοηθημάτων ἀποτυχίαν, ὡς ἀνήθινον ἔλαιον θερμαίνοντες, καὶ τὰς ἐκστήμονας τῶν γυναικῶν ἀγαθίδας[1] *τὰς στρογγύλας βάπτοντες καὶ ἀποπιέζοντες, προσηνέγκαμεν ξηρότερον· καὶ ζεούσας τὰς ἀγαθίδας δύο ἔχοντες ἐν ἑτοίμῳ, καὶ μίαν παρὰ μίαν προσφέροντες ἵνα μὴ ψύχωνται οἱ τόποι, καὶ πολλὴν ὥραν τοῦτο πράξαντες ἀνώδυνον τὴν γυναῖκα πεποιήκαμεν· ἐπεθήκαμεν δὲ καὶ τῷ ὀμφαλῷ κηρωτὴν δι' ἀραχνῶν. Ἄλλο πρὸς ὑστερικὰς πνίγας καὶ ἀλγήματα.* *Ἄλλο π ὑστερι πνίγα* *Χελώνην χερσαίαν ἢ παραλίαν ἐν πεσσῷ ὑποτίθει· ἀπαράβατόν ἐστι καὶ χρῶ τούτῳ θαρρῶν.*

ΠΑΡΑΔΕΙΓΜΑΤΑ ΠΕΣΣΩΝ ΣΚΕΥΑΣΙΑΣ ΠΡΟΣ ΥΣΤΕΡΙΚΑΣ ΠΝΙΓΑΣ ΕΚ ΤΩΝ ΦΙΛΑΓΡΙΟΥ.

ΚΕΦΑΛΑΙΟΝ ΞΖ′.

Πεσσοὶ δὲ τῇ διαθέσει ταύτῃ κατάλληλοι εἰσὶ τοιοῦτοι· στέατος χηνείου γοστ ἤτοι οὐγ. στ. μαστίχης, στέατος φασιανοῦ, στύρακος ἀνὰ γογ ἤτοι οὐγ. γ. κηροῦ γοστ ἤτοι οὐγ. στ. ναρδίνου μύρου, ναρδοστάχυος, κρόκου ἀνὰ γοα ἤτοι οὐγ. α. ὁ κρόκος οἴνῳ εὐώδει παλαιῷ λειούσθω, ἔστω δὲ ὁ οἶνος ἀπηλλαγμένος πάσης στύψεως. Ἄλλο. Κηροῦ γοστ. ἀμώμου, μαστίχης ἀνὰ γοα. *Ἄλλο* *ὀποβαλσάμου, βαλσάμου, ἰρίνου ἀνὰ γογ. Ἄλλο Σύνθετον. Στύρακος γοβ.* *Σύνθε* *κηροῦ λευκοῦ γοθ ἤτοι οὐγ. θ. κασίας, ναρδοστάχυος, ἀμώμου, κρόκου, μαστίχης ἀνὰ γοα. στέατος χοιρείου, τερεβινθίνης ἀνὰ γοστ. λιβάνου γοαζ ἤτοι οὐγ. αζ. στέατος χηνείου, στέατος φασιανοῦ ἀνὰ γογ ἤτοι οὐγ. γ. ὀποβαλσάμου, κρινίνου μύρου, ἀμαρακίνου, κυπρίνου, ναρδίνου καὶ ἰρίνου ἀνὰ γοα. εἰ δὲ ἐν-*

2 εἰς ἀνήθινον *ΒΓ.* ἀνηθένον *Β.* „ἐκστήμωνας" τὰ κείμ. ἡμ. διόρθ. „ἐκστήμονας". Ζερβ. 3 στρογγύλλας *Β.* βλάπτοντες, ἀντὶ, βάπτοντες *Β.* 4 ζέουσας *Β.* 5 ἑτοίμῳ *Β.* 6 ψύχονται *Β.* 8 πνιγὰς *Β.* 9 ἀπαβατὸν ἐστι *Β.* 10 ἐστὶ *Α.* 18 παλαίῳ *Β.* τοῖς δὲ ὁ οἶνος, ἀντὶ, „ἔστω δὲ ὁ" *Α.* 19 κήρου *Β.* 20 ἄνευ, βαλσάμου *ΒΓ.* ἄνευ, ἰρίνου *Α.* ἄνευ, σύνθετον *ΒΓ.* στυράκος *Β.* 21 „κασσίας" ἄπαντ. τά κείμ. ἡμ. διόρθ. „κασίας" Ζερβ. 23 λιβάνου φύλλων *Α.* 25 „εὐτονώτερον" τὰ κείμ. „ἐντονώτερον" ἡμ. διόρθ. Ζερβ.

[1] Ἀγαθίδες καλοῦνται αἱ τῶν στημόνων ἢ ῥαμμάτων δέσμαι κοιν. κουβάρια ὧν ἡ ἐνταῦθα χρῆσις ἦν οἷα νῦν ἐν τῇ Γυναικολογίᾳ ἡ τῶν „βυσμάτων" ἢ ἄλλως **tampon** καὶ **tamponnemen** καλουμένων. Ζερβ.

τονώτερον βούλει ποιῆσαι, ἐπίβαλλε καὶ καρδαμώμου δραχ. δ. ἢ ἀκαλήφης[1] ἤτοι κνίδης ὁμοίως. Χρὴ δὲ ἀφαιρεῖν καὶ προστιθέναι τὰ θερμαίνοντα, πρὸς τὴν τοῦ ἀέρος κατάστασιν ἀποβλέποντα· θερμῆς γὰρ οὔσης τῆς καταστάσεως, ἀφαιρεῖν χρή· ψυχρᾶς δὲ προστιθέναι.

ΑΛΕΙΜΜΑΤΩΝ ΣΚΕΥΑΣΙΑ ΦΙΛΑΓΡΙΟΥ ΠΡΟΣ ΤΟ ΠΡΟΚΕΙΜΕΝΟΝ ΠΑΘΟΣ.

Ἀλείμματα δὲ χρήσιμα ταῖς λουομέναις, προφυλακῆς χάριν τοιαῦτα σκευαζέσθω· ἐλαίου γλυκέος λίτρ. α. ἄγνου σπέρματος τεθλασμένου γοστ. πηγάνου σπέρματος τεθλασμένου γογ. κασίας κεκομμένης τὸ ἴσον κόψας, μίγνυε τῷ ἐλαίῳ καὶ ἡλίαζε ἐν τοῖς ὑπὸ κύνα καύμασιν ἡμέρας μ. εἰ δὲ καὶ θέλεις ἢ διὰ τὴν ὥραν τοῦ ἔτους ἢ διὰ τὴν χώραν ἢ διὰ τὴν κρᾶσιν τῆς γυναικὸς θερμοτέρας ἢ ψυχροτέρας ὑπαρχούσης, ἐπιτείνειν ἢ ἀνιέναι τὴν δύναμιν τοῦ ἀλείμματος, προστίθει καὶ ἀφαίρει τῶν φαρμάκων ὅσον ἂν σταχάζῃ καλῶς ἔχειν. Μὴ παρόντος δὲ τοῦ σκευαστοῦ ἀλείμματος, ἔξεστιν ἰρίνῳ μύρῳ προσπλέκειν πήγανον ἢ κασίαν ἢ ἄμωμον ἢ ἄλλο τι τῶν προειρημένων, καὶ ἄγειν εἰς χρῆσιν. ἐξέσται δὲ αὐταῖς καὶ χωρὶς τοῦ λουτροῦ τοῖς τοιούτοις ἀλείμμασι χρῆσθαι κατὰ τοῦ ὑπογαστρίου καὶ τῆς ὀσφύος· σφοδρότερον δὲ εἰ βούλει ποιῆσαι τὸ φάρμακον, ἀδάρκης κεκαυμένης ἢ ἀκαύστου μίγνυε τὸ σύμμετρον, ἢ πυρέθρου ἢ πεπέρεως λειοτάτου, καὶ δαφνίνου ἐλαίου ἢ κηκίνου καὶ τῶν παραπλησίων, ἵνα παχύτερον τὸ ἄλειμμα γένηται.

Ἄλλο ἄλειμμα.

Ἄλλο ἄλειμμα πρὸς τὸ αὐτό. Τερεβινθίνης, δαφνίνου ἐλαίου ἀνὰ γοστ. ἰρίνου, ἀνηθίνου ἀνὰ λίτρ. α. κανάβεως σπέρματος, ἀδάρκης ἀνὰ γοβ. πεπέρεως,

2 ἢ πηγάνου καὶ ἀκαλήφης B. κνίδος B. 3 ἄνευ, πρὸς B. ἀποβλέποντος B. ἀποβλέποντας A. 8 ἀλείμματος B. 10 κασσίας ἅπαντ. τὰ κείμ. „κασίας" ἡμ. διόρθ. Z. 12 κῦνα ΒΓ. καὶ διὰ τὴν, ἀντί, ἢ διὰ τὴν A. 13 ἄνευ, διὰ τὴν κρᾶσιν A. 14 ἄνευ, ἢ ψυχροτέρας A. 15 ἀφαιρεῖ B. 16 στοχάζειν B. στοχάζει Γ. 17 „κασσίαν" ἅπαντ. τὰ κείμ. Z. 19 αὐτοῖς, ἀντί, αὐταῖς B. 20 „κεχρῆσθαι" ἅπαντ. τὰ κείμ. ἡμ. διόρθ. „χρῆσθαι" Ζερβ. σφόδρα, ἀντί, σφοδρότερον ΒΓ. 22 λειοτάτων B. 24 παχυτέρον B. ἀλείμμα B. γένοιτο B. ἀλείμμα B.

[1] Ἀκαλήφη ἢ κνίδη κοιν. τσουκνίδα καλουμένη, ἐκ τοῦ οὐχὶ καλήν, ὡς γνωστόν, τὴν ἀφὴν ἔχειν. Ζερβ.

ἐλελισφάκου, καλαμίνθης ἀνὰ γοα. πυρέθρου γοβ. μελανθίου, κασίας ἀνὰ γοα. τὰ ξηρὰ λειώδη καὶ χνοώδη ποιήσας μίσγε τοῖς τηκτοῖς, καὶ ἀνελόμενος φύλαττε· ἐπὶ δὲ χρείας μιγνύων τινὶ τῶν θερμαντικῶν ἐλαίων, ὅσον ἐξαρκεῖ ὡς ὑγρότερον γενέσθαι, χρῶ ἀλείφων ὑπογάστριον καὶ ὀσφύν.

ΥΠΟΚΑΠΝΙΣΜΑ ΥΣΤΕΡΙΚΟΝ.

Κόπρον τὴν λευκίζουσαν τοῦ κυνὸς καὶ βράθυ, ἀμφότερα μίξας ἐπὶ ἴσης μοίρας ὑποκάπνιζε· καὶ εἰ μὲν στρόφοι γένωνται, παύονται τὰ τῆς διαθέσεως.

ΠΕΡΙ ΤΩΝ ΠΙΝΟΜΕΝΩΝ ΦΑΡΜΑΚΩΝ ΠΡΟΣ ΤΟ ΠΡΟΚΕΙΜΕΝΟΝ ΠΑΘΟΣ, ΦΙΛΑΓΡΙΟΥ.

Χρῆσθαι δὲ αὐτὰς παραινῶ συνεχῶς ἐν τῷ τῆς προφυλακῆς καιρῷ τῷ διοσπολιτικῷ φαρμάκῳ, καὶ τῷ διὰ καλαμίνθης, καὶ τῷ διὰ τριῶν πεπέρεων, καὶ μιγνύειν ἑκάστῳ αὐτῶν ἐπὶ τῆς χρήσεως τινὰ τῶν φθειρόντων καὶ ἐλαττούντων τὸ σπέρμα, οἷον ἐστὶ ἄγνου σπέρμα, καὶ πηγάνου σπέρμα, καὶ κανάβεως, καὶ νυμφαίας ῥίζαν, καὶ λοιπὰ εἴδη προειρημένα ἐν τῷ περὶ ἀφροδισίων λόγῳ. πότιζε δὲ συνεχῶς καὶ καστορίου δραχ. α. μετὰ ἀνίσου ὀλίγου. Ἐπὶ δὲ τῶν κυουσῶν γυναικῶν ἁλισκομένων δὲ τῇ ἀπνοίᾳ, τὰ μὲν ἔξωθεν βοηθήματα προσφέρειν χρὴ πρὸς τὴν τοῦ σώματος κρᾶσιν ταῦτα ἁρμόζοντας, τοῖς δὲ καταπινομένοις ἢ ἐγχεομένοις ἢ προστιθεμένοις ταῖς ὑστέραις οὐδὲ ὅλως χρηστέον, ὥσπερ οὐδὲ κλυστῆρι οὐδὲ φλεβοτομίᾳ, κίνδυνος γὰρ ἐφ' ἑκάστῳ τούτων ἐκτρῶσαι τὴν κυοφοροῦσαν. ἐπὶ τούτοις ἅπασι μεμνῆσθαι προσήκει, ὡς ταῖς μὲν μήτε ἀνάσπασιν μήτε παρέγκλισίν τινα πεπονθυίαις κατὰ τὴν ὑστέραν, ἔντονα φάρμακα προσφέρειν ἀναγ-

Εὐμέθ-
δος χρῆ-
τῶν πρ-
ρηθέντ-
βοηθη-
μάτων

2 „κασσίας" ἅπαντ. τὰ κείμ. Z. 3 ἀνελομένους B. φυλάττε B. 4 ἐξαρχεῖ, ἀντὶ, ἐξαρκεῖ B. 7 ἀντί, „κυνὸς" εἰς τὸ περιθόριον ὁ A. ἔχει ὡς διόρθωσιν „περιστερῶν". ἀμφοτέρα B. 8 καὶ οἱ μὲν στροφοὶ B. „στροφοὶ" τὰ λοιπ. κείμ. ἡμετ. διόρθ. „στρόφοι" Zερβ. 13 διὸς πολιτικῷ B. 14 πεπέρι B. 18 ποτίζε B. 19 ἐπὶ δὲ τῶν κυουσῶν κλπ. ὁ B ἔχει ὡς ἴδιον κεφάλαιον. γυναικῶν κυουσῶν B. 21 „κράσιν" ἅπαντ. τὰ κείμ. ἡμ. διόρθ. κρᾶσιν. Z. 22 οἱ δὲ, ἀντὶ, οὐδὲ B. 23 οὔ δὲ B. οὐ δὲ B. κινδύνος B. ἐφ' ἑκάστου Γ. 25 ἀνασπάσιν B. 26 εὔτονα BΓ.

καῖον, εἰς τὴν τοῦ παντὸς σώματος ὑγρότητα καὶ ξηρότητα ἀποβλέποντας· καὶ ταῖς μὲν μαλακὸν καὶ ἀραιὸν ἐχούσαις τὸ σῶμα, τὰ ἀσθενέστερα προσάγειν, ταῖς δὲ ἐναντία τὰ ἰσχυρότερα· καὶ ταῖς μὲν νέαις τὰ ἁπλούστερα, ταῖς δὲ προβεβηκυίαις τὰ εὐτονώτερα· καὶ ταῖς μὲν διατάσεως αἰσθανομέναις ἐφ' ὅλου τοῦ σώματος ἐπὶ φυσώδει πνεύματι, τὰ ἄφυσα μᾶλλον διδόναι, ταῖς δὲ βάρους μᾶλλον αἰσθανομέναις, τὰ τμητικώτερα καὶ λεπτυντικώτερα· ταῖς δὲ δριμύτητος, τὰ χλιαρᾶς ὑπάρχοντα δυνάμεως προσάγειν. Εἰ δὲ παρέγκλισις ἢ ἀνάσπασις ἢ φλεγμονή τις εἴη περὶ τὴν ὑστέραν, ἀσθενέστερα πάντα προσάγειν. τὰ μὲν γὰρ σφοδρότερα τοῦ δέοντος, κεκρυμμένα παροξύνει πάθη καὶ κωλύει τὴν τοῦ σπέρματος ἔκκρισιν, τὰ δὲ συμμέτρως κεκραμένα πρὸς τὸ θεραπευόμενον σῶμα καὶ τὴν διάθεσιν αὐτὴν ὀνίνησι, καὶ τῇ τοῦ σπέρματος ἐκκρίσει συνεργεῖ.[1]

ΠΕΡΙ ΓΟΝΟΡΡΟΙΑΣ, ΣΩΡΑΝΟΥ.

ΚΕΦΑΛΑΙΟΝ ΞΗ'.

Τί ἐστὶ γονόρροια. Ὁμοίως τοῖς ἀνδράσι καὶ αἱ γυναῖκες περιπίπτουσι τῷ τῆς γονορροίας πάθει· γονόρροια δὲ σπέρματος ἐστὶν ἔκκρισις χωρὶς προθυμίας καὶ ἐντάσεως, χαλᾶται γὰρ ἡ μήτρα καὶ ἀδυναμία παρέπεται καὶ συντήκεται τὰ σώματα κατὰ βραχύ· συρρεῖ γὰρ πρὸς τὴν μήτραν κατ' ὀλίγον ἡ ἀπὸ τοῦ σώματος ὕλη, ἀλλοίωσιν βραχεῖαν ἐν τοῖς τόποις ὑπομένουσα, καθάπερ ἐπὶ τῶν ὀφθαλμῶν ἰώντων τὸ δάκρυον. Χρονίζειν δὲ εἴωθε τὸ πάθος· διὸ προσφάτου μὲν ὄντος αὐτοῦ ὥσπερ ἐν τοῖς παροξυσμοῖς, παρηγορητικὰ ἀκτέα τὰ ἠρέμα στύφοντα ἀφεψήματα, οἷον ἐστὶ ῥόδα, μυρσίνη, Θεραπεία. σχῖνος, βάτος καὶ τὰ ὅμοια· περιχρίειν δὲ τὸ ἦτρον καὶ τοὺς

2 ἀποβλέποντα A. 2 λεπτὸν, ἀντὶ, ἀραιὸν, διόρθωσ. εἰς τὸ περιθόρ. τοῦ A. „ἐχούσας" τὰ κείμ. ἡμ. διόρθ. „ἐχούσαις" Ζερβ. 3 κατ' ἐναντίαν B. 5 διατάσεις Γ. 6 ἀφύσα B. 11 κεκρυμμένου B. 12 κεκραμμένα BΓ. 14 συνάγει, ἀντὶ, συνεργεῖ B. 17 ἄνευ, αἱ B. τὸ τῆς B. 22 ὀφθαλμιώντων, ἀντὶ, ὀφθαλμῶν ἰώντων A. 23 χρονίζει B. 25 εὐκτέα AB. 26 σχίνος B. ἧτρον B.

[1] Ὁ δὲ θειότατος κατὰ τὸν Γαληνὸν Ἱπποκράτης περὶ ὑστερικῶν παροξυσμῶν τοῦ λόγου γενομένου φησί. VII. 316 ταῦτα ποιέειν τὴν χήρην, ἄριστον δ' ἐν γαστρὶ σχεῖν· τὴν δὲ παρθένον πείθειν ξυνοικῆσαι ἀνδρί.

βουβῶνας ἀκακίαν καὶ ὑποκυστίδα μετ' οἴνου αὐστηροῦ καὶ τὰ παραπλήσια, καὶ τοῖς διὰ φοινίκων καὶ κυδωνίων καὶ μυρσίνης καταπλάσμασι καὶ κηρωταῖς χρῆσθαι. ἔλασμα δὲ μολύβδου πλατὺ καὶ λεπτὸν ὑποβλητέον τῇ ὀσφύϊ, καὶ μὴ τρυφερὰ ἔστω τὰ ὑποστρώματα, ἐμέτοις δὲ χρηστέον καὶ τοῖς ἀπὸ τροφῆς μὲν μάλιστα δὲ νήστεσι, καὶ γυμνάζειν τὰ ἄνω μέρη καὶ τρίβειν ἐπὶ πολὺ, μὴ λιπαίνειν δὲ ὅλως μηδὲ θερμαίνειν τὰ πεπονθότα μέρη. ποτίζειν τε ἁλικακάβου ῥίζης ἐξηραμένης ἐν σκιᾷ δραχ. α. μεθ' ὕδατος ἢ ἄγνου σπέρματος ὁμοίως, ἢ κανάβεως ἢ πηγάνου σπέρματος. Τροφὰς δὲ διδόναι μὴ διαλελυμένας, μηδὲ ῥοφηματώδεις, μηδὲ γεννητικὰς τοῦ σπέρματος ἢ ἐρεθιστικὰς, ἀλλὰ ξηροφαγεῖν τὰ πλεῖστα, καὶ τῶν πτηνῶν τι λαμβάνειν ὀπτὸν καὶ οἶνον ὀλίγον κιρρότερον, φεύγειν δὲ καὶ τὰ λοιπὰ ἐρεθιστικὰ τῶν ἀφροδισίων, ὡς μηδὲ ἐν ζωγραφίαις χαρακτῆρας δεικνύειν εὐμόρφους, μηδὲ τοὺς περὶ συνουσίας λόγους τίθεσθαι, καὶ στυγνὰς τὰς διαγωγὰς ποιεῖσθαι καὶ ἀναγνώσεις ὁμοίως καὶ διηγήματα. Χρονιζούσης δὲ τῆς διαθέσεως, καὶ γυμνασίοις χρῆσθαι καὶ ἀφιδρώσεσι καὶ τρίψεσι καὶ βαλανείοις ψυχροῖς, ῥοδίνῳ τε συνεχῶς χριστέον τὸ ἦτρον καὶ τὴν ὀσφὺν, χρηστέον δὲ καὶ τοῖς ἐπὶ τῆς τῶν ἀνδρῶν γονορροίας καὶ ὀνειρώξεως προγεγραμμένοις βοηθήμασι.

Πόμα.

Τροφαί

Οἱ ἐν ζω- γραφίαι εὔμορφο χαρακτῆ ρες ἐρε- θιστικο τοῖς ἀφρ διsίοις.

ΠΕΡΙ ΑΤΟΝΟΥΣΗΣ ΜΗΤΡΑΣ, ΣΩΡΑΝΟΥ.

ΚΕΦΑΛΑΙΟΝ ΞΘ΄.

Ὥσπερ καὶ τὰ ἄλλα μόρια τοῦ σώματος, οὕτως καὶ ἡ μήτρα ἐνίοτε ἀτονεῖ· παρέπεται δὲ ταῖς πασχούσαις συνουσίας ἀποστροφὴ, ἔκκρισις σπερμάτων, πλεονασμὸς καταμηνίων, δὶς ἢ τρὶς τοῦ μηνὸς ἐπιφαινομένων ἀτάκτως, μελανωδῶν, ὑδατωδῶν, καὶ οὐ κατέχεται τὸ καταβαλλόμενον σπέρμα τοῦ ἀνδρὸς, ἀλλ' ἀπορρεῖ μετὰ τὴν συνουσίαν αἷς μὲν εὐθὺς, αἷς δὲ μετὰ ἡμέρας τινάς. τινὲς δὲ περὶ τὸν τρίτον μῆνα φθείρουσι τὰ ἔμβρυα, τὰ δὲ μὴ

---

3 μολίβδου *A.* 4 ἀποβλητέον *B.* ἄνευ, μὴ *AB.* 7 μὴ δὲ *BΓ.* 8 τὲ *A.* σκίᾳ *B.* 9 πηγάνου σπέρματα *A.* 10 μὴ δὲ *B.* 12 κιρροτέρον *B.* 13 φυγεῖν *A.* 14 μὴ δὲ *B.* 15 στύγνας *B.* 16 χρονίζουσης *B.* 17 ἀφιδρῶσεσι *B.* 18 χρηστέον *B.* 19 ἤτρον *B.* 23 ἀλλὰ, ἀντὶ, ἄλλα *B.* 24 ἀτονοῖ *B.* 25 ἄνευ, ἔκκρισις σπερμάτων *Γ.* 25 πνευμάτων, ἀντὶ, σπερμάτων *B.* ἄνευ, σπερμάτων *Γ.* 26 ἐπιφερομένων *B.*

φθαρέντα ἄτροφα καὶ ἀσθενέστερα γίνεται. ἐν δὲ τῷ καιρῷ τῶν καταμηνίων παρέπεται βάρος τοῦ ὑπογαστρίου, ὀσφύος καὶ σκελῶν, ὁ στόμαχος κακοπραγεῖ, κἀκ τούτου ἐνίοτε καὶ παράνοιαι γίνονται, ἀναθυμιάσεων περὶ τὴν κεφαλὴν γινομένων, τὰ αὐτὰ δὲ συμπτώματα καὶ ταῖς ὑστερικῶς πνιγομέναις παρέπεται, ἐνίοτε καὶ μελαγχολικαῖς παρανοίαις συμπίπτουσιν αἱ πάσχουσαι καὶ μανίαις. Συμβαίνει δὲ τὸ πάθος ἐκ συνεχῶν τόκων καὶ ὑστέρας διατάσεων, καὶ μάλιστα ὅταν μεγάλα εἴη τὰ ἔμβρυα· ἐκλεκτέον δὲ ἐν τῇ θεραπείᾳ τὰ δυνάμενα τόνον ἐντιθέναι καὶ ῥώμην τοῖς πεπονθόσι μορίοις. ἐγκαθίσματα οὖν παραλαμβάνειν χρὴ τὰ στύφοντα, χλιαρὰ μέντοι τῇ ἁφῇ, καὶ ἐγχυματιστέον τὴν ὑστέραν ῥοδίνῳ τε χλιαρῷ ἢ ναρκισσίνῳ ἢ μηλίνῳ ἢ σουσίνῳ, καὶ τοῖς ὁμοίοις τὸ ὑπογάστριον ἀλειπτέον καὶ τὴν ὀσφύν. γυμνάζειν δὲ συνεχῶς ὅλον τὸ σῶμα γυναικὶ πρέπουσι γυμνασίοις, καὶ τροφαῖς χρηστέον ὀλίγαις μέν, κρεώδεσι δὲ καὶ ὑποστυφούσαις ἠρέμα, καὶ οἶνον ὁμοίως στύφοντα μετρίως κιρρὸν διδόναι. ὀλίγον δὲ ἔστω τὸ πλῆθος τοῦ πινομένου, μᾶλλον δὲ ἡ δίψα ἐπιτηδεία τῷ πάθει. παραιτεῖσθαι μέντοι τὰ διὰ γάλακτος καὶ τυροῦ σκευαζόμενα πάντα, καὶ πᾶσαν κάθαρσιν καὶ κοιλιολυσίαν.

Πόθεν συμβαίνει τὸ πάθος.

ΠΕΡΙ ΠΑΡΑΛΥΣΕΩΣ ΜΗΤΡΑΣ, ΤΟΥ ΑΥΤΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Ο΄.

Παραλύεται δὲ ἡ μήτρα πολλάκις διά τε τὰς ἄλλας αἰτίας, καὶ δι' ἐπάλληλον ἔκτρωσιν. παρέπεται δὲ ταῖς πασχούσαις συνουσίας ἀποστροφή, κατάψυξις τοῦ στομίου τῆς μήτρας, καὶ τὸ εὐτροφώτατον αὐτὸ καὶ λιπαρώτατον καὶ οἱονεὶ ῥακωδέστατον ὑπάρχειν. χαλᾶται δὲ ὁ τράχηλος αὐτῆς ἐπὶ πολὺ καὶ ἀναισθητεῖ, καὶ ποτὲ μὲν ἐποχὴ τῶν καταμηνίων γίνεται τελεία, ποτὲ δὲ παραποδισμὸς τῆς ἐκκρίσεως, ἐν δὲ ταῖς συνουσίαις τὸ σπέρμα ἢ οὐδόλως ἐν τῷ κύτει τῆς ὑστέρας ἀκοντίζεται, ἢ καθάπερ ἀπὸ

---

2 ἄνευ, παρέπεται ΒΓ. 5 ὑστερικαῖς Β. 7 τοκῶν Β. 8 ἄνευ, ὑστέρας Α. „καὶ μάλιστα ὅταν μεγάλα“ παραλείπ. Β. ὦσι, ἀντί, εἴη Β. βρέφη, ἀντί, ἔμβρυα Β. 9 „ἐκλεκτέον δὲ ἐν τῇ κλπ.“ μέχρι „καὶ ῥώμην“ διαγράφει Β. 19 τύρου Β. κοιλωλυσίαν Β. 22 παραλύσεται Β. ἄνευ, τὰς Β. 23 ἐπ' ἀλλήλων Β. 25 ἄνευ, τὸ Β. ἄνευ, οἱονεί, ΒΓ. οἱωνεὶ Α. ἡμ. διόρθ. οἱονεί. Ζ. 29 οὐδ' ὅλως Β. κήτει Β.

ἀψύχου τόπου ἀποῤῥεῖ παραυτίκα, ποτὲ δὲ κατὰ συμπάθειαν καὶ οὔρων ἢ σκυβάλων ἀπρεπὴς ἔκκρισις γίνεται. Ἡ δὲ θεραπεία καὶ ταύτης ὁμοία τῇ ἐπὶ στραγγῆς καθάρσεως προειρημένῃ, καὶ καστορίου πόσις συνεχὴς, καὶ πεσσῶν θερμαινόντων προσαγωγὴ, καὶ ἐγχυματισμῶν καὶ ἀλειμμάτων.

ΠΕΡΙ ΠΡΟΠΤΩΣΕΩΣ ΥΣΤΕΡΑΣ, ΤΟΥ ΑΥΤΟΥ.

ΚΕΦΑΛΑΙΟΝ ΟΑ΄.

Πρόπτωσις τῆς ὑστέρας λέγεται ἡ τῆς ἐκτροπῆς περὶ τὴν μήτραν ἀπειλή· οὐ γὰρ ὡς τινὲς ὑπολαμβάνουσιν, ἀπολυθεῖσα ἡ μήτρα τῶν προσφύσεων ὅλη προπίπτει, οὐδὲ γὰρ ἀποκαταστῆναι δύναται, ἐὰν τοιαύτη γένηται πρόπτωσις. τὸ δὲ προπίπτον παραπλήσιον ἐστὶν ὠοῦ στρουθοκαμήλου, παρὰ τὸ μᾶλλον καὶ ἧττον πρὸς λόγον τῆς κατὰ τὴν βίαν γινομένης ἐκτροπῆς. Προπίπτει μὲν οὖν σπανίως διὰ πλείους αἰτίας, καὶ γὰρ ἀφ' ὕψους κατενεχθεῖσα γυνὴ καὶ ἐπὶ τὰ ἰσχία ἑδρασθεῖσα πάσχει τὸ τοιοῦτον, ῥηγνυμένων καὶ ἀποσπωμένων τινῶν ὑμένων, τῶν συνδεόντων αὐτὴν πρὸς τὰ παρακείμενα· γίνεται δὲ καὶ δι' ἐξολκὴν ἔντονον τοῦ χορίου, ὅπερ μάλιστα ἐν ταῖς λεγομέναις ὠμοτοκίαις συμβαίνει, καὶ ἄτεχνος δὲ ἐμβρυουλκία εἰργάσατο τὸ πάθος. γίνεται δὲ καὶ διὰ κατοχὴν τοῦ πνεύματος καὶ διὰ βάρους ἄρσιν καὶ διὰ πληγὴν, ἐνίοτε δὲ καὶ διὰ παράθεσιν ὑγροῦ πολλοῦ καὶ γλίσχρου, τῇ πολλῇ ἐπιτέγξει[1] χαλαρῶν καὶ παρειμένων γενομένων τῶν κατὰ τὸν ἄνω πυθμένα αὐτῆς ἐξαρτημάτων. Συμβαίνει δὲ τοῦτο καὶ διὰ ψυχικὸν πάθος· ἢ γὰρ τέκνων ἀποβολῆς προαγγελθείσης, ἢ πολεμίων ἐφόδου, ἢ κατὰ θάλασσαν χειμασθεῖσαι σφοδρῶς, ἔπαθον τὴν πρόπτωσιν[2] λυθεῖσαι τὸ πᾶν σύγκριμα,

Αἰτίαι προπτώσεως.

1 *ψύχου B.* 2 *καὶ σκύβαλων B.* 3 *στρογγῆς B.* 4 *καστορίοις B.* 10 *προσπίπτει B.* 16—17 *συνδύντων B.* 18 *εὔτονον A.* *ὠμοτοκίας B.* 19 *ἄτεχνοι A.* 22 *παραμένων B.* 24 *ψυχρὸν B.* *αἵ γὰρ, ἀντὶ, ἢ γὰρ B.* 26 *λυθεῖσαι δὲ B.*


[1] *Ἐπίτεγξις· ἡ ὕγρανσις, ἡ μαλάκυνσις, ἡ ὑγρασία ἐστὶ λατ.* humectatio, *ἐκ τοῦ* humecto *ὑγραίνω. Ζερβ.*

[2] *Ἀλλὰ καὶ ἕτερα ψυχικὰ πάθη ἔντονα, οἷον σφοδρὰ ὀδύνη καὶ λύπη ἔντονος, ἢ τἀνάπαλιν χαρὰ καὶ εὐφροσύνη ἰσχυρὰ προὐκάλεσε ταῖς γυναιξὶ τὸ πάθος, ἐν ᾧ κατὰ τοὺς ἀρχαίους ὀρέουσι τὰ μὴ θετὰ ἔξω καὶ βαυκαλῶσι τὴν ὑστέρην. Ζερβός.*

ὥστε καὶ τὴν μήτραν ἐξολισθήσασαν προπεσεῖν. ἔσθ' ὅτε δὲ
[illegible] ἀσθενησάντων, καὶ τῶν

Θεραπεία ἔναιμος.

σαντας" παραλ. Α. 28 εψημων [illegible]
ποιήσαντες Β. 28 ἄνευ, χρὴ Α. ἄνευ, καὶ Β. 29 διημένοις Γ.



Τελεία πρόπτωσις ὑστέρας ἡλκωμένης.

ὑστέρᾳ καὶ διαβιβάζειν πᾶν τὸ προπεπτωκὸς ἠρέμα ἀναθλίβοντας, ἄχρις οὗ ἡ μήτρα ἐπὶ τὸν ἴδιον τόπον ἀναχωρήσῃ, καὶ ὁ τοῦ ἐρίου ὄγκος ὅλος ἐν τῷ κόλπῳ γένηται, τοῦτ' ἔστιν ἐν τῷ αἰδοίῳ· εἶτα ἔρια ἔξωθεν ἐπιτιθέναι οἴνῳ στύφοντι βεβρεγμένα. εἶτα σκέπειν τὸ ἦτρον ὅλον σπόγγῳ ἢ ἐρίοις ὀξυκράτῳ βεβρεγμένοις καὶ ἐπιδεσμεῖν, ἐκτείνειν τε τὰ σκέλη τῆς γυναικὸς, ὥστε τὸ ἕτερον ἑτέρῳ ἐπικεῖσθαι, μετὰ δὲ τοῦτο σικύας προσβλητέον μετὰ φλογὸς πλείονος πρὸς ὀμφαλὸν καθ' ἑκάτερον λαγῶνα, καὶ ὀσφραντὰ ταῖς ῥισὶν εὐώδη συνεχῶς προσενεκτέον.[1] Τῇ δὲ τρίτῃ τῶν ἡμερῶν ἐγκειμένου τῷ κόλπῳ τοῦ ἐρίου, ἐγκαθιζέτω ἡ γυνὴ εἰς οἶνον μέλανα αὐστηρὸν κεχλιαμένον ποσῶς, ἢ εἰς ἀφέψημα βάτου ἢ μυρσίνης ἢ σχίνου ἢ σιδίων. μετὰ δὲ τὸ ἐγκάθισμα κατακλιθείσης αὐτῆς ὑπτίας, ὡς ὑψηλότερα ἔχειν τὰ πρὸς τοῖς ἰσχίοις, τὸ μὲν ἐγκείμενον ἔριον ἐξαιρείσθω, ἕτερον δὲ ἐντιθέσθω βεβρεγμένον τῷ αὐτῷ φαρμάκῳ. καταπλαττέσθω δὲ τὸ ἐπιγάστριον φοίνιξιν, ἀλφίτοις, σιδίοις, φακῷ μετ' ὀξυμέλιτος, καὶ διὰ τρίτου αὐτὰ γινέσθω μέχρις ἀποθεραπείας. Τὰς δὲ πολλάκις προπιπτούσας, ὀξυκράτῳ περιπλύνειν θερμῷ καὶ ἐγκαθίζειν τῷ ὀξυκράτῳ ἐπὶ ἱκανὸν χρόνον, ἔπειτα τὰ προειρημένα ποιεῖν. ἐνίοτε δὲ διὰ τὴν τῶν τόπων εὐαισθησίαν παραιτούμενος τὸ ὄξος, τὴν μέλαιναν[2] τὴν ἐν τῇ φακῇ εὑρισκομένην ἀναλέξας καὶ διαλύσας ὕδατι θερμῷ καὶ καταντλῶν ἐπὶ πολὺ, τοῦτο σφόδρα ὠφελεῖ. μετὰ δὲ τὴν κατάντλησιν τῇ προειρημένῃ ἀγωγῇ ἐχρησάμην. Ὅταν δὲ διὰ

Ἐγκάθισμα.

Μετὰ τὸ ἐγκάθισμα.

---

2 ἀναχωρῇ A. 3 ἄνευ „ὅλος" AB. 12 κατακλισθείσης B. 13 ἄνευ, τοῖς B. 14 ἐξαιρέσθω B. ἐξαίρει A. 15 καταπλαζέσθω B. 16 φακκῷ A. 17 παντελοῦς θεραπείας B. 20 „τῶν τόπων κλπ." μέχρι „μέλαιναν" παραλείπ. B. 21 ἄνευ, „τῇ" B.

---

[1] Καὶ ταῖς μὲν ῥισὶ τὰ εὐωδέστατα τῶν μύρων προσενεκτέον, οἷον μαλαβάθρινον καὶ ἴρινον καὶ νάρδινον μύρον, πρὸς δὲ καὶ ἀλόην καὶ στύρακα καὶ τὰ παραπλήσια· κάτωθεν δὲ ὑποθυμιᾶν τοῖς δυσωδεστάτοις τῶν φαρμάκων οἷον καστορίῳ, κρομμύοις τε καὶ σκορόδοις, κέρατί τε ἐλαφείῳ ἢ αἰγείῳ ἐπ' ἀνθράκων κεκαυμένῳ· καὶ ὡς ἐπίπαν τὰ ἐναντία τῇ ὑστερικῇ πνιγὶ πάντα μηχανητέον, τὸν οἰόμενον τὴν ὑστέραν ζώου πάθη πάσχειν ἐν ὀσφρήσει, καὶ ἐπὶ τοῖσι μὲν εὐώδεσι ἵεσθαι πρός ἡδονὴν, τά τε κάκοδμα καὶ ἀτερπέα φεύγειν. Ζερβός.

[2] Μέλαιναν φησὶ τὴν ἀνεμώνην ὁ Διοσκ. οὔκουν ἄτοπον, εἰ „μέλαιναν τὴν ἐν τῇ φακῇ" τὴν ἀγρίαν ἀνεμώνην νοεῖ ὁ Ἀέτ. τὴν παρὰ τῇ φακῇ δηλονότι φυομένην, ἧς ἡ θαυμασία ἐνέργεια ταῖς τε ὀδύναις καὶ ταῖς φλεγμοναῖς γνωστὴ τοῖς πᾶσι, ἕνεκεν τῶν ναρκωτικῶν αὐτῆς σταχείων. Ζερβός.

γλισχρότητα χυμῶν δυσχερῶς ἀναβιβάζηται, τρυγίαν οἴνου κεκαυμένην ἢ νίτρον ἢ κονίαν στακτὴν παραμίξαντα, ἠρέμα τοὺς τόπους χρίειν καὶ πυριᾷν στύμμασιν ἢ τῷ διηθήματι τῆς εἰρημένης γῆς. καὶ καταχρίσαντα πλύμασι μολύβδου μετὰ μυρσινίνου ἐλαίου ἢ μηλίνου ἢ στύμμασιν, ὁμοίως τὸ προπεπτωκὸς εἰς τὸν κόλπον ἀναβιβάζειν ὡς προείρηται. ὑποθυμιατέον δὲ αὐτὰς συνεχῶς τοῖς δυσώδεσι, περισκέποντας πάντοθεν, ταῖς δὲ ῥισὶν ὀσφραντὰ εὐωδέστατα προσάγειν· συμμέτρῳ τε καὶ εὐχύμῳ τροφῇ χρήσθωσαν, οἴνῳ τε καὶ εὐώδει καὶ λεπτῷ καὶ διὰ συχνοῦ τοῦ καιροῦ οὐρητικῷ σὺν τοῖς ἄλλοις. νάρκης[1] δὲ φασὶ τὸ δέρμα τῆς ποταμίας, νεόδαρτον ἐνδυθὲν τῇ προπτώσει ἀναστέλλειν αὐτὴν, τό τε κέντρον τῆς θαλασσίας τρυγῶνος μετὰ χυλοῦ ὑοσκυάμου χριόμενον. φροντίζειν δὲ δεῖ μὴ ὑπαχθῆναι αὐτῆς ἄγαν τὴν κοιλίαν, συνεκλύεται γὰρ καὶ χαυνοῦται καὶ χαλᾶται τὰ παρακείμενα σὺν τοῖς ἄλλοις ἀγγεῖα καὶ τῆς μήτρας τὰ μόρια. Εἰ δὲ παραμεῖναν τὸ προπεπτωκὸς διασαπῇ τῷ χρόνῳ, ἐξ ἀμελείας καὶ τοῦ οὔρου ἐπιτέγξεως καὶ ῥύπου ἑλκούμενον, ἀφαιρετέον αὐτὸ τέμνοντας ἢ ἀποδεσμοῦντας ἢ καίοντας, μηδένα κίνδυνον ὑφορωμένους. καὶ γὰρ καὶ ὅλην ἀφαιρεθῆναι μήτραν διασαπεῖσαν ἱστορεῖται, καὶ ζῆσαι τὴν γυναῖκα.

Εἰ διασαπῇ.

ΠΕΡΙ ΠΑΡΕΓΚΛΙΣΕΩΣ ΚΑΙ ΑΠΟΣΤΡΟΦΗΣ ΚΑΙ ΑΝΑΔΡΟΜΗΣ ΜΗΤΡΑΣ, ΑΣΠΑΣΙΑΣ.

ΚΕΦΑΛΑΙΟΝ ΟΒ′.

Ἐπισχεθέντος δὲ τοῦ καταμηνίου ταῖς γυναιξὶ, πλήρωσις παρέπεται τῶν εἰς τὴν μήτραν καθηκουσῶν φλεβῶν τε καὶ ἀρτηριῶν·

2 „παραμίξαντας“ τὰ κείμ. ἡμ. διόρθ. „παραμίξαντα“ Ζερβ. 3 συριᾷν, ἀντὶ, πυριᾷν Β. 4 μολίβδου Α. 5 μυλίνου Β. 6 αὐτὰ Β. 9 δὲ, ἀντὶ, τε Β. ἄνευ, καὶ Β. „καὶ διὰ συχνοῦ“ κλπ. μέχρι „νάρκης“ παραλ. Β. 10 οὐρητικῶν Α. ἡμ. διόρθ. „οὐρητικῷ“ Ζερ. „νάρκης δὲ κλπ.“ μέχρι „μόρια“ (15 στίχος) παραλ. Α. 14 χαλεῖται ΒΓ. ἡμ. διόρθ. „χαλᾶται“ Ζ. 15 „σὺν τοῖς ἄλλοις ἀγγεῖα“ παραλείπ. Β. 16 ὑπομείναν Β. ὑπομεῖναν Γ. ἐξ ἀναντλησίας Α. 17 οὐροῦ Β. ἑλκομένον Β. 18 καίαντας Β. 24 ἄνευ, δὲ ΒΓ. 25 τὲ Α. ἀρτηρίων Β.

[1] Νάρκη ἐκλήθη ὅ τε θαλάττιος καὶ ὁ ποτάμιος οὗτος ἰχθὺς ἔκ τε τῆς αἱμωδιάσεως καὶ τῶν μυρμηγκισμῶν, οὓς παρέχει τῇ προσψαυούσῃ αὐτοῦ χειρί. κοιν. μουδιάστρα. Ζερβός.

παραγίνεται μὲν γὰρ ἄχρι τῆς μήτρας τὸ αἷμα, εἴσω δὲ οὐκ εἰσέρχεται, ποτὲ μὲν αὐτὸ ὅλον παχύτερον ὑπάρχον ἢ κατὰ τὰ στόματα τῶν ἀγγείων ἐνθρομβούμενον, ἔστι δ' ὅτε μυσάντων τῶν στομίων κωλύεται· ὥστε ἐν ταῖς φλεψὶ πληθύνον τὸ αἷμα, ἐκείνας μὲν διατείνει καὶ διαβρέχει τὰ πλησιάζοντα ἀρτήματα τῆς μήτρας, τῇ δὲ τούτων τάσει κατὰ τὸ συνεχὲς αἱ μῆτραι σὺν τοῖς ἀγγείοις ἀνασπῶνται. Ἐὰν μὲν οὖν ἰσορρόπως ἐξ ἑκατέρων τῶν μερῶν ἕλκωνται πάντοθεν ἀπαρεγκλίτως, ἢ ἡ μετάστασις ἢ ἡ ἀνάσπασις ἢ ἡ ἀναδρομὴ τῆς μήτρας γίνεται· ἐὰν δὲ ἑτερρόπως ἕλκηται, πρὸς τὸ μᾶλλον ἕλκον μέρος ἐκκλίνεται, τινὸς τῶν κατὰ παρέγκλισιν ἢ παρασπασμὸν μορίων ἰδικῶς τὰ τοιαῦτα ἀγγεῖα πληροῦντος τῷ αἰτίῳ χυμῷ· σπληνὸς τοιγαροῦν πρὸς τὸ ἀριστερὸν ἕλκοντος ἢ ἥπατος πρὸς τὸ δεξιὸν, ἡ παρέγκλισις γίνεται· ἢ καθ' ἑκατέρων τῶν μερῶν, εἰς ὃ μᾶλλον τὸ περίττωμα τὰ οἰκεῖα πληροῦν ἀγγεῖα ἀνασκήπτει· καταλαμβάνεται μὲν πρῶτον τῇ καθέσει τῶν δακτύλων εἰς ποῖον μέρος γέγονεν ἡ διαστροφὴ, καὶ τοῖς παρακολουθοῦσι δὲ σημείοις.

Παρέγκλ σις πλαγί

Εἴς τινα μὲν οὖν τῶν πλαγίων τῆς μήτρας παρεγκλιθείσης, τοῦ πλησίον μηροῦ γίνεται τάσις καὶ πόνος καὶ κατάψυξις καὶ παραποδισμὸς καὶ νάρκη, ποτὲ δὲ καὶ ἀτροφία τοῦ μέρους καὶ παρεμποδισμὸς τοῦ ἵστασθαι ἢ καὶ περιπατεῖν ἀδυνατεῖν.

Εἰς τὰ ὀπίσω.

Εἰς δὲ τὰ ὀπίσω ἢ κάτω παρεγκλιθείσης, παρακολουθεῖ νάρκη καὶ δυσκινησία τῶν σκελῶν ἀμφοτέρων, ἔστι δ' ὅτε καὶ παντελὴς ἀκινησία καὶ ἀλγηδὼν τῶν τόπων, ἐπέχεται δὲ καὶ κοιλία καὶ τὸν κλυστῆρα παραδέχεσθαι οὐ δύναται, ἐὰν μὴ ἐπὶ γόνατα σχηματισθῶσιν. ἐπέχονται δὲ καὶ φῦσαι καὶ ὀδύναι γίνονται ἐν τῷ καθίζειν, καὶ μάλισθ' ὅταν περὶ τὸν δακτύλιον ἡ παρέγκλισις μᾶλλον γένηται.

Εἰς τὰ ἄνω.

Εἰ δὲ ἄνω καὶ πρὸς τὸ ἐφήβαιον ἡ παρέγκλισις γέγονε, παρατείνεται τὸ ὑπογάστριον καὶ ὀδύνας ἐμποιεῖ, ἐπέχεται δὲ ἐνίοτε καὶ τὰ οὖρα.

Θεραπεί

Καθόλου μὲν οὖν ἐν τοῖς παροξυσμοῖς ἐμφερῶς ταῖς φλεγμοναῖς πάσας τὰς ὁπωσοῦν πασχούσας θεραπεύειν, ἐν δὲ ταῖς ἀνέσεσι καὶ παρακμαῖς τοῖς μαλακωτέροις χρῆσθαι. χρονίσαντος

1 εἶσω B. 7 ἀνασποῦνται B. 8 ἕλκονται B. ἀπαρέγκλιτος Γ. ἢ μετάστασις, ἄνευ, ἡ B. 9 „ἕλκεται" τὰ κείμ. ἡμ. διόρθ. „ἕλκηται" Ζερβ. 12 του γάρου, ἀντὶ, τοιγαροῦν B. „πρὸς τὸν" τὰ κείμ. ἡμετ. διόρθ. „πρὸς τὸ" Ζερβ. 13 ἢ αὐτῆς καθ' ἑκατέρων A. 14 πληρούσης A. ἄνευ, ἀνασκήπτει B. 15 δὴ, ἀντὶ, πρῶτον A. 18 μήρου B. 22 ἄνευ, ὅτε B. 23 ἀλγηδῶν B. κοιλίαν B. 25 φύσσαι ΒΓ. 26 ἄνευ, μᾶλλον B. 27 ἄνευ, ἀντὶ, ἄνω B.

δὲ τοῦ πάθους τὰ μετὰ συγκρίνειν δυνάμενα προσάγειν, ἰδίως τὴν ἐπὶ τὴν ἕδραν ἀποστροφὴν τῆς μήτρας οὕτω βοηθεῖν. Πρῶτον

Ἀποστροφὴ ἐπὶ τὴν ἕδραν.

μὲν οὖν τῷ δακτύλῳ παρακελεύεσθαι τῇ μαίᾳ ἀποδιωθεῖν διὰ τῆς ἕδρας τὴν ὑστέραν, ἔπειτα βαλάνιον προστιθέναι τῷ δακτύλῳ εὔμηκες τετραδάκτυλον, γεγονὸς ἐκ χαλβάνης καὶ κηροῦ, ἐξ ἄκρου δὲ σπαρτίῳ δεδεμένον ἔσω εἰς τὸ ἐπισπᾶσθαι, ἢ καστόριον λεῖον σὺν ὕδατι ἀνηλειμμένῳ ἐρίῳ ἐντιθέναι ὁμοίως τῷ δακτύλῳ, ἢ ἄσφαλτον ὁμοίως ξηρὰν, ἢ πίσσαν ὑγρὰν παραπλησίως· τῇ δὲ ἑξῆς ἴρινον ἢ σούσινον ἐνιέναι χλιαρὸν τῇ τε μήτρᾳ καὶ τῷ ἀπευθυσμένῳ.

Πυρίαι.

Πυριᾶν δὲ τοὺς τόπους ἀρωμάτων ἀφεψήματι ἢ πρασίου ἢ κονύζης ἢ τινὶ τῶν παραπλησίων, ἐνίοτε δὲ καὶ τῷ ἀπὸ τῶν ἀρωμάτων ἀφεψήματι ἐγκλυστέον τὴν ὑστέραν, καὶ μετὰ ταῦτα ῥοδίνῃ κηρωτῇ χρηστέον. εἰ δὲ εἰς τὰ πλάγια ἡ παρέγκλισις γένηται πυριᾶν ὁμοίως, ἔπειτα δακτύλῳ τὸν πηρῆνα τῆς μήλης ὑποβάλλουσαν τὴν μαῖαν ἀπευθύνειν χρὴ τὸν τράχηλον τῆς μήτρας, κατακλίνειν δὲ τὴν πάσχουσαν ἢ εἰς τὸν ἐναντίον τῷ

Πεσσοί.

πονοῦντι μέρει τόπον ἢ ὑπτίαν. Πεσσοῖς δὲ χρῆσθαι μαλάσσουσιν ἢ ἀναστομοῦν δυναμένοις, παρεγχυματίζοντα τινὶ τῶν προειρημένων μύρων, ἐπὶ δὲ τὸ ἦτρον ἐπιθετέον ἔριον οἴνῳ καὶ ῥοδίνῳ θερμῷ βεβρεγμένον, ἢ λινοσπέρματος χυλῷ κηρωτὴν ἀναλαβὼν ἐπιτίθει. προποτίζειν τε αὐτὰς καστόριον σὺν ἀνίσῳ μετ' ὀξυμέλιτος κεκραμένον, ἢ κυμίνῳ ἢ μελανθίῳ ἢ παιωνίᾳ ῥίζῃ ὁμοίως, ἢ μυρσινίνου ἢ δαύκου σπέρμα ἢ ἀριστολοχίας ἢ γεντιανῆς ἢ ἑλενίου. ταῦτα δὲ καὶ πρὸς τοὺς αἰφνιδίους πόνους τῆς ὑστέρας βοηθεῖ οὐ μόνον κατ' ἰδίαν ἕκαστον, ἀλλὰ καὶ μετ' ἀλλήλων. ἔστω δὲ καὶ τὰ πρὸς τῇ κεφαλῇ μετέωρα, εἰ δὲ ἀναδεδραμηκυῖα ἡ μήτρα ταχὺ, τοῖς δυσώδεσιν αὐτὰς ἀποσφραντέον συνεχῶς καὶ πταρμοὺς κινεῖν, καὶ διὰ καθετῆρος τὸ οὖρον κομίζειν εἰ ἐπέχεται. Καὶ εἰ μὲν ἐπὶ τούτοις λύεται ὁ παροξυσμὸς ἀσμενιστέον, ἐπινοητέον δὲ ἐκ τοῦ συμπτώματος· ἐὰν νέαι ὦσι καὶ πολύαιμοι,

---

1 προσάγοντα *A.* προσάγοντας *B.* 5 γεγονὼς *B.* 6 σπαρτίον *B.* ἄνευ, ἔσω *A.* καστορίον *B.* 10—11 κονίζης *B.* 12 κατὰ, ἀντὶ, μετὰ *B.* 13 ῥοδίνῳ *B.* 14 „τὴν πυρῆνα" τὰ κείμ. „τὸν πυρῆνα" ἡμ. διόρθ. Ζερβ. 17 ποιοῦντι, ἀντὶ, πονοῦντι *B.* 18 παρεγχυματίζοντι *B.* παρεγχυματίζοντας *Γ.* 19 ἄνευ, δὲ *B.* ἧτρον *B.* 21 προσποτίζειν *B.* δὲ, ἀντὶ, τε *B.* 22 κεκραμμένον *B.* παιονίας ῥίζης *B.* 24 αἰφνηδίου *Γ.* 25 ἴδιον *B.* 26 ἀναδεδρομυῖα *B.* ἀναδεδρομηκυῖα *Γ.* 29 ἐπέχηται *Γ.* 30 ἐαννέαι *B.*

φλέβα τέμνειν τὴν ἐν ἀγκῶνι, ἔπειτα καὶ τὰ δυνάμενα προτρέπειν τὰ καταμήνια ποτίζειν, καὶ πεσσοῖς τοῖς πραοτέροις χρῆσθαι.

ΠΕΡΙ ΕΜΠΝΕΥΜΑΤΩΣΕΩΣ ΜΗΤΡΑΣ.

ΚΕΦΑΛΑΙΟΝ ΟΓ'.

Ἐμπνευματοῦσθαι πέφυκεν ἡ ὑστέρα μετὰ τοὺς τοκετοὺς ἐνίοτε ψυχομένη, εἴτε μύοντος τοῦ στόματος αὐτῆς εἴτε ὑπὸ θρόμβου αἵματος ἐμφραγέντος. συνίσταται δὲ ἡ ἐμπνευμάτωσις ποτὲ μὲν ἐν τῇ κοιλότητι τοῦ κύτους τῆς μήτρας, ποτὲ δὲ περὶ τὴν αἰσθητὴν εὐρυχωρίαν τῆς μήτρας· ἐν αὐτῷ δὲ τῷ σώματι αὐτῆς, τουτέστιν ἐν τοῖς ἀδήλοις πόροις ἡ τῶν πνευμάτων ἀπόληψις γίνεται. Παρέπεται δὲ ταῖς πασχούσαις διόγκωσις τοῦ ἤτρου ἢ καὶ ὅλου τοῦ ἐπιγαστρίου ὡς ἐπὶ τοῦ τυμπανίτου ὕδρωπος, πόνοι τε παρακολουθοῦσι νυγματώδεις διήκοντες μέχρι διαφράγματος καὶ στομάχου, διατεινομένων οὐδὲν ἧττον ἑκατέρωθεν τῶν πλευρῶν. καὶ ποτὲ μὲν ὁ ἕτερος τῶν βουβώνων ποτὲ δὲ ἀμφότεροι, τισὶ δὲ καὶ περὶ τὸν ὀμφαλὸν αἴσθησις τῆς ὀδύνης γίνεται, ὀσφύος τε καὶ κτενὸς δηλονότι, συμπάθειά τε τῆς κεφαλῆς. ἔστι δ' ὅτε καὶ τοῦ πνεύματος γίνεται ἐκφύσησις διὰ τοῦ γυναικείου αἰδοίου, ὥστε αὐτὰς τὰς πασχούσας αἰσθάνεσθαι. Εἰ μὲν οὖν τὸ πνεῦμα ἐν τῷ κοιλώματι τῆς ὑστέρας εἴη συνηθροισμένον, παρέπονται βορβορυγμοὶ καὶ ψόφοι τινὲς αἰσθητοὶ ἐν ταῖς μετακλίσεσιν, ὃν τρόπον κἀπὶ τῶν ἐντέρων ἐπειδὰν στρόφος καταλάβῃ, πρός τε τὴν ἐκ τῶν δακτύλων ἐπίκρουσιν ἦχος τυμπανώδης. ὅταν δὲ ἡ ἐμπνευμάτωσις ἐν τοῖς ἀδήλοις πόροις αὐτοῦ τοῦ σώματος τῆς ὑστέρας συσταίη, αἱ ὀδύναι σφοδρότεραι καὶ δυσιατώτεραι εἰσὶν. Ἡ δὲ θεραπεία, ἀσιτία, ἐμβροχαὶ δι' ἐλαίου θερμοῦ καὶ γλυκέος ἐν ᾧ ἀφήψηται πήγανον καὶ ἄνηθον, καὶ εἰ μὴ ἀντιπίπτει ἡ ἡλικία καὶ ἡ ὥρα καὶ ἡ χώρα καὶ τὰ λοιπά, κένωσις αἵματος διὰ φλεβοτομίας καὶ ἐγκαθίσματα δι' ἀφεψήματος πηγάνου, γλήχωνος, καλαμίνθης, πρασίου, θύμου, ἀρτεμισίας, ἀλθαίας καὶ ἰσχάδων·

Σημε

Θεραπ

---

7 μόνου, ἀντί, μύοντος Α. 9 ἄνευ, κύτους Α. 10 εὐρυχωρίων Β. ἄνευ, τῷ Β. 12 ἡ καί, ἀντί, ἢ καί Β. 13 ὑπογαστρίου Γ. δέ, ἀντί, τε Β. 18 συμπαθείᾳ Γ. δέ, ἀντί, τε Β. 22 κατακλίσεσιν ΑΒ. 25 καὶ πόροις Β. ἄνευ, τοῦ Β. 29 ἄνευ, καὶ ἡ ὥρα Β.

κάθαρσις δὲ διὰ τῆς κολοκυνθίδος ἱερᾶς Ῥούφου ἢ Ἀρχιγένους.

'Εν τοῖς παροξυσμοῖς.

Ἐν δὲ τοῖς παροξυσμοῖς ἐγχυματισμοὶ παραλαμβανέσθωσαν ἀνετικοί, χαλαστικοί, διαλυτικοὶ πνευμάτων, οἷον ἐστὶ τὸ γλεύκινον ἔλαιον ἢ πεσσὸς τῆς τοιαύτης δυνάμεως, διαλυόμενος πολλῷ ἐλαίῳ καὶ διὰ μητρεγχύτου ἐγχεόμενος, καταπλάσματά τε κοῦφα δι' ἰσχάδων, ὑσσώπου καὶ νίτρου. εἰ δὲ θρόμβοι εἶεν αἴτιοι τῆς ἐμπνευματώσεως, συνεχῶς ἐγκαθίζειν, καὶ εὐθὺς μετὰ τὸν ἐγκαθισμὸν ἡ μαῖα λελιπασμένον τὸν δάκτυλον ἐμβαλοῦσα καὶ τὸν ἐγκείμενον θρόμβον πραέως διαλύσασα κομιζέσθω. Χρονιζούσης δὲ τῆς ἐμπνευματώσεως, ἐν μὲν τοῖς παροξυσμοῖς τὰ ἀνετικώτερα προσάγομεν, διαλείμματος δὲ γενομένου τὰ σώματα τονοῦμεν διὰ συναλειμμάτων θερμοτέρων καὶ τρίψεων τῶν σκελῶν καὶ τῶν πασχόντων τόπων· τὴν ὀσφὺν τε καὶ τὸ ὑπογάστριον δρώπακι καταχρίομεν καὶ τῷ διὰ νάπυος καὶ ἰσχάδων φοινιγμῷ χρώμεθα, ἢ τὸ κρίθινον μετὰ σύκων ἡψημένον καὶ πηγάνου καὶ ὑσσώπου καὶ μέλιτος καταπλάττομεν, καὶ τὸ διὰ σπερμάτων ἐπίθεμα ἢ τὸ διὰ δαφνίδων ἢ τὸ πολυάρχιον κηρωτῇ τὸ πρῶτον ἐκλύσαντες ἐπιτρίψομεν, ὕστερον δὲ καὶ καθ' αὐτό· καὶ πεσσοὺς δὲ προστιθέναι χρὴ τῆς αὐτῆς δυνάμεως, διὰ τερεβινθίνης, χαλβάνης, ἴρεως, πηγάνου τε καὶ ὑσσώπου, καὶ τὸ διὰ πηγάνου καὶ γλήχωνος καὶ νίτρου καὶ μέλιτος καὶ χολῆς ταυρείας, ἴσων ἢ ἀνίσων μιγνύμενον.

Πρόσθετον.

ἐκ τούτων ἐστὶ καὶ τὸ τοιοῦτον πρόσθετον· σύκων λιπαρῶν κεκομμένων ὥστε τὰς κεγχρίδας μὴ φαίνεσθαι δραχ. α. κυκλαμίνου ῥίζης λειοτάτης δραχ. β. ἀφρονίτρου λευκοῦ δραχ. α. εἰς δὲ τὸ ἀμβλύναι τὴν πολλὴν αὐτοῦ δριμύτητα καὶ δῆξιν, εἰς γάλα τὸν πεσσὸν προβάπτειν χρὴ καὶ ὑποτιθέναι. καὶ σικύας δὲ τοῖς τόποις κατὰ κύκλον προσθετέον καὶ βιαίως ἀποσπαστέον, ἐνίοτε δὲ καὶ μετὰ ἀμυχῶν. καὶ πᾶσι δὲ τοῖς μετὰ συγκρίνειν δυναμένοις χρηστέον, καθάπερ τοῖς αὐτοφυέσιν ὕδασι πρῶτον μὲν θερμοῖς, ὕστερον δὲ καὶ ψυχροῖς κατ' ὀλίγον ἐθίζοντες τὸ σῶμα ὑπομένειν τὴν ψυχρολουσίαν, ὥστε τονωθῆναι τὰ πεπονθότα μέρη.

Τροφαί.

Τροφὰς δὲ διδόναι λεπτυνούσας καὶ διαλύειν πνεύματα δυναμένας,

6 αἰτίοι B. ἄνευ, τῆς B. 9 κόλπον, ἀντὶ, θρόμβον A. πραῶς B. 14 „χρώμενοι“ τὰ κείμ. ἡμ. „χρώμεθα“ Ζερ. 15 ἑψήμενον B. 18 ἐπιτρίπομεν B. ἐπιρρίπτομεν Γ. 21 μιγνυμένον B. 22 προσθέτον B. 25 ἀμαυρῶσαι, ἀντὶ, ἀμβλύναι A. δραμύτητα B. 26 σηκυίας B. 27 κυκλὸν B. 30 ἄνευ, καὶ B. ἐρεθίζοντες, ἀντὶ, ἐθίζοντες AB.

χρηστέον δὲ τῷ διοσπολιτικῷ, ἐνίοτε δὲ καὶ τῷ διὰ καλαμίνθης. τὰ δὲ φαρμακωδέστατα φάρμακα παραιτούμεθα καὶ τὰ δι' ἀρωμάτων ὑποθυμιάματα, ὡς κακωτικὰ τῆς κεφαλῆς, καὶ τὰ στύφοντα ἐπιθέματα, οἷα ἐστὶ τὰ διὰ φοινίκων καὶ μήλων· βλαβερὰ γὰρ καὶ τὰ τοιαῦτα τῷ πάθει.

ΠΕΡΙ ΥΔΡΩΠΙΩΣΗΣ ΜΗΤΡΑΣ.

ΚΕΦΑΛΑΙΟΝ ΟΔ'.

Ἐπισχημένων ἐπὶ πλείονα χρόνον τῶν καταμηνίων καὶ τῶν κυήσεων παρεμπεποδισμένων, συμβαίνει πολλάκις παρέγχυσιν ὑγροῦ γίνεσθαι κατὰ τὴν κοιλότητα τῆς ὑστέρας, ἐνίοτε δὲ σώματα τινὰ ἐν τῇ μήτρᾳ γεννᾶται μᾶλλον τῇ χοληδόχῳ κύστει ἐοικότα, ἐν οἷς τὸ ἀθροιζόμενον ὑγρὸν περιέχεται.[1] *παρέπεται δὲ ταῖς πασχούσαις ὄγκος μέγας περὶ τὸ ὑπογάστριον, σομφὸς,*[2] *πνευματώδης, καὶ βορβορυγμὸς ὥσπερ ἐπὶ ἐντέρων, ἐν δὲ τῷ βαδίζειν βάρος, δύσπνοια, κατὰ κοιλίαν δυσωδῶν ἔκκρισις, καταμηνίων καὶ κυήσεων ἐποχὴ, καὶ τὰ φερόμενα δὲ ἀτάκτως ἐκκρίνεται. κατὰ δὲ τὰς συντόνους ἐκκρίσεις ῥηγνυμένων ἐνίοτε τῶν προρρηθέντων μικρῶν σωμάτων τῶν κύστεσιν ἐοικότων, ὑδατώδη γλίσχρα ἐκκρίνεται. Ἐφ' ὧν μὲν οὖν ἐν τῇ κοιλότητι τῆς ὑστέρας τὸ ὑγρὸν περιέχεται, ὅπερ καὶ τῇ σημειώσει ἔκδηλον γίνεται, χρηστέον κατακλίσει καὶ ἡσυχίᾳ καὶ ἐμέτοις καὶ κλυσμοῖς εὐτόνοις. διδόναι δὲ πίνειν καὶ τῆς ῥίζης τοῦ μυρσινίνου τιθυμάλλου τὸν φλοιὸν ξηρὸν λεῖον, ὅσον γράμματα β. ἢ καθ' αὑτὸ ἢ καὶ μετὰ πάνακος ῥίζης ὀβολοῦ ἑνός. ἐνιέναι δὲ καὶ τῇ μήτρᾳ τὰ δυνάμενα μυξώδη ὑγρασίαν ἕλκειν, οἷόν ἐστι τοῦτο· κόκκου κνιδείου κόκκους ι. μετὰ ἰρίνου μύρου καὶ ὀλίγου μέλιτος, ἢ ἐλλεβόρου μέλανος γράμμ.*

---

2 τὸ, *ἀντὶ*, τὰ *B*. 10 *γενέσθαι Γ*. 12 *ἀθροίζεται B*. *παρέχεται Γ*, 13 *συμφὸς Γ*. 19 „*ἐφ' ὧν κλπ.*" *μέχρι*, „*χρηστέον*" *παραλ. ΒΓ*. 21—22 *δὲ καὶ πίνειν A*. 23 *πανακὸς B*. 24 *ὀβόλου ΒΓ*. 26 „*ἢ ἐλλεβόρου κλπ.*" *μέχρι* „*διὰ μητρεγχύτου*" *παραλ. ΒΓ*. *ἐλεβόρου A*. *ἡμ. διόρθ*. „*ἐλλεβόρου*" *Ζερ.*

---

[1] *Καὶ ὁ Ἱππ. φησὶ* VII. 386· *Ἢν αναπρησθῶσιν αἱ μῆτραι, ἥ τε γαστὴρ αἴρεται καὶ φυσᾶται, καὶ οἱ πόδες οἰδέουσι καὶ τὰ κοῖλα τοῦ προσώπου, ἡ χροιὴ δὲ ἀειδὴς γίνεται, καὶ τὰ ἐπιμήνια κρύπτεται . . . καὶ ἀσθενέει, καὶ ἀλύει, καὶ ὁκόταν ἀναστῇ ἢ προέλθῃ, ὀρθόπνοια αὐτὴν ἴσχει.*

[2] *Σομφὸς· μὲ τὴν ἔννοιαν τοῦ μαλακὸς, εὐπίεστος, οὐχὶ σκληρὸς Ζ.*

β. μετὰ ἰρίνου ἢ κυπρίνου ἢ ναρκισσίνου καὶ ὀλίγου μέλιτος διὰ μητρεγχύτου ἔγχεε, διδόναι δὲ πίνειν πρὸ τοῦ κλυσμοῦ καρδαμώμου βραχύ τι μεθ' ἁλῶν καὶ ὀξυμέλιτος, ἢ θύμου ἢ γλήχωνος ἢ καλαμίνθης ὁμοίως. μετὰ δὲ τὸ ἀποκριθῆναι πλῆθος ὑγρῶν κατὰ κοιλίαν, τότε ἐγχεῖν τοὺς προρρηθέντας κλυσμούς, ἢ πεσσοὺς τῆς αὐτῆς δυνάμεως προστιθέναι, εἶτα προσαντλήτωσαν τὸν κόλπον θαλάσσῃ θερμῇ πρῶτον μὲν καθ' αὐτήν, ἔπειτα καὶ ὄξος προσπλέκοντες καὶ συναφεψοῦντες τινὰ τῶν προρρηθέντων, μετὰ δὲ τὴν προσάντλησιν ἐκμαξάμενοι, ἀλείφειν κυπρίνῳ τοὺς κόλπους καὶ τοὺς μηρούς. Πινόμενα δὲ φάρμακα ἁρμόδια αὐταῖς ταῦτα· γλήχωνος δραχ. α. μετὰ πεπέρεως ὀλίγου ἢ γεντιανῆς δραχ. β. ἢ ὀριγάνου δραχ. β. μετὰ δαύκου καὶ σμυρνίου σπέρματος ὁμοίως· πινέτωσαν δὲ ταῦτα σὺν ὑδρομέλιτι ἢ οἰνομέλιτι· διδόναι δὲ καθ' ἑκάστην σὺν τῇ τροφῇ ἀντὶ τοῦ κοινοῦ ἅλατος τοῦτο· ὑσσώπου γοδ. γλήχωνος γογ. ὀριγάνου, κυμίνου ἀνὰ γοβ. ἄμμεως, πέπερεως σπέρμα, ναρδοστάχυος ἀνὰ γοα. ἁλῶν φρυκτῶν γογ. λειώσας, μίξας, χρῶ. ὑποθυμιᾶν δὲ καὶ τὸν κόλπον ῥητίνην μετὰ σμύρνης καὶ βδελλίου καὶ ἀμώμου. Πεσσοῖς δὲ χρηστέον τοιούτοις· νίτρου, κολοφωνίας, κολοκυνθίδος ἀνὰ γογ. σὺν μέλιτι ἀναλαβὼν ἐπιτίθει ἐν πεσσῷ· βάπτιζε δὲ ἐν κυπρίνῳ τὸν πεσσόν. Ἄλλο. Κύμινον καὶ νίτρον ἴσα σὺν μέλιτι ὑποτίθει, ἐνίοτε καὶ λευκοΐου σπέρμα τούτοις μικτέον. Ἄλλο. Κολοκυνθίδος γογ. ἁλῶν γοα. σύκου λιπαροῦ σαρκὶ ἀναλαβὼν ὡς εἶναι καρύου μέγεθος, ὡς βαλάνιον ποιήσας ὑποτίθει. ἐφέλκεται γὰρ δυσώδη ὑγρασίαν καὶ μεγάλως ὠφελεῖ. τοῦτο καὶ τῷ δακτυλίῳ προστιθέμενον, ἐπισπᾶται κόπρον καὶ πλῆθος ὑγρῶν καὶ πνεύματα, καὶ κουφίζει τὴν μήτραν. Ἄλλο. Ἀψινθίου κόμης, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ δραχ. α. χαλκοῦ κεκαυμένου, νίτρου ἀνὰ δραχ. γ. μέλιτι ἀναλαβὼν προστίθει. ἀλυπότατα δὲ ἐπισπᾶται χωρὶς πόνου τοῦτο· κωνείου σπέρμα μετ' ἀριστολοχίας καὶ κυμίνου καὶ ἁλῶν ὀλίγων, ἰσχάδων σαρκὶ ἀναλαβὼν ὑποτίθει. Ἐπὶ δὲ τῶν ὑδατίδας, λέγω δὴ τὰς

[Marginal notes: Πινόμενα φάρμακα — Πεσσοί. — Ἄλλος. — Ἄλλος. — Ἄλλος.]

1 ναρκισίνου A. 2 μητρενγύτου B. 4 ἀποκρῖναι Γ. 6 προστιθέντας B. 9 τόπους, ἀντὶ, κόλπους A. 12 ἄνευ. σμυρνίου ΒΓ. 13 καί, ἀντί, καθ' B. 14 τούτου A. ἄνευ, τοῦτο Γ. 15 ἄνευ, πεπέρεως B. 16 φρύκτων A. „λειώσας, μίξας χρῶ" παραλ. A. 25 δακτύλῳ B. 27 κόμην B. 29 ἀληπώτητα B. 30 σπέρματος B. μετὰ AB. 31 „ταῖς" ἄπαντ. κείμ. ἡμ. διόρθ. „τὰς" Ζερβ.

μικραῖς ἐοικυίας κύστεσιν ἐν τῇ ὑστέρᾳ ἐχουσῶν, πυρίαις χρηστέον δι' ἀρωμάτων δυναμένων κατασπᾶν τὰ καταμήνια, καὶ πεσσοῖς αἱμαγωγοῖς χρηστέον ἐπισπαστικοῖς, ἐξ ὧν ἐστὶ ὁ τοιοῦτος· κνεώρου,[1] εἰ δὲ μὴ χαμελαίας, ἐλατηρίου, κασίας ἀνὰ δραχ. δ. στυπτηρίας σχιστῆς, μίσυος, σανδαράχης, σμύρνης, κόστου, κρόκου ἀνὰ δραχ. γ. μέλιτι ἀναλαβὼν καὶ προκενώσας πρὸ μιᾶς τὴν κοιλίαν διὰ κλυστῆρος, ὑποτίθει τὸν πεσσόν. κατεχέτω δὲ αὐτὸν ἡμέραν ὅλην καὶ νύκτα, καὶ ἐὰν μὴ καθαρθῇ, τῷ αὐτῷ πάλιν χρῶ· ἐὰν δὲ δῆξις ἐκ τοῦ πεσσοῦ γένηται, πυριατέον καὶ προσαντλητέον τὸν κόλπον ἀφεψήματι κενταυρίου λιπαροῦ,[2] καὶ προστιθέναι πεσσόν τινα τῶν μαλακτικῶν παρηγορίας χάριν, καὶ πάλιν ὑποτίθει τὸν αὐτὸν πεσσόν· ἢ κωνείου σπέρμα μετ' ἀριστολοχίας καὶ κυμίνου καὶ ἁλῶν ὀλίγων μετὰ μέλιτος ὑποτίθει ὡς προείρηται. Ἀλυπότατος δὲ πρὸς ὑδατώδεις καὶ δερματώδεις Ἀλυπτατο ἐπιφύσεις, καρπὸς λινοζώστεως ἄρρενος μετὰ σμύρνης ὀλίγης καὶ ἁλῶν καὶ μέλιτος ἐν ἐρίῳ προστιθέμενος ἐπὶ πλείους ἡμέρας, μετὰ δὲ τὴν ἀποκατάστασιν γυμνασίοις χρηστέον καὶ ἱδρώσεσι καὶ τρίψεσιν εὐτόνοις ὅλου τοῦ σώματος καὶ μάλιστα τοῦ ἐπιγαστρίου.

ΠΕΡΙ ΜΥΛΗΣ Η ΕΣΤΙ ΠΑΘΟΣ ΥΣΤΕΡΗΣ, ΥΔΕΡΟΣ ΥΠΟ ΤΙΝΩΝ ΟΝΟΜΑΖΟΜΕΝΟΝ.

ΚΕΦΑΛΑΙΟΝ ΟΕ'.

Ἡ λεγομένη μύλη σκιρρώδης ἐστὶ διάθεσις περὶ τὴν ὑστέραν, ἐκ προηγησαμένης τινὸς φλεγμονῆς ἐνίοτε γιγνομένη, ποτὲ δὲ καὶ τοπικὸν ἕλκος ὑπερσαρκῶσαν οὕτως ὠνομάσθη ἀπὸ τῆς παρεπομένης δυσκινησίας καὶ τοῦ βάρους· παρακολουθεῖ δὲ αὐταῖς

1 ἐοικυίαν B. ἐχούσων B. χρήστεον B. 3 τὸ τοιοῦτον B. 4 χαμαιλαίας B. κασσίας B. 7 κλυστηρῶν A. 8 νύκοκ, ἀντὶ, νύκτα B. 17 γυμνασίους B. ἱδρῶσεσι B. 19 ἤ, ἀντὶ, ἣ B. ἄνευ, ὑστέρης A. ἄνευ, ὕδερος B. 20 ὀνομαζόμενος A. 22 σκιρώδης A. σκληρώδης Γ. 23 γινομένη A. γενομένη Γ.

[1] Κνέωρον τινὲς μὲν τὴν θυμελαίαν καλοῦσιν, ἧς γνωστός ἐστιν ὁ καρπὸς ὡς κνίδειος κόκκος, ἕτεροι εἶδος ἀκαλήφης· Ἡσύχιος δὲ φυτὸν ᾧ τοῖς θεσμοφορίοις ὑποστρώννυται καὶ ᾧ εἰς κάθαρσιν χρῶνται· καὶ γυναικεῖον μόριον. Z.

[2] Κενταύριον, κενταυρὶς καὶ κενταυρίη, ἀλλὰ καὶ λεπτὸν τὸ μικρὸν κενταύριον καλεῖται διὰ τὸ λεπτόφυλλον ἴσως. Ζερβ.

ὄγκος περὶ τὸ ὑπογάστριον ἀπηνὴς μετὰ κατασπασμοῦ τῶν

Τίνα προηγεῖται.

ὑποχονδρίων, καὶ ἰσχνώσεως καὶ ἀχροίας καὶ ἀνορεξίας. γίνεται δὲ πρότερον φαντασία συλλήψεως, ἐπεχομένων μὲν τῶν καταμηνίων, διογκουμένων δὲ τῶν μαστῶν, ἀνατρεπομένου δὲ τοῦ στομάχου καὶ βαρυνομένης τῆς ὀσφύος, διογκουμένου δὲ τοῦ

Διάγνωσις.

ὑπογαστρίου.[1] Διακρίνεται δὲ προκόπτοντος τοῦ χρόνου τῷ νυγματῶδες παρακολουθεῖν ἄλγημα, μηδεμίαν δὲ γίνεσθαι κίνησιν ὥσπερ ἐπὶ τῶν κυουσῶν, ὕστερον καταλυομένου ὅλου τοῦ σώματος, μεγεθυνομένης δὲ τῆς ὀγκώσεως, ἔμφασις ὕδρωπος ἀποτελεῖται. διακρίνεται δὲ καὶ τοῦ ὕδρωπος τῷ κατὰ τὴν τῆς χειρὸς ἐπίθεσιν μηδέποτε εἴκειν τὸν ὄγκον, μὴ δὲ κοιλαίνεσθαι, μὴ δὲ ἦχον τυμπανώδη ἢ κλύδωνα γενέσθαι κατὰ τὸν τῆς χειρὸς ῥαπισμὸν, ὥσπερ ἐπὶ τοῦ ὕδρωπος. ἔσθ' ὅτε δὲ χρόνου προϊόντος καταψυχομένου τοῦ ἥπατος, καὶ ὕδρωψ ἐπιγίνεται· τινὲς δὲ ἱστοροῦσι σαρκὸς ἐπί τινων ἔκκρισιν γίνεσθαι, συνεκκρινομένης διὰ τοῦ γυναικείου αἰδοίου ὡσεὶ καρύου μέγεθος, ταῖς μὲν κατὰ μῆνα, ταῖς δὲ κατὰ β ἢ γ. μῆνας. τὴν δὲ προειρημένην διάθεσιν οἱ μὲν ὡς ἀθεράπευτον κατέλιπον, οἱ δὲ τὴν ἀρχομένην μόνην θεραπεύειν

Θεραπεία.

ἐκέλευσαν· δεῖ δὲ μὴ ἀμελεῖν ἀλλὰ τὰ δέοντα πράττειν. Καταπλάσματα μὲν οὖν χαλαστικὰ προσάγειν χρὴ καὶ πυρίας καὶ ἐγχυματισμοὺς πραϋντικοὺς, καὶ πεσσοὺς μαλακτικοὺς τοὺς πρὸς σκληρίαν γραφησομένους, ἐγκαθίσματα δὲ ὅμοια καὶ κηρωτὰς δι' ἀλθαίας ἡψημένας ἐλαίῳ κυπρίνῳ σκευάζειν, καὶ τὴν διὰ χυλῶν ἐπιτιθέναι ἢ τὸ Μνασαίου μάλαγμα, ἔπειτα σικύας μετὰ καταχασμοῦ προσάγειν, τροφὰς δὲ εὐχύμους διδόναι. Ταῦτα μὲν οὖν ἐν τοῖς παροξυσμοῖς παραλαμβάνειν, ἐν δὲ τοῖς διαλείμμασι τὸ

---

1 ἐπιγάστριον Β. ἀπινὴς Β. 6 τῷ τὸ ΑΓ. 7 „παρακολουθεῖ“ τὰ κείμ. ἡμετ. διόρθ. „παρακολουθεῖν“ Ζερβ. 10 ἄνευ, τὴν Α. 11 κοιλώνεσθαι Β. 13 ὅπερ, ἀντὶ, ὥσπερ Β. 15 συνεκρωμένης Β. συνεκρινομένης Α. 16 οἰωνεὶ, ἀντὶ, ὡσεὶ Β. „ταῖς μὲν κατὰ μῆνα“ ἐπαναλάμβει δὶς ὁ Β. 20 χαλακτικὰ Β. 23 ἑψημένας Β. 24 σηκυίας ΒΓ. μετὰ χυμοῦ Β. 25 ἄνευ, „οὖν“ τὰ κείμ. ἡμ. προσθ. Ζερ.

---

[1] Ἱππ. δὲ φησί· καὶ ἀποκλισθέντα [τὰ ἐπιμήνια] ἐπαναπέμπει εἰς τοὺς μαζοὺς, καὶ βεβρίθασιν οἱ τιτθοὶ καὶ ἡ γαστὴρ ἡ νείαιρα ἐπῆρται, καὶ δοκέουσιν αἱ ἄπειροι ἐν γαστρὶ ἔχειν· πάσχουσι γὰρ τοιαῦτα οἷά περ αἱ κύουσαι μέχρι μηνῶν ἑπτὰ ἢ ὀκτώ· ἥ τε γὰρ κοιλίη ἐπιδιδοῖ κατὰ λόγον τοῦ χρόνου καὶ τὰ στήθεα ἐπαίρεται καὶ γάλα δοκέει ἐγγίνεσθαι. Περ. Γυν. VIII. 282.

σῶμα ὅλον προσαναλαμβάνομεν διὰ τῆς ἀναληπτικῆς ἐπιμελείας, αἰώρας, περιπάτων, λουτρῶν, καὶ τῆς ἐπιτηδείου τροφῆς καὶ οἴνου πόσεως, καὶ δρωπακίζομεν τὰ πεπονθότα μέρη, καὶ ἡλιώσεσι χρώμεθα νίτρου καὶ ἁλῶν ἐπιπασσομένων, καὶ τῷ διὰ νάπυος καὶ ἰσχάδων φοινιγμῷ χρώμεθα, καὶ μαλάγμασι τῷ τε διὰ σπερμάτων καὶ τῷ διὰ δαφνίδων καὶ τῷ πολυαρχίῳ καὶ τοῖς ὁμοίοις. Πυριᾶν δὲ καὶ δι' ἀτμοῦ θαλάσσης ἐζεσμένης ἢ ἅλμης, ἢ ἀφεψήματος δάφνης φύλλων, ἢ καρποῦ γλήχωνος, ὑσσώπου, θύμου, ἐλελισφάκου, πρασίου, ἀρτεμισίας, κενταυρίου, δικτάμνου, σκόρδου καὶ πολίου,[1] ὑποτιθεμένης τῆς χύτρας τῷ δίφρῳ, καὶ τῷ πώματι αὐτῆς τετρημένῳ ἐναρμοζομένου καλάμου, καὶ οὕτω διὰ τοῦ καλάμου πυριωμένη. Πεσσοῖς δὲ χρηστέον τοῖς δι' ὑσσώπου, βουτύρου, στέατος χοιρείου, μυελοῦ ἐλαφείου ἢ ἐγκεφάλου καὶ μέλιτος, ἢ ἰσχάδων λιπαρῶν σαρξὶ καὶ σταφίδων μετὰ παλαιοῦ ἐλαίου, ἢ κυπρίνου ἢ ἰρίνου ἢ σαμψυχίνου ἢ ἀμαρακίνου ἢ σουσίνου. δοκιμαστέον δὲ καὶ δριμυφαγίαν προκοπτούσης τῆς διαθέσεως, καὶ τὴν τῶν αὐτοφυῶν ὑδάτων χρῆσιν, καὶ νήξεις ἐν θαλάσσῃ, καὶ ἐμέτους ἀπὸ ῥαφανίδων, φυλακτέον τε τούς τε δριμυτέρους πεσσοὺς καὶ τὰ ἐγκαθίσματα, ὡς μὴ τῇ συνεχεῖ χρήσει ἑλκωθέντες οἱ τόποι κακοήθη ποιήσωσι τὴν διάθεσιν. πλείσταις δὲ διὰ τῆς προρρηθείσης ἀγωγῆς ἐξαπίνης ἔκκρισις αἵματος τεθρομβωμένου καὶ μεμελανωμένου σφόδρα πολλοῦ γέγονε, καὶ ἀπήλλαξε τῆς διαθέσεως.

Πυρίαι

Πεσσοί

Ὁ δὲ φιλόσοφος φησὶν, ἐπισχεθέντων τῶν καταμηνίων τῆς γυναικὸς τοῦ Φίλου, πρῶτον μὲν ἐνομίσθη ἔγκυος εἶναι ἡ γυνὴ, ἔπειτά τε αὐξηθέντος ἐπὶ πολὺ τοῦ ὄγκου ἐνομίσθη ὑδρωπικὴ, διὰ τὸ οἰδαίνεσθαι ὅλον τὸ σῶμα καὶ τοὺς πόδας· καλοῦσι δὲ τὸ πάθος τινὲς πλίνθον, τινὲς δὲ μύλην. πήγανον τοίνυν καὶ ἄνηθον ἀφεψήσαντες οἴνῳ παλαιῷ κιρρῷ εὐώδει, δεδώκαμεν αὐτῇ

1 ἄνευ, ὅλον *B.* „προσαναλαμβανόμενον" τὰ κείμ. ἡμετ. διόρθ. *Ζερ.* 2 ἐπιτηδείας *B.* 3 δροπακίζομεν *B.* ἡλιώδεσι *B.* ἡλιώσαντες *Γ.* 5 φοινικῷ *B.* δὲ, ἀντὶ, τε *B.* 7 ἐξεσμένης *B.* ἐσβεσμένης *Γ.* 9 „πρασίου, ἀρτεμισίας" παραλ. *B.* σκορδίου *A.* ποιλίου *Γ.* 10 σώματι, ἀντὶ, πώματι *B.* τετρημένης *B.* 11 πυριωμένης *B.* 13 καὶ, ἀντὶ, ἢ *B.* 14 σαρξὶν *A.* 19 συνεχῆ *B.* χρῆσει *B.* 20 κακοήθοι *B.* διαθέσιν *B.* ἄνευ, τῆς *B.* 22 μεμελανομένου *B.* 24 ἔγκυον *Γ.* γυναῖκα *Γ.* 25 ὑδροπικῇ *B.* 26 οἰδάνεσθαι *B.*

[1] *Πόλιον ἐκλήθην ἐκ τοῦ πολιοῦ αὐτοῦ χρώματος. Λατ.* Pollium. *Z.*

πίνειν τὸν οἶνον θερμὸν, σχεδὸν ἀντὶ ὕδατος αὐτὸν προσφέροντες ποτὸν, καὶ ἐξέκρινεν ἡ γυνὴ πλῆθος αἵματος καὶ ὑγιὴς γέγονε.

ΠΕΡΙ ΟΙΔΗΜΑΤΟΣ ΜΗΤΡΑΣ, ΣΩΡΑΝΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Οϛʹ.

Οἰδαινομένης δὲ τῆς μήτρας ὄγκος παρέπεται ὠχρόλευκος, ὑπόσομφος, εὐαφὴς, εἴκων πρὸς τὰς τῶν δακτύλων θλίψεις καὶ πάλιν ἐπὶ βραχὺ ἐπαιρόμενος, τὸ δὲ κατ᾽ ἐπιγάστριον δέρμα ἑλκόμενον τοῖς δακτύλοις παρακολουθεῖ. Ἐμβρέχειν οὖν χρὴ τοὺς τόπους ἐλαίῳ θερμῷ κοινῷ ἢ ἰρίνῳ ἢ κυπρίνῳ, πεσσοῖς δὲ χρηστέον καὶ τοῖς λοιποῖς βοηθήμασι τοῖς προρρηθεῖσιν ἐν τῷ περὶ ἐμπνευματώσεως τῆς μήτρας κεφαλαίῳ.

ΠΕΡΙ ΣΑΤΥΡΙΑΣΕΩΣ, ΤΟΥ ΑΥΤΟΥ.

ΚΕΦΑΛΑΙΟΝ ΟΖʹ.

Γίνεται καὶ ἐπὶ γυναικῶν ἡ σατυρίασις λεγομένη, ὥσπερ κἀπὶ τῶν ἀνδρῶν προείρηται· παρέπεται δὲ αὐταῖς κνησμὸς ἐπιτεταμένος τῶν γυναικείων τόπων μετὰ πόνου, ὥστε τὰς χεῖρας συνεχῶς τοῖς τόποις ἐπιφέρειν, καὶ διὰ τοῦτο ἀκάθεκτος αὐταῖς ὁρμὴ πρὸς συνουσίαν γίνεται, καὶ παρατροπὴ τῆς διανοίας μετὰ δριμύξεως ἢ δήξεως ἁλμυροῦ χυμοῦ· φλεγμονὴ δὲ ἐστὶ τῶν περὶ τὴν μήτραν τόπων. ἡ δὲ γινομένη αὐταῖς ὁρμὴ πρὸς συνουσίαν σφοδρύνει τὴν διάθεσιν· συντεινόμενα γὰρ τὰ πεπονθότα μέρη καὶ μὴ ἐκκρινομένου τοῦ σπέρματος διὰ τὸ μεμυκέναι ὑπὸ τῆς φλεγμονῆς τοὺς τόπους, πλείονα ἀφέλκεται τὴν ἀπὸ τοῦ σώματος ὕλην.
Θεραπεία. Φλεβοτομεῖν οὖν αὐτὰς κατ᾽ ἀρχὰς προσήκει καὶ τὴν τροφὴν συστέλλειν, καὶ καταπλάσσειν τὴν ἥβην καὶ τὴν ὀσφὺν τοῖς ἐμψύχειν καὶ στέλλειν δυναμένοις ἠρέμα, κεφαλήν τε ἐμβρέχειν ὀξυροδίνῳ, πόμα δὲ ὕδωρ γαλακτῶδες διδόσθω καὶ τροφαὶ ῥοφηματώδεις, μηδὲν παντάπασι φυσῶδες ἢ ἐρεθιστικὸν συνουσίας ἔχουσαι. μετὰ δὲ ἡμέρας δύο τῆς φλεβοτομίας σικυάζειν τοὺς

1 σχέδον Γ. 3 χαυνοῦ, ἀντὶ, Σωρανοῦ Β. 6 ὑπόσυμφος Β. 7 ἄνευ, κατ᾽ Β. 8 ἑλκώμενον Β. 14 γινέται Β. 19 ἔστι Α. 20 ἡ δὲ γενομένη Β. 23 πόρους, ἀντὶ, τόπους Α. 24 ἄνευ, τὴν Β. 27 πότι δὲ Β. πόματι Γ. 28 „φυσσῶδες“ τὰ κεῖμ.ʹ ἡμ. διόρθ. „φυσῶδες“ Ζ. 29 σηκυιάζειν Β.

τόπους χωρὶς καταχασμοῦ, ἡ δὲ λοιπὴ ἐπιμέλεια ἡ ἐπὶ τῆς φλεγμονῆς ῥηθησομένη ἔστω.

ΠΕΡΙ ΦΛΕΓΜΟΝΗΣ ΥΣΤΕΡΑΣ, ΦΙΛΟΥΜΕΝΟΥ.

ΚΕΦΑΛΑΙΟΝ ΟΕ΄.

Ἐκ πλειόνων αἰτίων ἡ ὑστέρα φλεγμαίνει· καὶ γὰρ ἐκ πληγῆς, καὶ ἐκ τῆς τῶν καταμηνίων ἐποχῆς, καὶ ἀπὸ ἐκτρωσμῶν, καὶ ἐξ ἑλκώσεως φλεγμαίνειν εἴωθεν. ἐνίοτε δὲ καὶ ἐκ ψύξεως ἐπεχομένων τῶν ἐν αὐτῇ διαπνοῶν, φλεγμαίνει συμβαίνει δὲ καὶ ἐκ συνουσίας παραλόγου, καὶ διὰ σκληρὰν καθέδραν, καὶ διὰ πλείονα καὶ συντεταμένον περίπατον. Σημειωσόμεθα δὲ τὴν ἐν ὑστέρᾳ φλεγμονὴν ἐκ τοῦ τοὺς γυναικείους τόπους μετὰ πυρώσεως ἀλγεῖν, καὶ τὸ ἐφήβαιον καὶ τὸ ὑπογάστριον καὶ τὴν ὀσφὺν, καὶ ἐκ τοῦ κατὰ τὴν κάθεσιν τῶν δακτύλων τὸ στόμιον τῆς μήτρας σκληρὸν καὶ μεμυκὸς καὶ ἔνθερμον καὶ ἀνακεχωρηκὸς ὑποπίπτειν, καὶ μάλιστα τῆς φλεγμονῆς οὔσης περὶ τὸν τράχηλον ἢ τὸ στόμιον τῆς μήτρας. εἰ δὲ περὶ τὸ κύτος ἢ τὸν πυθμένα αὐτῆς ᾖ ἡ φλεγμονὴ, πόνος περὶ τὸ ὑπογάστριον διασημαίνει, ὡς μὴ δὲ ἄνωθεν ἁπτόμενον πολλάκις ἀνέχεσθαι· ἀνατρέχει δὲ καὶ πλείσταις καὶ συνέλκεται ἐπὶ τὸν φλεγμαίνοντα τόπον ἡ ὑστέρα, ἀποστροφή τε τοῦ στόματος αὐτῆς καὶ τοῦ τραχήλου γίνεται διὰ τὴν αὐτὴν αἰτίαν. διορίζεται μέντοι καὶ τῆς κυρίως λεγομένης παρεγκλίσεως, τῷ σφοδρὸν πυρετὸν ταῖς φλεγμοναῖς συνεδρεύειν καὶ πύρωσιν ἐπιτεταμένην.[1] Εἰ μὲν οὖν τὸ ὄπισθεν μέρος φλεγμαίνει, τὸ ἄλγημα κατὰ τὴν ὀσφὺν μᾶλλον γίνεται, καὶ ἡ τοῦ σκυβάλου ἔκκρισις ἐπέχεται, παραθλιβομένου τοῦ ἀπευθυσμένου. εἰ δὲ τὸ ἔμπροσθεν φλεγμαίνει, δυσουρία παρακολουθεῖ, καὶ μάλιστα ἐὰν τὰ κατώτερα μέρη εἴη πεπονθότα. ἐὰν δὲ κατὰ τὰ πλάγια ἡ φλεγμονὴ γένηται, οἱ βουβῶνες τείνονται καὶ τὰ σκέλη δυσίατα γίνονται. Ἐπιτεινομένης δὲ τῆς φλεγμονῆς, πυρετοὶ ἐπιγίνονται καὶ πόνος στομάχου

Σημει λογία

Φλεγ μονή κύτοι

Ὀπισ μέροι

Ἔμπρ θεν

Πλαγ

3 Φιλομένου B. 5 ἄνευ, ἡ A. 13 καθέσιν B. 14 μεμηκὸς B. 22 πυρώσιν B. 25 ἀποθουμένου, ἀντὶ, ἀπευθυσμένου B. 28 δυσκίνητα Γ.

[1] Ἢν αἱ μῆτραι φλεγμήνωσι φησὶν Ἱππ. VIII. 328 τὰ ἐμμήνια οὐ γίνεται παντάπασιν, ἢ πονηρὰ καὶ ὀλίγα· ἀπαριθμῶν δὲ τὰ ποικίλα συμπτώματα ἐπάγεται, „ἡ δὲ νοῦσος ἐπικίνδυνός ἐστι“. Z.

καὶ παλμὸς, ὄγκος τε τοῦ ὑπογαστρίου καὶ πύρωσις, σύντασις, βάρος ἰσχίων, ὀσφύος, λαγόνων, βουβώνων, μηρῶν, φρικώδεις διαδρομαὶ, νυγματώδεις· νάρκη ποδῶν καὶ περίψυξις τῶν γονάτων, περιΐδρωσις, σφυγμὸς μικρὸς καὶ πυκνότατος, λειποθυμία, ἔκλυσις, κατ' ἐπίτασιν δὲ καὶ λυγμὸς, ἄλγημα τραχήλου, καὶ σιαγόνων, καὶ βρέγματος, καὶ ὀφθαλμῶν μάλιστα κατὰ τὰς βάσεις, παραποδισμὸς οὔρων καὶ σκυβάλων ἢ ἀμφοτέρων. ἔτι δὲ ἐπιτεινομένης τῆς φλεγμονῆς αὔξονται καὶ οἱ πυρετοὶ, καὶ παρακοπὴ παρακολουθεῖ καὶ συναίρεσις ὀδόντων.

Θεραπεία.

Θεραπευτέον δὲ κατ' ἀρχὰς κατακλίνοντας ἐν οἰκήματι φωτεινῷ καὶ συμμέτρῳ ὑελίνῳ, ἡσυχίαν ἐμποιοῦντας καὶ ψηλαφίᾳ χρωμένους καὶ διακρατήσει σκελῶν καὶ καρπῶν, θερμάσματα προσάγοντας καὶ ἐπιβρέχοντας καὶ σκέποντας ἐρίοις καθαροῖς, ἐγχυματίζοντας καὶ κενοῦντας διὰ κλυστῆρος ἀνετικοῦ τὴν κοιλίαν· ποτὸν δὲ καὶ διάκλυσμα ὕδωρ θερμὸν ἔστω καὶ ῥόφημα πτισάνης χυλοῦ. Σφοδροτέρας δὲ τῆς φλεγμονῆς οὔσης, φλεβοτομεῖν ἀπ' ἀγκῶνος εἰ μηδὲν κωλύει, μήτε ἡλικία, μήτε ἕξις, μήτε ἡ ὥρα τοῦ ἔτους, μὴ δὲ ἡ ἀπὸ ἐκτρωσμῶν εἴη φλεγμονὴ, μὴ δὲ μετὰ πολλὴν καὶ ἄμετρον κένωσιν, ἀφαιρεῖν δὲ πρὸς δύναμιν. δυνατὸν δὲ τῇ μὲν δευτέρᾳ φλεβοτομεῖν, τῇ δὲ τρίτῃ ἐπαφαιρεῖν, εἶτα τρέφειν χόνδρῳ ἐν μελικράτῳ ἢ ἄρτῳ πεπλυμένῳ ἢ ᾠοῖς ῥοφητοῖς. ἔστω δὲ τὸ διδόμενον πλῆθος μέτριον, ἐπὶ δὲ τῷ ἐφηβαίῳ καὶ τῷ ὑπογαστρίῳ ἐπιθετέον ζεούσης τῆς φλεγμονῆς, ἔρια οἰσυπηρὰ ῥινελαίῳ καὶ ὀξυροδίνῳ βεβρεγμένα, ἢ φοίνικας ἐν οἴνῳ ἐψημένους, ἢ μῆλα κυδώνια ἐν οἴνῳ ἐψημένα μετὰ κηρωτῆς μηλίνης ἢ ῥοδίνης.

Πῶς καταπλαστέον τὰς ζεούσας φλεγμονάς.

Τὰς δὲ ζεούσας φλεγμονὰς καταπλαστέον τούτῳ, ὃ σκευάζεται οὕτως· μελίλωτον ἐν γλυκεῖ ἑψεῖται ἕως δύναται λειωθεῖναι· λειωθέντος δὲ αὐτοῦ, λέκιθοι ᾠῶν ὀπτῶν συλλειοῦνται, καὶ προσλαμβάνει μήλινον ἢ ῥόδινον ἢ κρόκον, εἶθ' οὕτως φοίνικας ἐν οἴνῳ ἐψήσας κεκραμένῳ, λείου ἐπιπάσσων ἄλφιτα καὶ ἔλαιον ῥόδινον ἢ μήλινον μιγνὺς. Ἐρυσιπελατώδεις δὲ φλεγμοναὶ γνωσθήσονται ἐκ τοῦ ὡς πυρικαύ-

---

5 ἐκλύσις B. ἐπιτάσιν B. 10 φοτεινᾷ B. ἀλεεινῷ Γ. 11 χρωμένας B. 15 „πτισσάνης“ ἅπαντ. τὰ κείμ. 17 μηδὲ ἀποτρωσμονὴ ἢ μὴ δὲ A. 18 „μὴ δὲ“ ἐν ἅπασ. τοῖς κείμ. ἄνευ, καὶ B. 22 πλῆσθος B. ἐπιγαστρίῳ B. 23 οἰσσυπερὰ B. 24 ἐψημένας B. κυδωνία B. 29 οὕτως B. καὶ, ἀντὶ, ἢ B. 31 ἐπὶ δὲ τῶν ἐρυσιπελατωδῶν φλεγμονῶν A. ἐρεσυπελατωδῶν B. ἄνευ, δὲ B. ἄνευ, ὡς BΓ.

στους ἀλγηδόνας γενέσθαι περὶ τοὺς γυναικείους τόπους. χρηστέον δὲ καταπλάσμασιν ἔχουσιν ἄλφιτα μετὰ σέρεως ἢ περδικίου βοτάνης, ἢ κοτυληδόνος, ἢ ἀειζώου, ἢ πολυγόνου, ἢ ἑλίκων ἀμπέλου, ἀνδράχνης, ἀρνογλώσσου καὶ τῶν παραπλησίων. καί τινι χυλῷ τῶν εἰρημένων ἔριον βρέχων μετὰ ῥοδίνου ἢ μηλίνου προστίθει τῷ κόλπῳ, εἰ δὲ μὴ ἀνέχονται οἱ τόποι τῶν καταπλασμάτων, ὕδωρ καὶ ῥόδινον μίξαντες ἐκ μικρῶν διαστημάτων ἐπιτέγγομεν τοὺς τόπους. Ἐν παρακμῇ δὲ τοῦ παροξυσμοῦ ἀλείφειν προσήκει ὅλον τὸ σῶμα καὶ ἐγκαθίζειν ὕδατι χλιαρῷ ἕως τῆς ὀσφύος, ἔπειτα πεσσοὺς προσθετέον διά τινος τῶν ἠρέμα στυφόντων μύρων, ῥοδίνου, ἢ μηλίνου, ἢ σχινίνου, ἢ οἰνανθίνου, προσπλέκοντες ᾠοῦ λέκιθον ὠμὴν ἢ ὀπτὴν μετὰ κρόκου, ἔσθ' ὅτε καὶ τῶν προρρηθέντων χυλῶν τινά. τὴν δὲ κεφαλὴν βρέχε ῥοδίνῳ μετὰ ὄξους βραχέος· πραϋνθείσης δὲ ποσῶς τῆς φλεγμονῆς, ἐγκαθιστέον εἰς ὑδρέλαιον θερμὸν καὶ πεσσοὺς προσενεκτέον διὰ σουσίνου ἢ ναρκισσίνου, ἔριά τε διάβροχα ἐλαίῳ θερμῷ ἐπιθετέον ἤτρῳ καὶ ὀσφύϊ, σικύας δὲ προσενεκτέον τῷ ἐφηβαίῳ καὶ τῷ ἐπιγαστρίῳ, ἐνίοτε δὲ καὶ τῇ ὀσφύϊ· μεγάλου δὲ ὄντος τοῦ ὄγκου καὶ ἀμυχὰς διδόναι. Παρακμαζούσης δὲ τῆς φλεγμονῆς μεταβατέον ἐπὶ τὰ χαλᾶν καὶ διαφορεῖν ποσῶς δυνάμενα. ἐγκαθιστέον μὲν οὖν αὐτὰς εἰς ἀφέψημα τήλεως, ἀλθαίας, λινοσπέρματος, ἐνίοτε δὲ καὶ γλήχωνος, ἢ πρασίου, ἢ ἐλελισφάκου, ἢ ἀρτεμισίας. καταπλαστέον δὲ τὸ ἐπιγάστριον καὶ τὸ ἐφήβαιον τῷ κριθίνῳ μετὰ τήλεως καὶ λινοσπέρματος ἡψημένῳ ἐν μελικράτῳ, ἢ σύκων ἀφεψήματι. ἐπὶ δὲ τῶν βάρους ἢ θερμασίας μὴ ἀνεχομένων, τὸ μὲν ἐγκάθισμα ὕδωρ ἔστω χλιαρὸν ῥοδίνῳ ἀλειφομένων τῶν τόπων, κηρωτὴν δὲ ἐπιτιθέναι ναρδίνην, καὶ πεσσοὶ δὲ καὶ ἐγχυματισμοὶ καθ' ἕτερον εἶδος παραλαμβανέσθωσαν, δι' οἰσύπου μὲν καὶ βουτύρου καὶ μυελοῦ ἐλαφείου καὶ χηνείου στέατος καὶ σουσίνου μύρου καὶ κηροῦ, ἐφ' ὧν θερμασίας ἀνέχονται οἱ τόποι· ἐφ' ὧν δὲ οὐκ ἀνέχονται, συμμέτρου ψύξεως χρεία δι' ὀρνιθείου στέατος καὶ ῥοδίνου καὶ οἴνου· σὺν δὲ τῇ θεραπείᾳ προκοπτούσῃ

[Margin: Τίσιν ἐ παρακμ τοῦ παρ ξυσμοῦ]

[Margin: Τίσιν ἐν παρακμ φλεγμονῇ]

2 σύρεως *B*. 4 τινὶ *B*. 10 ῥοδίνων ἢ μηλίνων κλπ. γενικ. πληθυντ. *BΓ*. 12 λέκιθα *B*. 13 ἄνευ, βρέχε *B*. 14 πρᾳωθείσης *B*. 17 ὑπογαστρίῳ *Γ*. 19 „ἐπὶ τὸ" τὰ κείμ. ἡμ. διόρθ. „ἐπὶ τὰ" Ζερβ. 20 διαφυρεῖν *B*. 21 αὐτὸς *B*. τίλεως *A*. 23 τίλεως *A*. 28 „ὑσσώπου" ἅπαντ. τὰ κείμ. ἡμ. διόρθ. „οἰσύπου" Ζερβ. 29 „μυελοῦ ἐλάφου" ἐπαναλ. δὶς ὁ *B*.

καὶ ἡ διὰ τῆς λεπτῆς καὶ ὀλίγης τροφῆς δίαιτα προκοπτέτω, ὥστε βεβαίας παρακμῆς γενομένης ἐπὶ λουτρὸν ἄγειν, καὶ οἶνον διδόναι, καὶ ἀναληπτικῶς διαιτᾶν, καὶ μαλάγμασι χρῆσθαι τῷ διὰ μελιλώτων καὶ τῷ Μνασαίου καὶ τῇ σεραπίωνι μηλίνῃ.

ΠΕΣΣΟΙ ΔΕ ΕΙΣΙΝ ΑΝΩΔΥΝΟΙ ΠΡΟΣ ΦΛΕΓΜΟΝΑΣ ΜΗΤΡΑΣ ΟΙ ΤΟΙΟΥΤΟΙ.

ΚΕΦΑΛΑΙΟΝ ΟΘʹ.

Πεσσὸς συμπεπτικὸς καὶ παρηγορικός. *Τῆλιν ἀποβρέχων τὸ πρῶτον καὶ τὸ δεύτερον ἀφέψημα, εἶτα τὸ τρίτον ὕδωρ καθαρὸν βαλὼν γλυκὺ ἕψε, καὶ διηθήσας διὰ ῥάκους ἐπίβαλλε τῷ ἀφεψήματι χήνειον στέαρ πρόσφατον ἢ ὀρνίθειον, καὶ τῆκε ἐπ' ἀνθράκων. εἶτα ἄρας ἀπὸ τοῦ πυρὸς ἕα ψυχθῆναι, καὶ τὸ ἐπιπηγνύμενον στέαρ ἄφελε καὶ ἀπόθου. ἐπὶ δὲ τῆς χρείας, τῷ πλάτει τῆς σπαθομήλης μαλάσσων ἐπὶ τῆς χειρὸς καὶ πεσσὸν ἀναλαβὼν, ἐπιτίθει.* *Ἀνώδυνος.* *Πεσσὸς ἀνώδυνος. Κωδύας ἑψήσας ἐν γλυκεῖ μέχρι τακερώσεως, καὶ ἐκπιέσας καὶ διηθήσας, τῆκε τῷ ἀφεψήματι μυελὸν ἐλάφειον καὶ χρῶ. εἰ δὲ μὴ παρείη, μυελὸν μόσχειον.* *Ἄλλος.* *Ἄλλος. Τήλεως ξηρᾶς κεκομμένης καὶ λεπτότατα σεσησμένης δραχ. δ. ἕψε ἐν γλυκεῖ κρητικῷ ἢ ἀφεψήματι, καὶ λέαινε ἐπιμελῶς· τήξας δὲ ἐπὶ διπλώματι[1] τερεβινθίνην καὶ χήνειον στέαρ ἀνὰ δραχ. δ. ῥοδίνου γοα καὶ δραχ. εζ. ἐπίβαλλε τῇ ἑψηθείσῃ καὶ λειωθείσῃ τήλει, καὶ ἑνώσας ἀναλάμβανε καὶ δίδου προστίθεσθαι.*

---

4 τῶν, ἀντὶ. τῷ *B*. 5 „πεσσοὶ κλπ." μέχρι „τοιοῦτοι" παραλ. *B*. 8 τοὺς πεσσοὺς τούτους κεχωρισμένους ὄντας προσηγγίσαμεν ἀλλήλοις χώρου οἰκονομίας χάριν. *Ζερ.* 9 ἕψει *A*. 10 χηνείου *B*. 12 στέαρ πρόσφατον *B*. 13 πλάθει, ἀντὶ, πλάτει *B*. 14 κωδύας ἕψεμεν γλυκείῳ ἢ ὀξυκράτῳ καὶ τακερὰ ἀναλωθέντα ἀποθλῖψαι τῷ ἑψήματι διηθημένα προσμίξας μυελὸν ἐλάφειον τηκτὸν χρῶ μήτε παρούσῃ τὸ μοσχεῖον λάμβανε *B*. 17 πεσσὸς ἀνώδυνος *B*. τίλεως *A*. 18 ἕψει *A*. 19 λέαιναι *Γ*. τερεβινθίνης *AB*. 21 ἄνευ, καὶ λειωθείσῃ *B*.

---

[1] „Ἐπὶ διπλώματι" ἀλλὰ καὶ „ἐπὶ διπλώματος" καὶ „ἐν διπλώματι" φέρεται πλειστάκις· Γαληνὸς δὲ ἐξηγεῖται λίαν σαφῶς τὸν τῆς ἐκτελέσεως τρόπον, ἐπαγόμενος· „βέλτιον δὲ ταύτην ἐπὶ διπλοῦ σκεύους τήκειν. Ὀνομάζομεν δὲ οὕτως, ὅταν ἐν κακκάβῃ θερμὸν ὕδωρ ἐχούσῃ, σκεῦος ἕτερον ἐνίσταται μετὰ τῶν τηκτῶν . . . ὑποκαιομένης τῆς κακκάβης".

ΑΛΛΟΣ ΠΕΣΣΟΣ ΥΠΝΟΠΟΙΟΣ ΑΝΩΔΥΝΟΣ ΣΚΛΗΡΙΑΣ ΠΑΣΗΣ ΜΑΛΑΚΤΙΚΟΣ.

ΚΕΦΑΛΑΙΟΝ Π′.

Κωδύας τρεῖς συμμέτρους τῷ μεγέθει βρέχε μετὰ γλυκέος κοτύλης δ ἐπὶ ἡμέρας β. εἶτα ἕψε μέχρι τακεραὶ γένωνται αἱ κωδύαι καὶ ἀποτριτωθῇ τὸ ὑγρὸν, καὶ ἀποθλίψας τὰς κωδύας καὶ ῥίψας καὶ διηθήσας τὸ ἀφέψημα δι' ὀθονίου, ἔχε ἐν ἑτοίμῳ· βαλὼν δὲ χαλβάνης, σμύρνης τρωγλίτιδος, λιβάνου, ὀπίου, ἀνὰ δραχ. αζ. καὶ κασίας λειοτάτης δραχ γ. λείου ἐπιβαλὼν τὸ ἀφέψημα τῶν κωδυῶν κατὰ βραχὺ, ὅσον ἐξαρκεῖ εἰς τὸ εὐλείωτον γενέσθαι καὶ ἔχειν σύστασιν μέλιτος παχύτερον. εἶτα ἐπίβαλλε τὰ τετηκότα, ὑσσώπου, μυελοῦ ἐλαφείου, στέατος χηνείου ἀνὰ δραχ. δ. καὶ, ἑνώσας ἀκριβῶς ἀναλάμβανε. ἐπὶ δὲ τῆς χρείας ἀνέσας ῥοδίνῳ καὶ πεσσὸν ἀποβρέχων ὑποτίθει. Οὗτος ἰᾶται παραχρῆμα πᾶσαν ὀδύνην καὶ τὰς ἐπιτεταμένας φλεγμονὰς, ἀπαλλάττει δὲ καὶ ὑστερικῆς πνιγὸς, μαλάττει καὶ τὰς σκληρίας, καὶ ὕπνον ποιεῖ παραχρῆμα.

ΑΛΛΟΣ ΠΕΣΣΟΣ ΥΠΝΟΠΟΙΟΣ ΠΡΟΣ ΦΛΕΓΜΟΝΑΣ.

ΚΕΦΑΛΑΙΟΝ ΠΑ′.

Βρύου τοῦ ὕπνου[1] *λεγομένου ζεσθέντος ὕδατι καὶ ἐκπιεσθέντος καὶ λειοτριβηθέντος, καὶ ἄρτου μελικράτου βραχέντος καὶ λειωθέντος, τοῦ βασιλικοῦ φαρμάκου, τῆς διὰ χυλῶν, ναρδίνου μύρου, καὶ στέατος ὀρνιθείου ἀνὰ μέρος α. τήξας ἐν διπλώματι τὴν διὰ χυλῶν, νάρδινον καὶ στέαρ ὀρνίθειον χρῶ. ποιεῖ πρὸς οὐρήθραν φλεγμαίνουσαν, καὶ ὑστέραν, καὶ παρεγκλίσεις· ἐγὼ δὲ ἀντὶ τοῦ ἄρτου, ζύμην καθαρωτάτην βρέχων χωρὶς ἁλῶν ἐσκευασμένην καὶ μὴ ὀξυκνῖαν πάνυ ἐχρώμην.*

---

1 ἀνώδυνος ὑπνοποιὸς *B*. 4 βρέχει *B*. 5 ἕψει *A*. ταμεροὶ *B*. γίνωνται *B*. 7 „δι' ὀθονίου κλπ." μέχρι „τῶν κωδυῶν" στίχ. 10 παραλ. *B*. 8 σμύρνης, τρωγλίτιδος *A*. ἡμ. διόρθ. „σμύρνης τρωγλίτιδος" Ζερβ. 12 τηκότα *B*. 13 χρείας δὲ *B*. τῇ χρείᾳ δὲ *Γ*. 14 ἀπόβρεχε *B*. 16 καὶ ὑπὸ *A*. 23 ὀρνιθίου *B*. 26 ζυμὴν *B*. 27 ἐσκευασμένης *B*. ὀξυκνίαν *Γ*.

---

[1] *Βρύον ὑπό τινων δὲ καὶ σπλάγχνον κατὰ Διοσκ. καλεῖται· φύεται δὲ ἐπὶ δένδρων κεδρίνων ἢ λευκίνων ἢ καὶ δρυΐνων, καὶ τούτοις ἑλίσσεται.* Ζερβ.

ΠΕΣΣΟΣ ΠΡΟΣ ΦΛΕΓΜΟΝΑΣ ΚΑΙ ΠΑΡΕΓΚΛΙΣΕΙΣ Ο ΧΡΥΣΟΥΣ.

ΚΕΦΑΛΑΙΟΝ ΠΒ΄.

Ὠῶν ὀπτῶν ἕξ τὰ πυρρὰ, μυελοῦ ἐλαφείου δραχ. δ. κρόκου δραχ. β. οἰσύπου δραχ. β. κηροῦ λευκοῦ, τερεβινθίνης, στέατος χηνείου ἀνὰ δραχ. α. οἴνῳ ὀλίγῳ γλυκεῖ λείου τὸν κρόκον, εἰ μὴ δύναται κοπῆναι, τὰ δὲ ὠὰ ὀπτήσας λείου, καὶ τήξας ἐπὶ διπλώματι τὰ τηκτὰ καὶ ψύξας ἐπίχεε, καὶ ἑνώσας χρῶ· ναρδίνῳ ἀνέσας ὅσον ἐξαρκεῖ καὶ ἐν πεσσῷ προστίθει.

Ἄλλος. Ἄλλος. Κηροῦ τυρρηνικοῦ δραχ. κδ. στέατος χηνείου δραχ. στ. ὑείου στέατος, τερεβινθίνης ἀνὰ δραχ. στ. κωδυῶν ἀφεψήματος δραχ. δ. ῥοδίνου τὸ ἀρκοῦν· εἰ δὲ θερμαίνειν δέει καὶ διαφορεῖν, ἰρίνου.

Ἄλλος. Ἄλλος. Στέατος χηνείου γοδ ἤτοι οὐγ. δ. κηρωτῆς ῥοδίνης ἢ σουσίνης γοβ ἤτοι οὐγ. β. ὠῶν ὀπτῶν λεκίθων γοα. κρόκου γοα ἤτοι οὐγ. α. σμύρνης δραχ. δ. ὀπίου ὀβολοὺς β. ἢ μᾶλλον ἀντὶ τοῦ ὀπίου κωδυῶν ἀφέψημα.

Ἄλλος. Ἄλλος. Κηροῦ τυρρηνικοῦ, μυελοῦ ἐλαφείου ἀνὰ δραχ. ρ. χηνείου στέατος, τερεβινθίνης ἀνὰ δραχ. δ. κρόκου ὀβολοὺς δ. ὀπίου ὀβολοὺς β. ὠοῦ ὀπτοῦ λέκιθον, σουσίνου μύρου, τηλίνου τὸ ἀρκοῦν.

Ὁ ἐννεαφάρμακος. Ὁ Ἐννεαφάρμακος πεσσὸς πρὸς φλεγμονάς. Κηρὸν λευκὸν, τερεβινθίνην, στέαρ χήνειον καὶ βόειον, βούτυρον, μυελὸν ἐλάφειον, μέλι ῥόδινον, κύμινον, ἴσα πρόσφατα πάντα διπλώματι τήκεται.

Πεσσὸς πρὸς τὰς πυρωδεστέρας φλεγμονάς. Πεσσὸς πρὸς τὰς πυρωδεστέρας φλεγμονάς. Τὴν διὰ χυλῶν ἔμπλαστρον ἐν διπλώματι μετὰ ῥοδίνου τήξας, μιγνὺς χυλῷ ἀρνογλώσσου καὶ ἀνακόψας χρῶ. μὴ παρόντος δὲ ἀρνογλώσσου, ἠριγέροντος[1] χυλὸν ἢ σέρεως μίσγε. Ἐὰν δὲ πολλὴ θερμασία καὶ ἐρυσιπελατώδης εἴη ἡ φλεγμονὴ, στρύχνου φύλλα ἁπαλὰ λεάνας μετὰ γάλακτος γυναικείου, δίδου προστίθεσθαι.

Ἄλλο πρόσθετον. Ἄλλο πρόσθετον πρὸς φλεγμονάς. Κρίνου

---

1 χρησοῦς Β. 4 ὑσσώπου ΑΓ. 6 „κοπτῆναι" τὰ κείμ. ἡμ. διόρθ. „κοπῆναι" Ζερβ. 7 τήξας, ἀντὶ, ψύξας Β. 10 κωδύων Β. 12 ῥοδίνου ἢ σουσίνου Β. 15 „κωδύων" κείμ. ἡμ. διόρθ. „κωδυῶν" Ζ. 17 ἄνευ, δ. Β. „λεκίθον" τὰ κείμ. „λέκιθον" Ζ. 18 τιλίνου Α. 20 κήκινον, ἀντὶ, κύμινον Α. 22 κατὰ, ἀντὶ, μετὰ Β. 24 χυλοὺς Β. συρέως Β.

---

[1] Ἠριγέρων ἐκλήθη ὡς ἐνωρὶς ἢ ἐν τῷ ἔαρι γηράσκων, κατὰ Διοσκ. λαμβάνει φαιὰν ἐν τῷ θέρει ἢ λευκὴν σπόρου στεφάνην· παρὰ Λινναίῳ Senecio vulgaris. Ζερβ.

ἄνθος λεάνας, ἀναλάμβανε κηρωτῇ ὑγροτέρᾳ ἐχούσῃ ῥόδινον ἔλαιον καὶ μυελὸν ἐλάφειον καὶ στέαρ χήνειον. Ἄλλος. Χυλὸν παχύτατον ποιήσας λινοσπέρματος καὶ τήλεως καὶ ἀλθαίας, συλλειώσας καὶ κρόκον καὶ στέαρ τήξας, καὶ ἐπιβαλὼν καὶ ἑνώσας χρῶ. Πάντων δὲ τῶν πεσσῶν καὶ τὸ βούτυρον καὶ οἱ μυελοὶ καὶ τὰ στέατα πρόσφατα ἔστωσαν, καὶ ἐπὶ διπλώματι τηκέσθωσαν· τὰ γὰρ παλαιὰ ἐν τῇ ἑψήσει κνισσούμενα, θερμότερα γίνεται καὶ παροξύνει τὰς φλεγμονάς. οὐ χρὴ δὲ ἐν ταῖς φλεγμοναῖς καὶ ταῖς διατάσεσι τῆς ὑστέρας κατασπᾶν τὰ καταμήνια, διατείνονται γὰρ οἱ τόποι μᾶλλον, καὶ οὐδὲ τὰ φλεγμαίνοντα καὶ διὰ τοῦτο μεμυκότα τόπον δίδωσι τῇ τοῦ αἵματος διεξόδῳ. πρὸς φλεγμονὰς δὲ ὑστέρας καὶ τὴν τετραφάρμακον ῥοδίνῳ ἀνέσας, προστίθει ἢ ἔγχεε. Ἐὰν δὲ πολλὴ ἡ θερμασία καὶ ἐρυσιπελατώδης εἴη ἡ φλεγμονή, στρύχνου φύλλα ἁπαλὰ λεάνας μετὰ γυναικείου γάλακτος, δίδου προστίθεσθαι. ἐὰν δὲ μετὰ φλεγμονῆς καὶ ἕλκωσις εἴη, ἐκ λευκοῦ κηροῦ κηρωτὴν ῥοδίνην ποιήσας ἔχουσαν τὸ τρίτον στέαρ χήνειον, λέαινε παραστάζων ᾠοῦ τὸ λευκὸν ὅσον ἐπιδέχεται, καὶ χρῶ. παυσαμένων δὲ τῶν φλεγμονῶν προτρέπεσθαι χρὴ τὰ καταμήνια.

Ἄλλος.

ΠΕΡΙ ΣΚΙΡΡΟΥ ΚΑΙ ΣΚΙΡΡΩΜΑΤΩΝ ΕΝ ΥΣΤΕΡΑ, ΣΩΡΑΝΟΥ.

ΚΕΦΑΛΑΙΟΝ ΠΓ'.

Σκιρροῦται ἡ μήτρα ἔσθ' ὅτε μὲν αἰφνίδιον μηδενὸς προφανέντος σημείου, τὰ δὲ πολλὰ φλεγμονῆς προηγησαμένης, καὶ μήτε λυθείσης, μήτε εἰς ἀπόστασιν μετελθούσης. εἶδος δὲ τοῦ σκίρρου καὶ τὸ λεγόμενον σκίρρωμα ἐστὶν, ὁμοίως ὄγκον ἔχον, ἴσον δὲ ἀντίτυπον μετ' ἀλγήματος συμμέτρου. γίνεται δὲ ὡς ἐπὶ τὸ πολὺ τὰ σκιρρώματα περὶ τὸν τράχηλον τῆς ὑστέρας, ἅτινα ὑποπίπτει τῷ δακτύλῳ ἐν τῇ σημειώσει· ὡς ἐπίπαν δὲ συμβαίνει καὶ τὸν τράχηλον τῆς μήτρας ἀποστρέφεσθαι πρὸς τὸ σκίρρωμα. ὅταν δὲ σκίρρος γένηται περὶ τὸν πυθμένα τῆς μήτρας, ὄγκος ὑποπίπτει ἰσχυρὸς καὶ ἀντίτυπος, βάρος ἐμποιῶν καὶ δυσκινησίαν οὐ μόνον σκελῶν, ἀλλὰ καὶ ὅλου τοῦ σώματος, καὶ ὄκνον πρὸς πάσας τὰς βιωτικὰς πράξεις. Χρονίσαντος δὲ

Τί ἐστι σκίρρωμ

---

2 ἄνευ, ἐλάφειον *B.* 3 τίλεως *A.* 10 ἄνευ, γὰρ *B.* 20 σκίρου *A.* σκιρωμάτων *A.* 25 σκίρου *A.* σκιρρῶμα *B.* 29 σημαίνει *B.* 31 βαρέος *B.*

τοῦ σκίρρου, παρέπεται καχεξία ὅλου τοῦ σώματος καὶ ἄχροια, ἐνίοτε δὲ καὶ ὑδερώδης παρέγχυσις. ὅσα μὲν οὖν περὶ τὸ στόμα καὶ τὸν τράχηλον τῆς ὑστέρας συνίσταται σκιρρώματα, εὐΐατα Θεραπεία. *εἰσίν, ὅσα δὲ περὶ τὸ κύτος δυσίατα. Ἐν ἀρχῇ τοίνυν εἰ μηδὲν εἴη τὸ κωλῦον, οὔτε ἡ δύναμις καὶ ἡ ἡλικία ἀπαγορεύει, φλεβοτομεῖν ἀπ' ἀγκῶνος σύμμετρον ἀφαιροῦντας, ἢ καθαίρειν διὰ τῆς Ἀρχιγένους ἱερᾶς· ἐγκαθίσμασί τε χρῆσθαι δι' ἀφεψήματος τήλεως, λινοσπέρματος, γλήχωνος, ἀρτεμισίας, σικύου ἀγρίου ῥίζης καὶ φύλλων, καὶ τῇ ἀπὸ τῶν ἀρωμάτων πυρίᾳ, καὶ ἐγχυματίζειν τὴν μήτραν σουσίνῳ, ἢ ναρκισσίνῳ, ἢ ἰρίνῳ, ἢ γλευκίνῳ, ἢ στέατι χηνείῳ ἢ ὀρνιθείῳ ἢ ὑείῳ προσφάτῳ τετηγμένῳ σύν τινι τῶν μύρων, ἢ γάλακτι βοείῳ ἢ αἰγείῳ μετὰ στέατος χηνείου, καταπλάσσειν τὸ ὑπογάστριον δι' ἰσχάδων, ὑσσώπου, νίτρου, ἀψινθίου, καὶ σικυαστέον μετὰ καταχασμοῦ· ὕστερον δὲ καὶ τῷ πολυαρχίῳ χρηστέον, καὶ τῷ διὰ σπερμάτων, καὶ τῷ διὰ δαφνίδων καὶ τοῖς* Πεσσοί. *ὁμοίοις τοῖς μετὰ βραχὺ ῥηθησομένοις. Πεσσοῖς δὲ χρηστέον τοῖς παρηγοροῦσι καὶ ἀναστομοῦσιν. ἀγαθὴ δὲ δύναμις καὶ ἡ πρὸς τὰ ἐν μήτρᾳ κονδυλώματα ἀναγραφησομένη διὰ λυκίου[1] καὶ ὑσσώπου, καὶ ὁ προγεγραμμένος πρὸς φλεγμονὰς πεσσὸς ὁ κωδύας τρεῖς λαμβάνων. ἔτι δὲ καὶ οὕτως παραπλήσιος αὐτῷ ὑπάρχων· μήκωνος κωδύας δύο βρέχε μετὰ γλυκέος ἡμέρας τρεῖς, καὶ ἕψε ἕως τυρωθῇ· καὶ ἐκπιέσας καὶ διηθήσας λεῖον τῷ ἀφεψήματι χαλβάνης δραχ. α. κασίας, μανδραγόρου χυλοῦ ἀνὰ δραχ. γ. σμύρνης, λιβάνου ἀνὰ δραχ. α. τήξας δὲ οἰσύπου, μυελοῦ ἐλαφείου, στέατος χηνείου ἀνὰ δραχ. γ, ἐπίχεε τοῖς λειωθεῖσι καὶ ἀναλάμβανε εἰς μολύβδινον ἀγγεῖον, καὶ ἀνέσας ὅσον ἐλαίας μέγεθος μετὰ ῥοδίνου, προστίθει χλιαρὸν [δὶς] ἢ τρὶς τῆς ἡμέρας. καλῶς δὲ ποιεῖ καὶ ἡ τετραφάρμακος καὶ ἡ ἑπταφάρμακος, καὶ ἡ ἐννεαφάρμακος, καὶ ἡ τοῦ Ἀζανίτου, καὶ ἡ διὰ χυλοῦ σουσίνῳ ἢ*

---

1 σκιρροῦ *B.* 5 κώλυον *B.* ἄνευ, ἢ *B.* 7 ἐγκαθίσματί *B.* 8 τίλεως *A.* 11 συζεμένῳ, ἀντὶ, τετηγμένῳ *Γ.* 14 ἄνευ. τῷ *B.* 16 ἄνευ, τοῖς *AB.* 17 ἀναστομοῦν *A.* 18 ἀναγραφησομένα *B.* 20 αὐτὸς, ἀντὶ, αὐτῷ *B.* 23 „κασσίας" τὰ κείμ. *Z.* 24 „ὑσσώπῳ" τὰ κείμ. ἡμ. τροπ. „οἰσύπου" Ζερβ. 27 „δὶς" ἡμ. προσθήκη Ζερβ.

---

[1] Ἐκ τοῦ τόπου ὅπου ὡς ἐπὶ τὸ πολὺ φύεται ὁ ἀκανθώδης οὗτος θάμνος· καὶ πυξάκανθα ἄλλως καλούμενος παρά τε Πλινίῳ καὶ Διοσκορ. Ζερβ.

κυπρίνῳ ἀνεθεῖσα. Πεσσὸς ὁ λίβανος μαλακτικός. Κηροῦ λευκοῦ γογ ἤτοι οὐγ. γ. ναρδίνου, σουσίνου, γλευκίνου, μυελοῦ ἐλαφείου, στέατος χηνείου, ἀνὰ γοβ ἤτοι οὐγ. β. ὑσσώπου, βουτύρου, νίτρου ἀνὰ δραχ. δ. τινὲς δὲ καὶ ᾠοῦ ὀπτοῦ λεκίθου δραχ. α. Ἄλλος ὁ τίτανος. Κηροῦ γοστ. κολοφωνίας γοαζ ἤτοι οὐγ. μίαν καὶ ἡμίσ. στέατος ταυρείου γοδ. πίσσης, τερεβινθίνης ἀνὰ γογ. μυελοῦ ἐλαφείου, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ γοα. τὸ ἀμμωνιακὸν ὕδατι λείου.

ΑΛΛΟΣ ΠΕΣΣΟΣ ΜΑΛΑΚΤΙΚΟΣ.

Κηροῦ λευκοῦ, ναρδίνου μύρου, ἀνὰ γογ. ἰρίνου μύρου, γλευκίνου, κυπρίνου, στέατος ἀρκείου, στέατος χοιρείου ἀνὰ γοβ. βουτύρου, μυελοῦ ἐλαφείου, οἰσύπου, τερεβινθίνης ἀνὰ γοδ ἤτοι οὐγ. δ. Ἄλλος πεσσὸς πρὸς σκληρίας. Κηροῦ λευκοῦ, τερεβινθίνης, μυελοῦ ἐλαφείου, στέατος ὀρνιθείου καὶ χηνείου, βουτύρου, ναρδίνου μύρου καὶ σουσίνου καὶ σμύρνης, ἕκαστον ἴσον μετὰ μέλιτος χρῶ. μὴ παρόντος δὲ σουσίνου, τηλίνῳ χρῶ. Ἄλλο. Λαδάνου, στέατος χηνείου, μυελοῦ ἐλαφείου, σουσίνου ἢ τηλίνου ἐλαίου τὸ ἀρκοῦν. Ἄλλος μαλακτικὸς ὁ χρυσοῦς. Κηροῦ γοδ ἤτοι οὐγ. δ. μυελοῦ ἐλαφείου, στέατος χηνείου ἀνὰ γοα ἤτοι οὐγ. α. ὑσσώπου δραχ. δ. κρόκου δραχ. α. σμύρνης, χαλβάνης ἀνὰ δραχ. α. σουσίνου τὸ ἀρκοῦν.

ΑΛΛΟ ΠΡΟΣ ΠΑΣΑΣ ΤΑΣ ΥΣΤΕΡΙΚΑΣ ΧΡΟΝΙΑΣ ΔΙΑΘΕΣΕΙΣ.

ΚΕΦΑΛΑΙΟΝ ΠΔʹ.

Σμύρνης δραχ. α. βδελλίου δραχ. β. ναρδοστάχυος, κρόκου ἀνὰ δραχ. γ. κασίας, λαδάνου ἀνὰ δραχ. β. μελιλώτων δραχ. η. φοινίκων δέκα τὰς σάρκας. οἴνου γλυκέος κύαθον α. σουσίνου γοδ. ῥοδίνου καὶ κυπρίνου ὁμοίως. τὰ ξηρὰ προλέαινε μετὰ τοῦ γλυκέος, εἶτα μετὰ τῶν μύρων βαλὼν ἕψε ἐπὶ μαλακοῦ πυρὸς καὶ χρῶ. Ἐπιθέμασι δὲ χρηστέον κατὰ τοῦ ὑπογαστρίου τῷ τε πολυαρχίῳ ὡς προείρηται, τῷ διὰ σπερμάτων, τῷ διὰ μελιλώτων, καὶ τῷ διὰ δαφνίδων· καλῶς δὲ ποιεῖ πρὸς τὰς σκληρίας καὶ τὰς ἐμπνευματώσεις τῆς ὑστέρας τοῦτο. πιτυΐνης λίτρ. γ. κηροῦ γοκ ἤτοι οὐγ. κ.

---

1 ὁλίβανος *Γ*. 8 ἀμμωνιακᾷ *Γ*. 12 ὑσσώπου *ΑΓ*. 15 κηροῦ, ἀντὶ, μύρου *Α*. 29 δὲ, ἀντὶ, τε *Β*.

ἀποχύματος ζύμης ὠξυκυίας λίτρ. α. χαλβάνης γογ ἤτοι οὐγ. γ. ἀμμωνιακοῦ θυμιάματος, ὀποπάνακος ἀνὰ γοβ. ἀλόης ἢ ἅλμης δριμυτάτης τὸ ἀρκοῦν. ὀποπάνακα, ἀμμωνιακὸν λείου τῇ ἅλμῃ, εἶτα τὴν ζύμην ἐπίβαλλε καὶ διάλυε ποσῶς, καὶ τήξας τὰ τηκτὰ ἐπίβαλλε αὐτοῖς τὰ λειωθέντα καὶ σπάθιζε ἕως ψυχῇ, καὶ ταράσσων εἰς θυίαν μάλασσε ἐπὶ πολύ.

Η ΔΙΑ ΨΙΧΩΝ ΑΝΕΤΙΚΗ ΠΟΙΟΥΣΑ ΠΡΟΣ ΣΚΛΗΡΙΑΣ ΕΦ' ΟΙΟΥ ΔΗ ΤΙΝΟΣ ΤΟΠΟΥ, ΚΑΙ ΦΛΕΓΜΟΝΑΣ ΤΑΣ ΣΚΛΗΡΟΤΕΡΑΣ ΔΙΑΦΟΡΟΥΣΑ.

ΚΕΦΑΛΑΙΟΝ ΠΕ'.

Ἀλθαίας ῥίζης, φοινίκων νικολάων σαρκῶν ἀνὰ λιτρ. β. τήλεως, λινοσπέρματος ἀνὰ λίτρ. α. χαμαιμήλων, μελιλώτων ἀνὰ γοστ ἤτοι οὐγ. στ. οἴνου παλαιοῦ στύφοντος ξέστ. η. λιθαργύρου, ψιμμυθίου, κολοφωνίας ἀνὰ λίτρ. β. κηροῦ, τερεβινθίνης ἀνὰ λίτρ. α. ἐλαίου παλαιοῦ λίτρ. ε. ὕδατος λίτρ. α. ἄρτου σιλιγνίτου[1] *ξηροῦ κεκομμένου καὶ σεσησμένου δραχ. ε. ἐν τῷ οἴνῳ βραχεῖσαι αἱ βοτάναι, εἶτα ἑψηθεῖσαι χυλοῦνται, καὶ τῷ χυλῷ ἐκκεκομμένος καὶ σεσησμένος ὁ ἄρτος βρέχεται· τῇ δὲ ἑξῆς λειοῦται λιθάργυρος ψιμμύθιον ἐν τῷ ὕδατι, καὶ ἑνωθέντος αὐτοῖς τοῦ ἐλαίου ἑψοῦνται ἕως ἀμολύντου, εἶτα ἐπιβάλλεται τὰ τηκτά. ἀρθέντος δὲ τοῦ πυρός, ὁ βεβρεγμένος ἄρτος προμαλάσσεται καὶ κατὰ βραχὺ ἐπιβάλλεται, καὶ ἑνοῦται τῇ σπάθῃ οὕτως εὐτόνως. Ἡ μὲν οὖν πρὸς σκληρίας στομάχου, καὶ διαρροίας κοιλίας, καὶ ἀρχὴν δυσεντερίας συνήθως σκευαζομένη οὕτως ἔχει, καὶ χρῶ αὐτῇ θαρρῶν πρὸς τὰ προειρημένα πάθη. πρὸς δὲ τὰς τῆς μήτρας σκληρίας, καὶ τὰς ἐν ἄλλοις τόποις γινομένας χωρὶς τῶν σπλάγχνων, καὶ ταῦτα παρεμβάλλομεν τοῖς προειρημένοις· ἰοῦ, ἁλὸς ἄνθους, λιβάνου ἀνὰ γοστ. ἴρεως, ἀριστολοχίας ἀνὰ γογ. τερεβινθίνης ἄλλην μίαν. τὴν μὲν*

Πρὸς τὰς τῆς μήτρας σκληρίας κλπ.

---

1 ὠξυκήας Β. „ἀνὰ λίτρ." τὰ κείμ. ἡμ. ἀφῃρ. τὸ „ἀνὰ" Ζερβ. 2 ἄνευ, „ἢ ἅλμης" Β. 6 θύαν Β. 7 ἀνετικὴ διαχυτικὴ Α. 11 ἄνευ, φοινίκων ΑΒ. τίλεως Α. 15 σιλιγνύτου Α. σιλυγίτου ΒΓ. ἡμ. διόρθ. „σιλιγνίτου" Ζ. 21 ἐμβεβρεγμένος Β. 22 καί, ἀντί, τῇ Β. ἄνευ, οὕτως Α. 23 ἀρχὴ Β. 25 τὲ, ἀντί, δὲ Β. 27 παραλαμβάνομεν Β. 28 ἄνευ, ἄλλην Β.

---

[1] Ὁ ἐκ τοῦ σιλιγνίου τοῦ θερινοῦ σιταρίου παραγόμενος ἄρτος, ὁ κοιν. σεμιδαλίτης καλούμενος. Λατιν. Panis Siligneus. Ζερβ.

οὖν τερεβινθίνην σὺν τοῖς προειρημένοις τηκτοῖς ἔμβαλλε, τὰ δὲ ξηρὰ κόψας καὶ σήσας ἐπίπασσε ὅταν ἄρῃς ἀπὸ τοῦ πυρὸς, καὶ οὕτως ἐπίβαλλε τὸν πρὸ μιᾶς βραχέντα ἄρτον, καὶ ἐνώσας τῇ σπάθῃ καὶ ψύξας καὶ ἐπιβαλὼν ἐν θυίᾳ, μάλασσε ἐπὶ πολὺ πρῶτον τῷ δοίδυκι,[1] ἔπειτα καὶ ταῖς χερσὶ χρῶ. Πεσσὸς πρὸς σκληρίας ὑστέρας.[2] Κηροῦ, πιτυΐνης ξηρᾶς, πίσσης, τερεβινθίνης, βουτύρου, ῥοδίνου, ἰρίνου, ναρδίνου, μέλιτος ἀνὰ λιτ. α. νίτρου γο. βζ! Ἄλλος πεσσὸς μαλακτικὸς ἐπιτεταγμένος.[3] Κηροῦ, σουσίνου, ῥοδίνου, χηνείου στέατος ἀνὰ λίτρ. α. ἴρεως, τερεβινθίνης, στέατος λέοντος καὶ ἀρκείου ἀνὰ γοστ. μυελοῦ ἐλαφείου γοδ. γίνεται δὲ ὁ σύμπας σταθμὸς λιτρ. στ καὶ οὐγ. δ. ποιεῖ πρὸς φλεγμονὰς καὶ σκληρίας καὶ ὀδύνας χρονιωτέρας.

Ἄλλος.

Ἄλλος μαλακτικός.

ΠΕΣΣΟΣ ΕΚ ΤΩΝ ΑΡΧΙΓΕΝΟΥΣ.

ΚΕΦΑΛΑΙΟΝ ΠϚʹ.

Ποιεῖ πρὸς σκληρίαν, ἀσθένειαν ἀτρόφου ὑστέρας, πάντων φησὶν, ὧν ἔγνων ἀνυσιμώτατον. καὶ πάσῃ μὲν σχεδὸν διαθέσει ὑστέρας συμφωνότατος πεσσὸς, παντὶ δὲ σκολιωτέρῳ περὶ τὰ νεῦρα νοσήματι κατάλληλον. ἄκοπον δὲ ἔστι τοῦτο· ἰρίνου ἐλαίου, σουσίνου, κυπρίνου, κηροῦ ἀνὰ λίτρ. α. μέλιτος ἀττικοῦ γοε. μαλαβαθρίνου καὶ ναρδίνου μύρου ἀνὰ γοδ. στέατος χηνείου γογ. μυελοῦ ἐλαφείου, ὑσσώπου ἀνὰ γοβ. τερεβινθίνης γο. αζ! ὕσσωπον, μυελὸν λείου μετὰ τοῦ μέλιτος· τῆκε δὲ ἐν ἀργυρῷ σκεύει ἢ ὑελίνῳ ἐπὶ διπλώματι μετὰ τῶν εὐτελεστέρων μύρων πρῶτον κηρὸν, ἔπειτα τερεβινθίνην, στέαρ, ἐπὶ τέλει δὲ τὴν νάρδον καὶ τὸ μαλαβάθρινον ἔλαιον, καὶ καταχέας τοῖς ἐν τῇ θυίᾳ, ἐνώσας ἀναλάμβανε. τοῦτο φησὶ καὶ σφόδρα δοκιμάζων χρῆσθαι συνεχῶς μέχρι τελείας θεραπείας, καὶ μετὰ τὴν ἀποκατάστασιν

7 *νάρδη B.* 9 *ἴρεος B.* 16 *ἀκεσιμώτατον B.* 18 *ἰρίνου, ἐλαίου AB.* 21 „*ἐλαφείου κλπ.*" *μέχρι* „*λείου*" *παραλ. B. μυελὸν A. ἡμ. διόρθ.* „*μυελοῦ*" *Ζερβ.* 22 *λεῖον B. ἄνευ, τοῦ A. ρυγμῷ, ἀντὶ, ἀργυρῷ B.* 24 *ἐπιτέλει B.* 25 *καταχείας B. θήα B.* 26 *δοκιμάζον B. χρῶ B.* 27 *καὶ κατὰ τὴν B.*

[1] *Δοίδυξ ὁ ὕπερος ἐστὶν κοινῶς γουδοχέρι, ἀλλὰ καὶ ὁ τριβεὺς οὕτω καλεῖται ὁ κοιν. δράχτης ἢ ταράχτης. Λατ.* pustillum. *Ζερβ.*

[2—3] *Ἄμφω οἱ πεσσοὶ οὗτοι ἴδια ἀπετέλουν ἐν τοῖς χειρογράφοις κεφάλαια, παρέθηκα ὅμως ἄνευ μεσοχώρου συντομίας καὶ φειδοῦς χώρου χάριν. Ζερβ.*

ἐπὶ χρόνον τινὰ ἀσφαλείας χάριν. Ἐγὼ δὲ ἀντὶ μαλάγματος αὐτῷ χρῶμαι καὶ ἔξωθεν, προσεπιβάλλω δὲ τοῖς προειρημένοις καὶ λιβάνου, κηροῦ, ἀμμωνιακοῦ θυμιάματος, σμύρνης, σχίνου ἄνθους ἀνὰ δραχ. η. πίσσης δραχ. ιστ. χαλβάνης, ὀποπάνακος ἀνὰ δραχ. γ. οἶνον στύφοντα εὐώδη λείου λίβανον, χαλβάνην, ὀποπάνακα, καὶ μίσγε τῷ οἰσύπῳ καὶ τῷ μυελῷ καὶ τῷ μέλιτι προλειωθεῖσιν ἅμα, καὶ πάλιν λείου· τήξας δὲ κηρὸν μετὰ τῶν εὐτελεστέρων μύρων, ἐπίπασσε τὸ ἀμμωνιακὸν λεῖον, καὶ τακέντα ἐπίβαλλε ῥητίνην καὶ τὰ λοιπά. καὶ ἄρας ἀπὸ τοῦ πυρὸς καὶ ψύξας βραχὺ, ἐπίπασσε σμύρνην, σχίνον, καὶ ἐπίχεε τοῖς λεωθεῖσι, καὶ ἑνώσας χρῶ.

ΟΡΕΙΒΑΣΙΟΥ ΕΠΙΘΕΜΑ ΔΙΑ ΔΑΦΝΙΔΩΝ ΠΟΙΟΥΝ ΠΡΟΣ ΣΚΛΗΡΙΑΣ.

ΚΕΦΑΛΑΙΟΝ ΠΖ΄.

Κηρὸν, πιτυΐνην, πίσσαν, νίτρον, δαφνόκοκκον, στέαρ ταύρειον, ἀμμωνιακὸν θυμίαμα ἴσα· τὸ ἀμμωνιακὸν καὶ τὰς δαφνίδας ἰδίᾳ ἕκαστον κόπτε καὶ σῆθε. ἐγὼ δὲ φησὶ, τοῦ νίτρου τὸ ἥμισυ ἔβαλλον.

ΠΕΡΙ ΑΠΟΣΤΗΜΑΤΟΣ ΕΝ ΜΗΤΡΑ, ΑΡΧΙΓΕΝΟΥΣ.

ΚΕΦΑΛΑΙΟΝ ΠΗ΄.

Ἀπόστημα γίνεται περὶ τὴν μήτραν φλεγμονῆς δηλονότι προηγησαμένης, καθάπερ κἀπὶ τῶν ἄλλων μερῶν συμβαίνει· πρότερον μὲν οὖν ἐπιφαίνεται τὰ τῆς φλεγμονῆς σημεῖα, περὶ δὲ τὴν τοῦ πύου γένεσιν οἱ πόνοι ἐπιγίνονται, καὶ οἱ πυρετοὶ μετὰ φρίκης εἰσβάλλουσιν ὡς ἐπίπαν περὶ ἑσπέραν, καὶ ὄγκος μείζων γίνεται καὶ ὀδύνη σφυγματώδης. ἐπέχεται δὲ ἡ γαστὴρ ἢ τὰ οὖρα ἢ καὶ ἀμφότερα, ἡ δὲ τοπικὴ ὀδύνη διασημαίνει τὸν πεπονθότα τόπον. Θεραπεία. Συνεργεῖν χρὴ τοίνυν τῇ ταχείᾳ διαπυήσει, εἰ μὴ δύναται διαφορηθῆναι· καταπλαστέον οὖν τοῖς διὰ λινοσπέρματος, τήλεως καὶ κριθίνου, περιπλέκοντας καὶ ἰσχάδας ἑφθὰς, καὶ ἀλ-

---

1 ἀσφαλίας B. 2 ἄνευ, καὶ B. προσεπιβάλλων B. 8 ἐντελεστέρων B. 12 „ὀριβασίου“ τὰ κείμ. Z. 16 ἶσα A. 22 πρωτέρον B. 23 „περὶ τὴν δὲ“ τὰ κείμ. ἡμ. τροπ. „περὶ δὲ τὴν“ Zερ. 30 τίλεως B. περιπλέκοντος B. ἐφθὰς A.

θαίας ῥίζαν, καὶ τερεβινθίνην, ἐνίοτε δὲ καὶ περιστερᾶς κόπρον ἐν ἐλαίῳ καὶ μέλιτι. καταπλάσσειν δὲ τὸ ὑπογάστριον καὶ τὴν ὀσφὺν, καὶ πυριατέον τοὺς τόπους συνεχῶς καὶ τὸν κόλπον σπόγγῳ καὶ ἀτμοῖς διὰ χύτρας, κάλαμον ἡρμωσμένον τῷ πώματι τετρημένῳ ἐχούσης. χρῆσθαι δὲ καὶ ἐγκαθίσμασιν· ἔστω δὲ καὶ τὰ ἀφεψούμενα τῷ ὕδατι τῶν ἐπισπᾶσθαι δυναμένων, οἷον γλήχωνος, πρασίου, δάφνης, ἐλελισφάκου, ἀρτεμισίας, δικτάμνου, κενταυρίου· εἰ δὲ πόνοι ἰσχυροὶ γίνονται, καὶ κωδύας συναφεψεῖν χρὴ τῷ ὕδατι, καὶ κόψαντας ἐμβαλεῖν τοῖς καταπλάσμασιν. ἐπιθετέον δὲ τῷ ὑπογαστρίῳ καὶ ἰσχάδας λιπαρὰς ἀνέφθους ὀλμοκοπήσαντας μετὰ ῥητίνης πιτυΐνης, ἢ τερεβινθίνης ἀρκούσης καὶ νίτρου ὀλίγου. Πεσσοῖς δὲ χρηστέον τοῖς διὰ τερεβινθίνης, σμύρνης, βουτύρου, ὑσσώπου· ἄριστος δὲ πεσσὸς πρὸς τὰ ἐν μήτρᾳ ἀποστήματα οὗτος· ἰσχάδων λιπαρῶν τῆς σαρκὸς, στέατος χηνείου, ἰρίνου, ἀνὰ δραχ. β. τερεβινθίνης δραχ. α. πηγάνου δραχ. γ. σμύρνης, ἴρεως, νίτρου, ἀνὰ ὀβολῶν β. ἢ ἀντὶ τῶν ἰσχάδων σταφίδων σαρκὸς τὸ ἴσον, προσθετέον δὲ ἐν ἐρίῳ ἀποβάπτων ἐν ἰρίνῳ ἢ κυπρίνῳ χλιαρῷ. ποιεῖ δὲ κάλλιστα καὶ ἡ ἐν τοῖς ἡπατικοῖς ἀναγεγραμμένη κυφοειδὴς[1] ἀντίδοτος, καὶ ἡ πρὸς σκληρίας προγεγραμμένη ἐννεαφάρμακος, καὶ τὸ πολυάρχιον μάλαγμα καὶ τὰ παραπλήσια, ἀνιέμενα σουσίνῳ ἢ τηλίνῳ, καὶ ἐν πεσσῷ προστιθέμενα ἐσωτάτω. συνεχῶς δὲ τοῖς προρρηθεῖσιν ἀφεψήμασι πυριατέον τὸ ὑπογάστριον. Ἐπειδὰν δὲ συρραγῇ, εἰ μὲν ἐπὶ κύστει ἐνεχθῇ τὸ πῦον καὶ σὺν τοῖς οὔροις ἐκκρίνεται, γαλακτοποσίαις χρηστέον μαλακτικοῖς καὶ εὐώδεσιν, εἰ δὲ εἰς τὸ ἀπευθυσμένον συρραγῇ, ἤτοι μετὰ τῶν σκυβάλων ἢ κατ' ἰδίαν ἐκκρίνεται, τότε ἐνιέναι δεῖ εἰς τὸ ἀπευθυσμένον φακοῦ καὶ σιδίων ἀφέψημα. εἰ δὲ κατὰ τὸν κόλπον συρραγῇ καὶ διὰ τοῦ αἰδοίου ἐκκρίνεται τὸ πῦον, εὐθὺς ἔριον οἰσυπηρὸν βεβρεγμένον ῥοδίνῳ

Πεσσοί.

Μετὰ τὴν διάρρηξιν τοῦ ἀποστήματος.

1 περιστερεοῖς *A*. 3 ὀσφῦν *Γ*. ἄνευ, τοὺς *A*. 6 ἀφεψήματα *Γ*. οἶνον, ἀντὶ, οἷον *B*. 9 κόψανται *B*. 10 ἀνεφθοὺς *B*. 11 ἄνευ, πιτυΐνης *B*. 15 ἰρινοῦ *B*. 17 ἶσον *A*. 19 ὠφυκοειδὴς *Γ*. 21 τιλίνῳ *A*. 27 φακκοῦ *A*. 28 ἀφεψήμασι *B*. 29 „οἰσσυπηρὸν" τὰ κείμ. *Z*.

[1] Κυφοειδὴς ἐκλήθη ἡ ἀντίδοτος αὕτη ἐκ τοῦ παραπλησία εἶναι τῷ Αἰγυπτιακῷ φαρμάκῳ „κῦφι" παρασκευαζομένῳ ἐκ δριμειῶν καὶ καυστικῶν ὑλῶν. ἀναφέρεται παρά τε τῷ Γαλ. καὶ τῷ Διοσκορ. I. 24.

καὶ ὀλίγῳ ὄξει χλιαρῷ ἐπιτίθεμεν ἐπὶ τὴν ἥβην καὶ τὸ ὑπογάστριον, τῇ δὲ ἑξῆς εἰς θερμὸν ὕδωρ ἐγκαθίζειν. καὶ εἰ μὲν καθαρὸν εἴη τὸ πῦον, ἐγχυματίζειν ῥόδινον ἢ τετραφάρμακον μετὰ βουτύρου προσφάτου καὶ ῥοδίνου, ἢ τὸ ῥόδινον μετὰ πολυγόνου χυλοῦ ἢ ἀρνογλώσσου· μολύβδου δὲ πλύμασιν ἐπὶ πᾶσιν χρηστέον ἢ ῥοδίνῳ κατ' ἰδίαν· κλύζειν δὲ ἀφεψήματι ῥόδων ἢ φακοῦ ἢ πτισάνης χυλοῦ. Ἰχώρων δὲ φερομένων δυσωδῶν ὡς ἀπὸ ῥευματικῆς διαθέσεως ἢ νομῆς, στυπτικώτερον ἔστω τὸ ἐνιέμενον εἰς τὴν μήτραν, οἷον μύρτων ἀφέψημα ἢ ῥόδων ἢ φοινίκων, μᾶλλον δὲ φακοῦ μετὰ σιδίων, καὶ μετὰ τὴν τοιαύτην ἐπιμέλειαν εἰ ἐπιμένει τὰ τῆς φλεγμονῆς, ἐπιμενητέον τοῖς προρρηθεῖσι καταπλάσμασιν· εἰ δὲ ἀνώμαλα εἴη τὰ ἐκκρινόμενα, πυριᾶν καὶ ἐγκαθίζειν ὑδρομέλιτι καθεψημένου αὐτῷ ἀψινθίου, ἢ κενταυρίου ἢ πρασίου ἢ ὀρόβου ἢ φακοῦ. κλύζειν δὲ καὶ πτισάνης χυλῷ μετὰ μέλιτος καὶ ῥοδίνου, διαχρίειν δὲ τὸ στόμα τῆς μήτρας καὶ τὸν δακτύλιον κηρωτῇ, ῥοδίνῳ, ἢ βουτύρῳ ἔχοντι σπόδιον ἢ στίμμι ἢ μολυβδαίνην, λιθάργυρον μετὰ γάλακτος γυναικείου, ἢ μολύβδου πλύματα. Δυσωδῶν δὲ ὄντων τῶν ὑγρῶν σφόδρα, οἰνομέλιτι κλυστέον τὸν κόλπον, καὶ τούτοις ἐπιμενητέον μέχρι τελείας ἀπαλλαγῆς.

ΟΠΩΣ ΔΕΙ ΕΝΕΡΓΕΙΝ ΠΕΡΙ ΤΟ ΣΤΟΜΑ ΤΗΣ ΜΗΤΡΑΣ ΓΕΝΟΜΕΝΟΥ ΑΠΟΣΤΗΜΑΤΟΣ.

ΚΕΦΑΛΑΙΟΝ ΠΗ'.

Εἰ δὲ περὶ τὸ στόμιον τῆς ὑστέρας συσταίη ἀπόστημα, καὶ δύναται ὑπὸ χειρουργίας ἀνοιχθῆναι, οὐ χρὴ σπουδάζειν ἐπὶ τὴν τομήν, ἀλλὰ πεφθέντος τοῦ ὄγκου καὶ λεπτυνθέντων ἱκανῶς τῶν ἐπικειμένων τῷ πύῳ σωμάτων. ἐν δὲ τῷ ἐνεργεῖν σχηματιζέσθω ἡ γυνὴ ἐπὶ δίφρου ὑπτία πρὸς αὐγὴν λαμπράν, συνημμένα ἔχουσα τὰ σκέλη πρὸς ἐπιγάστριον, καὶ μηροὺς ἀπ' ἀλλήλων διεστῶτας· ὑποβαλλέσθωσαν δὲ αὐτῆς οἱ πήχεις ὑπὸ τὰς ἰγνύας, καὶ βρόχοις

---

2 τῆς δὲ ἑξῆς *B*. 4 πολυγονίου *B*. 5 πλύμμασιν *B*. 6 φακκοῦ *A*. 7 „πτισσάνης" τὰ κείμ. *Z*. ἰχωρῶν *B*. 8 νόμης *B*. στυπτιμώτερον *B*. 11 ἐπιμηνητέον *B*. 13 αὐτοῦ *B*. 14 ὀρόφου *B*. 16 ἔχοντα *B*. ἐχούσῃ *Γ*. 17 μολυβδαίνῃ *B*. 25 χειρουργίαν *A*. ἀχθῆναι *A*. ἀναχθῆναι *B*. 28 αὐχήν, ἀντὶ, αὐγὴν *B*. 30 τῆς *B*.

ἀνειλίσθωσαν. ὁ δὲ ἐνεργῶν ἐκ δεξιῶν μερῶν καθεζόμενος, διοπτριζέτω τῇ πρὸς ἡλικίαν καταλλήλῳ διόπτρᾳ. δεῖ δὲ πρὸ τοῦ διοπτρίζειν ἀναμετρεῖσθαι διὰ μήλης τὸ τοῦ γυναικείου κόλπου βάθος, ἵνα μὴ μείζονος ὄντος τοῦ τῆς διόπτρας λωτοῦ συμβαίνῃ θλίβεσθαι τὴν ὑστέραν, καὶ εὑρεθέντος τοῦ κόλπου μείζονος τοῦ λωτοῦ, πτύγματα ἐπιτιθέσθω κατὰ τῶν πτερυγωμάτων, ἵνα κατ᾽ αὐτῶν ἡ διόπτρα ἐργάζηται. δεῖ δὲ καθιέναι τὸν λωτὸν τῆς διόπτρας εἰς τὸ ἄνω μέρος τὸν κοχλίαν ἔχοντα, καὶ κρατεῖσθαι μὲν τὴν διόπτραν ὑπὸ τοῦ ἐνεργοῦντος, στρέφεσθαι δὲ τὸν κοχλίαν διὰ τοῦ ὑπηρέτου, ἵνα διϊσταμένων τῶν τοῦ λωτοῦ ἐλασμάτων διασταλῇ ὁ κόλπος. Διοπτ μὸ μήτρ

Ὑποπεσὸν δὲ τὸ ἀπόστημα εὐαφὲς ὑπάρχον καὶ λεπτὰ τὰ ἐπικείμενα σώματα, διαιρεῖσθαι τὴν κορυφὴν σπαθίῳ κατευθεῖ ἢ κατιόντι· τοῦ πύου δὲ ἐκκριθέντος, λιμνίσκον τρυφερώτατον βάψας ῥοδίνῳ εἰς τὴν διαίρεσιν ἐντίθει, μᾶλλον δὲ ἔξωθεν τῆς διαιρέσεως εἰς τὸν γυναικεῖον κόλπον χωρὶς σφηνώσεως ἐντιθέσθω. ἔξωθεν δὲ τῶν πτερυγωμάτων καὶ κατὰ τοῦ ἦτρου καὶ τῆς ὀσφύος ἔρια οἰσυπηρὰ ἢ καθαρὰ ἐλαίῳ δεδευμένα ἐπιτιθέσθω, τῇ δὲ τρίτῃ ἐγκαθίζειν εἰς ὑδρέλαιον θερμὸν ἢ μαλάχης ἀφέψημα. ἀπομάξαντας δὲ ἐντιθέναι τὸν λιμνίσκον πράως εἰς τὴν διαίρεσιν, βεβρεγμένον τῇ τετραφαρμάκῳ προσφάτως ἐσκευασμένῃ καὶ ἀναλυθείσῃ ῥοδίνῳ ἢ βουτύρῳ, ἐνίοτε δὲ καὶ μέλι προσπλεκτέον. χωρὶς δὲ σφηνώσεως οἱ μοτοὶ ἐντιθέσθωσαν· καταπλάσματι δὲ ἔξωθεν ἢ πιλήματι σκέπειν τὸν τόπον καθ᾽ ἑκάστην ἡμέραν, ἕως ἀφλέγμαντος γένηται καὶ καθαρά. Εἰ δὲ δυσκόλως ἀνακαθαίρεται, ἐγκλυστέον τὴν διαίρεσιν δι᾽ ὠτικοῦ κλυστηριδίου ἴρεως ἀφεψήματι, ἐπουλοῦν δὲ τῇ διὰ καδμίας ἢ τῇ διὰ λαδάνου, ἢ τῇ διὰ κριθῶν κεκαυμένων ἀνιεμένῃ ῥοδίνῳ. εἰ δὲ ἐντὸς τοῦ στομίου τῆς ὑστέρας ἡ ἀπόστασις εἴη, τὴν χειρουργίαν παραιτητέον, χρηστέον δὲ τῇ πρὸ βραχέος ῥηθείσῃ ἀγωγῇ. Θεραπ

2 διόπτρει *B*. 3 μήδης *B*. 5 συμβαίνει *B*. 7 ἐργάζεται *B*. 8 λῶτον *B*. 10 ἄνευ, τὸν *B*. 13 σποθίῳ κατ᾽ εὐθὺ *B*. ἄνευ, κατευθεῖ *A*. κατεώδει *A*. ἄνευ, κατιόντι *B*. κατειώδη *Γ*. „κατευθεῖ ἢ κατιόντι" ἡμ. διόρθ. Ζερβ. 18 δεδεγμένα *Γ*. 24 ἀφλέγμαντα *AB*.

ΕΠΙΜΕΛΕΙΑ ΕΦ' ΩΝ ΣΥΡΡΗΞΙΣ ΜΕΤΑΞΥ ΤΩΝ ΕΝΤΕΡΩΝ ΚΑΙ ΤΟΥ ΠΕΡΙΤΟΝΑΙΟΥ ΓΕΓΟΝΕ.

ΚΕΦΑΛΑΙΟΝ Ρ'.

Εἰ δὲ σύρρηξις μεταξὺ τῶν ἐντέρων καὶ τοῦ περιτοναίου γέγονε, δῆλον ὅτι ὁ ὄγκος συμβαίνει μᾶλλον περὶ τὸν τόπον· εἰ δὲ ἐντὸς τῆς μήτρας, ἡ ὀδύνη λήγει καὶ τὸ στόμιον εὐαφέστατον ὑποπίπτει τῇ ἀφῇ. συνεργεῖν οὖν χρὴ τῇ εἰς τὴν ἐπιφάνειαν ῥήξει· λεπτοποιηθέντων δὲ τῶν σωμάτων, σμιλίῳ διαιρετέον τὸν κορυφωθέντα τόπον καθ' ὑπόρρυσιν μᾶλλον. εἰ δὲ αἱμορραγία ὑποπτεύεται, καυστήριον τῷ ἀποκορυφωθέντι τόπῳ προσάγειν ἀντὶ τοῦ σμιλίου, καὶ οὕτω κομίζεσθαι τὸ πῦον· συνεργεῖ γὰρ ὁ καυτὴρ καὶ τῇ τελείᾳ ἰδίᾳ ἀποθεραπείᾳ. εἶτα μετὰ τὴν τοῦ ὑγροῦ κένωσιν τῇ παραπιέσει τῶν δακτύλων καὶ τῷ σχηματισμῷ ἐκκρίνειν ἅπαν τὸ συνειλεγμένον, εἶτα κλυστέον τὴν διαίρεσιν μελικράτῳ, ταῖς δὲ ἑξῆς θεραπευτέον δὶς τῆς ἡμέρας, ἅπαξ δὲ τῆς νυκτός, προσπυριῶντας σπόγγοις τὴν διαίρεσιν, ἐνίοτε δὲ καὶ ἐγκαθίζοντας εἰς ὕδωρ θερμόν. ἐγχυματιστέον δὲ καὶ τὴν μήτραν ἐλαίῳ θερμῷ ἢ κυπρίνῳ, καὶ τὸ λοιπὸν ὡς τὰ λοιπὰ ἕλκη θεραπεύειν.

Τροφαί. *Τροφὰς δὲ δοτέον εὐχύμους καὶ δυσδιαφορήτους, γάλα μετ' ἀμύλου, χόνδρον ἄλικος, ὄρυζαν, πόδας ὑῶν ἐν πτισάνῃ ἢ ἄλικι τακερωθέντας, πτηνῶν τὰ πλεῖστα, ἰχθύων τοὺς εὐχύμους. ἀπυρέτων δὲ οὐσῶν καὶ οἶνον γλυκὺν παλαιὸν διδόναι.*

ΠΕΡΙ ΕΛΚΩΘΕΙΣΗΣ ΜΗΤΡΑΣ, ΑΡΧΙΓΕΝΟΥΣ.

ΚΕΦΑΛΑΙΟΝ ΡΑ'.

Ἑλκοῦται ἡ μήτρα ποτὲ μὲν ἐκ ῥευματισμοῦ διαβιβρωσκομένων τῶν σωμάτων, ποτὲ δὲ ἐκ δυστοκίας, ἢ ἐμβρυουλκίας, ἢ φθορᾶς, ἢ φαρμάκων δριμέων προσαγωγῆς.

Συμπτωματολογία. *συνεδρεύει δὲ αὐταῖς πόνος περὶ τὸ πάσχον μέρος νυγματώδης, καὶ ἐκ διαλειμμάτων ἔκκρισις ὑγρῶν δυσωδῶν, ποτὲ δὲ ἰχωροειδῶν, ῥυπαινομένης τῆς ἑλκώσεως. παρέπεται δὲ καὶ τὰ ἄλλα σημεῖα τὰ ἴδια τῆς πασχούσης*

---

4 συρρῆξις *B.* 7 τὴν, ἀντὶ, τῇ *AB.* 8 ἄνευ, δὲ *BΓ.* 11 πύον *A.* 12 ἄνευ, ἰδίᾳ *B.* 13 μένωσιν *B.* 16 γκαθίζοντας *A.* 18 ὡς τὰ ἕλκη *B.* 20 ἀλύκῃ *B.* 21 ταχερωθέντας *B.* 25 ἄνευ, ἡ *B.* 28 πόνον *B.* 29 „καὶ ἰδωροειδῶν" *A*, ὅπερ ἀφῄρεσα *Z.* 30 παρούσης *B.*

ὑστέρας, ἄλγημα κεφαλῆς καὶ μάλιστα βρέγματος καὶ τενόντων, καὶ ὀφθαλμῶν κατὰ τὰς βάσεις, καὶ μάλιστα καρπῶν καὶ δακτύλων, καὶ τὰ λοιπὰ τὰ ἤδη προειρημένα ἐν τῷ περὶ φλεγμονῆς τόπῳ. εἰ μὲν οὖν προχειροτέρα εἴη ἡ ἕλκωσις, διοπτρισμῷ θεωρεῖται, εἰ δὲ ἐν βάθει ἐκ τῶν ἐκκρινομένων ὑγρῶν σημειοῦται. Προκόπτει δὲ ἡ θεραπεία καὶ τούτων τῶν ἑλκώσεων δι' ἐγκαθισμάτων, ἐμβροχῶν, καταπλασμάτων, πεσσῶν τῶν ἤδη προγεγραμμένων, ἰδίως δὲ συμπεφώνηκε ταῖς ἐν μήτρᾳ ἑλκώσεσι τὸ τοιοῦτον φάρμακον· κρόκος ὁ κάλλιστος λεαίνεται μετὰ γυναικείου γάλακτος, καὶ ἀναλαμβάνεται κηρωτῇ τῇ διὰ τυρρηνικοῦ κηροῦ καὶ ῥοδίνου ἢ σουσίνου ἢ χηνείου στέατος σκευαζομένῃ ὑγρᾷ, καὶ ἐντίθεται διὰ πεσσοῦ. τούτου δὲ σπουδαιότερον ὁμοῦ καὶ πρὸς τὰς περιωδυνίας ἁρμοζόντως σκευαζόμενον τοῦτο. Κωδύαι μήκωνος δέκα βρέχονται γλυκέος κεκραμένου ἑνὶ ξστ[1] ἐπὶ ἡμέρας β. ἔπειτα ἑψοῦνται μέχρι τὸ τρίτον ξστ λειφθῇ. χωρὶς δὲ ἔστωσαν κεκομμένα ῥόδων σπέρματα, εἰ δὲ μή γε τῶν φύλλων δραχ. ε. κρόκου δραχ. γ. καὶ τῶν ἡψημένων καὶ ἐκπιεσθεισῶν κωδυῶν δραχ. ε. λέαινε δὲ παραχέων τὸ τῶν κωδυῶν ἀφέψημα ὅσον ἐξαρκεῖ, καὶ ἐπίβαλλε κηρωτὴν ἔχουσαν κηροῦ γοβ. ῥοδίνου ἢ ναρκισσίνου γοστ. καὶ συλλεάνας ἐν κασσιτερίνῃ πυξίδι, ἐπὶ δὲ τῆς χρείας ἀνέσας ῥοδίνῳ ἢ ναρκισσίνῳ, καὶ ἀναλαβὼν ἐρίῳ ἐπιτίθει. ποιεῖ δὲ καὶ ὁ προγεγραμμένος πεσσὸς ὁ διὰ κρόκου καὶ ῥοδίνου καὶ χηνείου στέατος καὶ ἐλαφείου μυελοῦ σκευαζόμενος· τὰ τοιαῦτα γὰρ καὶ τὰς ὀδύνας παρηγορεῖ καὶ τὰς ἑλκώσεις θεραπεύει.

Θεραπε

ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ ΠΡΟΣ ΓΥΝΑΙΚΟΣ ΑΙΔΟΙΟΝ ΗΛΚΩΜΕΝΟΝ ΚΑΙ ΚΝΩΜΕΝΟΝ ΑΠΟ ΔΡΙΜΥΤΑΤΟΥ ΡΕΥΜΑΤΟΣ.

Μολυβδαίνης γοβ. γλαυκίου γοα. λειώσας χυλῷ ὑοσκυάμου ἐπίβαλλε ῥόδινον ἢ μύρσινον τὸ ἀρκοῦν, καὶ χρῶ διὰ χειρῶν ἐπιχρίσας καὶ ἐν πεσσῷ προστιθείς.

2 ἄνευ, τὰς *B*. 3 ἄνευ, τὰ *B*. 5 „ὑγρῶν κλπ." μέχρις „ἐμβροχῶν" παραλ. *B*. 7 ἐμβρόχων *A*. 12 περιοδυνίας *B*. 13 κωδῦαι *B*. 16 σπέρματος *AB*. 17 ἑψημένων *B*. 18 παχέων *B*. 19 τὴν ἔχουσαν *A*. 20 ἄνευ, ἐν *B*. πυξίδι ἐπίθεε *B*. 27 γλυκίου *B* 28 ἄνευ, ἐπιχρίσας *A*.

[1] ξστ = ξέστης, μέτρον ὑγρῶν καὶ στερεῶν, ἐκτεύς, λατ. sextarius.

ΘΕΡΑΠΕΙΑ ΤΩΝ ΕΝ ΤΗ ΜΗΤΡΑ ΑΝΘΡΑΚΩΔΩΝ ΕΛΚΩΝ.

ΚΕΦΑΛΑΙΟΝ ΡΒ'.

Ἰδίως δὲ καὶ τὰ ἐν τῇ μήτρᾳ ἀνθρακώδη ἕλκη ὠφελεῖ φακὸς ἑφθὸς μετὰ φύλλων ἐλαίας χωρὶς μέλιτος, θέρμοι[1] ἑφθοὶ ἐν οἴνῳ αὐστηρῷ ἑψηθέντες, καὶ ἐγκαθιστέον δὲ αὐτὰς εἰς ἀφέψημα θέρμων.

ΠΡΟΣ ΤΑ ΕΝ ΜΗΤΡΑ ΑΚΑΘΑΡΤΑ ΕΛΚΗ, ΑΡΧΙΓΕΝΟΥΣ.

ΚΕΦΑΛΑΙΟΝ ΡΓ'.

Ἐπὶ δὲ τῶν ἀκαθάρτων ἐν μήτρᾳ ἑλκῶν χρηστέον τῇ Αἰγυπτίᾳ οὐ τῇ διὰ τοῦ ἰοῦ, τὰ γὰρ δηκτικὰ ἀνάρμοστα τῇ ὑστέρᾳ, ὥσπερ καὶ τὰ ἐσχαρωτικά· χρηστέον δὲ καὶ τῇ διὰ μέλιτος καὶ τερεβινθίνης καὶ βουτύρου ἢ ῥοδίνου ἢ σουσίνου σκευαζομένῃ. τινὲς ἐπὶ τῶν ἐν μήτρᾳ ἑλκώσεων καὶ κρόκον μιγνύουσι ταύτῃ. καθαίρει δὲ τὰ ἕλκη ἱκανῶς καὶ ἶρις ἰλλυρικὴ μετὰ μέλιτος προστιθεμένη, καὶ τὸ ἀφέψημα τῆς ἴρεως καὶ τῆς ἀριστολοχίας, καὶ καθ' αὑτὸ καὶ μετὰ μέλιτος ὀλίγου προσκλυζόμενον. Πεσσὸς κάλλιστος ἀνακαθαρτικὸς τῶν ῥυπαρῶν ἑλκῶν οὗτος. Τερεβινθίνης δραχ. δ. στέατος χηνείου δραχ. ζ. σμύρνης δραχ. α. κρόκου δραχ. γ. μυελοῦ βοείου, οἰσύπου ἀνὰ δραχ. β. μέλιτος, κυπρίνου καὶ ἰρίνου ἐλαίου, ἀνὰ δραχ. ιστ. λιβάνου, πάνακος ῥίζης, ἴρεως ἀνὰ δραχ. β. κυπέρου δραχ. δ.

Τὰ ἕλκη καθαίρει ἱκανῶς ἶρις ἰλλυρική. Πεσσὸς κάλλιστος ἀνακαθαρτικὸς τῶν ῥυπαρῶν ἑλκῶν.

ΠΡΟΣ ΥΓΡΟΝ ΦΕΡΟΜΕΝΟΝ ΑΠΟ ΤΟΥ ΓΥΝΑΙΚΕΙΟΥ ΑΙΔΟΙΟΥ.

ΚΕΦΑΛΑΙΟΝ ΡΔ'.

Κριθῶν κεκαυμένων, ἀμύλου, λιβάνου, ἀνὰ γοα. στυπτηρίας σχιστῆς δραχ. δ. κόψας σήσας λεπτότατα, ἔπειτα λεάνας μετὰ γάλακτος ὀνείου παράπεμψον μετὰ μητρεγχύτου. εἰ δὲ ἐπώδυνος ᾖ ἡ ἕλκωσις, χρηστέον τούτῳ· ῥόδων ξηρῶν κεκομμένων, κωδυῶν πεφρυγμένων βραχὺ δραχ. γ. κρόκου, στύρακος, ἀνὰ δραχ. β.

3 φακκὸς Α. 4 θερμοὶ Β. 5 ἄνευ, δὲ Γ. 6 θερμῶν Β. 10 ἢ τῇ Β. 17 ἄνευ, οὗτος Β. 19 ὑσσώπου ΑΓ. 20 ἄνευ, ἀνὰ Β. 21 πυπέρου Β. 27 ᾖ Β. ἄνευ, ἡ ΑΒ. τούτως Β.

[1] Θέρμοι κοινῶς λούπινα λατ. lupinus καὶ lupinum.

τήλεως, ἀλεύρου, οἰνάνθης, ἀνὰ δραχ. δ. λιβάνου δραχ. β. ταῦτα λεῖον παραχέων βραχὺ κρητικοῦ γλυκέος καὶ ῥοδίνου κατὰ βραχὺ, ἕως οὗ λάβῃ πάχος μέλιτος, καὶ ἀναλάμβανε καὶ ἐκ τούτου θερμάνας προστίθει.

ΠΡΟΣ ΤΑ ΝΕΜΟΜΕΝΑ ΕΛΚΗ ΕΝ ΥΣΤΕΡΑ, ΑΣΠΑΣΙΑΣ.

Νεμομένων δὲ καὶ ἀγριαινομένων τῶν ἑλκῶν, κλυστέον συνεχῶς ἱππείῳ γάλακτι ἢ ὀνείῳ νεοβδάλτῳ· εἰ δὲ μὴ ᾖ, τῷ παρόντι προσφάτως ἡψημένῳ. κοτύλαις δὲ δυσὶ τοῦ γάλακτος μικτέον μέλιτος κοτύλης τῷ ἡμίσει, καὶ ἐπιπαστέον ἴρεως λείας δραχ. δ. καὶ θερμαντέον, καὶ οὕτως ἐγχυτέον ἐξ αὐτοῦ πλειστάκις τῆς ἡμέρας· ἢ μελικράτῳ ἀφεψήσαντας κενταύριον ἢ ἀψίνθιον ἢ κάλαμον ἀρωματικὸν ἢ λευκάνθεμον ἢ χαμαίμηλον ἢ βούφθαλμον, μετὰ δὲ τὸ ἐκκριθῆναι τὸ ἐνεθὲν προσεγχυματιστέον εὐθέως ἀφεψήματι μαλάχης, καὶ μετὰ τοῦτο προσθετέον τοιόνδε· ὀροβίνου ἀλεύρου, ἴρεως ἀνὰ δραχ. β. λεάνας μετὰ μέλιτος προστίθει. Ἄλλο. Μελίλωτα ἑψήσας οἴνῳ ἀθαλάσσῳ καὶ λεάνας καὶ μέλιτος ὀλίγον ἐμβαλὼν, προστίθει. Ἄλλο. Κισσοῦ τοῦ τὸ ἄνθος χρυσίζον ἔχοντος φύλλα ἑψήσας μετ' οἴνου, καὶ λεάνας μετὰ μέλιτος χρῶ.

Ἄλλο
Ἄλλο

ΑΣΚΛΗΠΙΑΔΟΥ ΣΚΛΗΡΟΝ ΠΡΟΣ ΤΑΣ ΕΝ ΥΣΤΕΡΑ ΝΟΜΑΣ.

Θέρμους πικροὺς κόψας καὶ σήσας ἀπόθου, ἐν δὲ τῇ χρήσει ἐπιτίθει ξηρόν. χρῶ δὲ καὶ μετὰ μέλιτος. Ἄλλο κάλλιστον. Κισσοῦ τοῦ χρυσίζοντος δεσμίδιον λαβὼν καὶ ξηράνας ἐπ' ὀλίγον ἐν σκιᾷ, καὶ βαλὼν εἰς ἄγγος κεραμοῦν καὶ πηλῷ περιπλάσας, δίδου ὀπτᾶσθαι· καὶ τὴν τέφραν λεάνας χρῶ. Ἄλλο ποιοῦν πρὸς τὰ καθυγραινόμενα ἕλκη. Ἀριστολοχίας μακρᾶς κεκομμένης δραχ. στ· μίλτου[1] σινωπικῆς ἡπατιζούσης δραχ. η. μίξας καὶ

Ἄλλο κ λιστο
Ἄλλο π τὰ καὶ γραιν μενα ἕ

---

5 ἄνευ, Ἀσπασίας B. 8 ἑψημένῳ B. δοσὶ B. 9 τὸ, ἀντί, τῷ B. 11 ἀφεψήσαντες B. 12 βουβόφθαλμον A. 17 ἄνευ, τοῦ B. 18 φύλλων B. 20 „Ἀσκληπιάδου κλπ." μέχρι „μέλιτος" παραλ. B. 23 ὀλίγα B. 27 σινοπικῆς B.

---

[1] Μίλτος, ἄμμιον καὶ κιννάβαρι καλεῖται, λατ. minium, ἧς εἴδη λημνὶς μίλτος, σινωπικὴ μίλτος, κλπ. ὡς ἐκ τοῦ τόπου τῆς καταγωγῆς, οὗ ἕνεκεν καὶ τὸ ἄλλο τε ἄλλον τῆς ἐντάσεως τῆς χροιᾶς αὐτῆς Ζερβ.

μέλιτι φυράσας, ὡς κηρωτῆς ἔχειν πάχος, ἀναλάμβανε εἰς ῥάκος λινοῦν, καὶ ἀποδήσας τίθει ἐπ' ἀνθράκων, καὶ ὅταν καλῶς ὀπτηθῇ, λεάνας χρῶ· ἢ ἐν χυτριδίῳ βαλὼν τὸ δεδεμένον ῥάκος καὶ πωμάσας, ἐπιτίθει τῷ πυρὶ μέχρις ἀνθρακωθῇ, καὶ ζέον λέαινε καὶ ἀπόθου. ἐν δὲ τῇ χρήσει κατάπλασσε τὰ νεμόμενα ἕλκη, καὶ περιγράφει ταχέως. τὸ δὲ αὐτὸ ποίει μέχρις ἀπουλώσεως. *Ἄλλο Ἀσκληπιάδου.* *Ἄλλο Ἀσκληπιάδου. Μυρίκης*[1] *καρποῦ μέρος α. νίτρου ἐρυθροῦ τὸ ἴσον κόψας καὶ σήσας, χρῶ ξηρῷ καὶ μετὰ ῥοδίνου. ἐπισχεθείσης δὲ τῆς νομῆς, χρῆσθαι τοῖς προγεγραμμένοις πρὸς ἀνακάθαρσιν τῶν ἑλκῶν.*

ΑΠΟΥΛΩΤΙΚΑ ΑΣΚΛΗΠΙΑΔΟΥ.

ΚΕΦΑΛΑΙΟΝ ΡΕ΄.

Ἀνακαθαρθέντων δὲ τῶν ἑλκῶν χρηστέον ταῖς ἀπουλωτικαῖς δυνάμεσι, καὶ πρῶτον μὲν ταῖς πραοτέραις, εἶτα ταῖς δραστικωτέραις. *Κηρωτὴ ἀπουλωτική.* *Κηρωτὴ ἀπουλωτική. Κηροῦ λευκοῦ γογ. ῥοδίνου καλλίστου γοθ. τήξας ἐπ' ἀνθράκων καὶ ποσῶς ψύξας ἐπίχεε ἐν θυίᾳ, καὶ λύε τῷ δοίδυκι ἐπιβάλλων γάλα γυναικεῖον ἢ ὄνειον, εἰ δὲ μὴ αἴγειον νεόβδαλτον, καὶ μάλασσε ἕως ἂν λευκὴ γένηται, καὶ ἀποχέας τὸ πρῶτον γάλα ἐπίχεε ἕτερον, καὶ πάλιν λείου· ἐπίβαλλε δὲ καὶ κρόκον ὅσον δραχ. α.* *Ἕτερον.* *Ἕτερον. Ὅτε δὲ μᾶλλον παρηγορῆσαι βούλει, τοῦ μὲν ῥοδίνου γοζ ἔμβαλλε, μυελοῦ δὲ καὶ στέατος χηνείου ἀνὰ δραχ. α. σκεύαζε δὲ ὁμοίως καὶ διὰ μηλίνου καὶ διὰ σουσίνου.*

Η ΔΙΑ ΚΡΙΘΩΝ ΕΠΟΥΛΩΤΙΚΗ ΤΩΝ ΕΝ ΜΗΤΡΑ ΕΛΚΩΣΕΩΝ.

Κριθῶν κεκαυμένων λειοτάτων, λιθαργύρου πεπλυμένου, ψιμμυθίου πεπλυμένου ἀνὰ λια. στέατος χηνείου λιδ. στέατος αἰγείου προσφάτου λιγ. μυρσινίνου ἐλαίου λιβ. μέλιτος ἀπηφρισμένου γοη ἤτοι οὐγ. η. τερεβινθίνης γοδ ἤτοι οὐγ. δ. καὶ ἐπὶ τῶν κατακαυμάτων ὁμοίως ποιεῖ, καὶ ἐπὶ τῶν περὶ τὰ αἰδοῖα ἑλκῶν. Χρῶ δὲ καὶ ταῖς διὰ πομφόλυγος καὶ μολύβδου κεκαυ-

---

3 *δεδομένον Γ.* 6 *ποιεῖ Β.* 13 *γὰρ, ἀντὶ, δὲ Β.* 16 *πόσως Β.* 20 *κρόκου Γ.* *παρηγορηθῆναι Β.*

---

[1] *„Μυρίκης τ' ἐριθηλέας ὄζους" φησὶν Ὅμηρος. Ἰλ. κ. 467. λατ.* myrica *παρὰ δὲ Γερμανοῖς* Tamariskenbaum *προσαγορεύεται αὕτη. Ζ.*

μένου ἑδρικαῖς, ἔπειτα καὶ τῇ διὰ καδμίας ἢ τῇ διὰ λαδάνου, ἀνιεμέναις ῥοδίνῳ ἢ μυρσινίνῳ.

ΠΕΡΙ ΚΑΡΚΙΝΩΜΑΤΩΝ ΕΝ ΜΗΤΡΑ, ΑΡΧΙΓΕΝΟΥΣ.

ΚΕΦΑΛΑΙΟΝ Ρϛʹ.

Τῶν καρκινωδῶν ὄγκων τὰ μὲν ἀνέλκωτα ἐστὶ, τὰ δὲ ἡλκωμένα, καθὼς ἐν τῷ περὶ μαστῶν τόπῳ προείρηται. τῶν μὲν οὖν ἀνελκώτων καρκινωμάτων ἡ σημείωσις ἥ δε· ὄγκος εὑρίσκεται περὶ τὸ στόμα τῆς μήτρας σκληρὸς, ἀντίτυπος, ἀνώμαλός τε καὶ ὀχθώδης, χροιᾷ δὲ τρυγώδης, ἀνερευθὴς, ὑποπέλιος, πόνους ἰσχυροὺς ἐμποιῶν, εἰς βουβῶνας διήκων καὶ ὑπογάστριον καὶ ἦτρον καὶ ὀσφὺν· ἀγανακτεῖ δὲ πρὸς τὰς χειραψίας καὶ τὴν ποικιλωτέραν φαρμακείαν. Ἡλκωμένου δὲ ὄντος τοῦ καρκινώματος, ὁ μὲν ὄγκος καὶ ἡ σκληρία περιωδυνίᾳ παραπλησίως συνεδρεύει, διαβεβρωμένα δὲ καὶ ἀνεσκαμμένα καὶ ἀνώμαλα τὰ ἡλκωμένα σώματα διὰ τῆς διόπτρας θεωρεῖται. καὶ τὰ μὲν πλεῖστα αὐτῶν ἐστὶ ῥυπαρὰ, ὀχθώδη δὲ, λευκανθίζοντα καὶ εἰδεχθῆ τὰ δοκοῦντα κεκαθάρται, πελία τε, τρυγώδη, ἀνερευθῆ, δίαιμα φέρεται. ἐκκρίνεται δὲ ἀπὸ τῆς ἑλκώσεως διηνεκῶς μὲν ἰχὼρ λεπτὸς ὑδατώδης, μέλας, καὶ πυρώδης, καὶ δυσώδης· εὐρευμάτιστοι γὰρ ἰδίως οἱ γυναικεῖοι τόποι τυγχάνουσι. τὰ δὲ παρεπόμενα τῇ πασχούσῃ μήτρᾳ σημεῖα προείρηται ἐπὶ τῆς φλεγμονῆς. ἀνίατος δὲ ἐστὶν ἡ τοῦ καρκινώματος διάθεσις, ὡς Ἱπποκράτης φησὶν. Ἐπιμέλεια τοίνυν ταύταις ἁρμόζει κούφη καὶ παρηγορεῖν καὶ πραΰνειν δυναμένη· ἐγκαθίσματα μὲν διὰ τήλεως καὶ μαλάχης ἀφεψήματος καὶ τῶν πλειστάκις προρρηθέντων, καὶ καταπλάσματα παραπλήσια· λίαν δὲ παρηγορεῖ ἐν τοῖς παροξυσμοῖς μαλάχη ἢ ἀλθαία ἐν μελικράτῳ ἑψηθεῖσα μέχρι τακερώσεως, καὶ συλλειουμένη ἄρτῳ καὶ ὀλίγῳ ῥοδίνῳ μολυνομένη, καὶ τὸ δι' ἰσχάδων καὶ μελιλώτων καὶ πηγάνου κατάπλασμα, ἢ φοινίκων σάρκας ἑψήσας ἐν γλυκεῖ καὶ συλλεάνας ἄλειφε, καὶ ὠῶν λεκίθοις χρῶ· ἢ κωδύας κόψας καὶ σήσας μετὰ χυλοῦ πολυγόνου, ἢ σέρεως ἢ κορίου χρῶ· ἢ στρύχνου τὰ ἁπαλὰ φύλλα λεάνας μετὰ γάλακτος γυναικείου

Σημεῖα ἀνελκώ καρκιν μάτω

Ἡλκω μένω

Ἀνίατ ἡ διάθε

Θεραπ

---

9 χροίᾳ B. ἀνευρυθὴς B. 16 ἄνευ, ἐστὶ B. ἄνευ, δὲ BΓ. ἄνευ, εἰδεχθῆ B. 17 παλαιὰ AB. τετρυγώδη B. 18 διηνεγκῶς B. 21 ἐκ, ἀντί, ἐπὶ B. 27 συλλειωμένη B. 29 πηγάνων B.

προστίθει· ἢ κηρωτῇ ῥοδίνῃ ἀναλαβὼν τὸν στρύχνον, λέαινε καὶ ἐπίχεε κατὰ βραχὺ ψυχρὸν ὕδωρ, καὶ χρῶ· ἢ μαλάχης φύλλα λεάνας μετὰ γάλακτος γυναικείου, καὶ ἀναλαβὼν τῇ ῥοδίνῃ κηρωτῇ χρῶ. ταῦτα μὲν οὖν ἐν ταῖς περιόδοις, μετὰ δὲ ταῦτα κηρωτῇ ἐπιρριπτέσθω διὰ ῥοδίνου ἢ μηλίνου ἢ οἰνανθίνου ἢ μυρσινίνου μετὰ φοινίκων ἐν γλυκεῖ ἑφθῶν, ἢ τῷ δι' ᾠῶν ἢ τῷ διὰ τῶν κριθῶν, οἷς καὶ ἐπὶ τῶν πυρικαύστων χρώμεθα· ἰδίως δὲ συμπεφωνηκέναι δοκεῖ ταῖς κακοήθαις τὸ διὰ τῆς εὑρισκομένης ἐν τοῖς χαλκείοις τοῦ θερμοῦ ὕδατος ὑποστάθμης. ἐγκρυπτομένη δὲ αὕτη ἡ ὑποστάθμη ἄνθραξι διαπύροις, μέχρις ἂν διάπυρος γένηται, λειοτριβεῖται καὶ ἀναλαμβάνεται κηρωτῇ ῥοδίνῃ. Ταῦτα μὲν οὖν ἔξωθεν προστίθεται τῷ κόλπῳ παρὰ τὸ στόμα τῆς ὑστέρας, εἰς αὐτὴν δὲ τὴν μήτραν ἐγχέειν προσήκει γάλα γυναικεῖον ἢ ὄνειον θερμόν, ἢ ἀρνογλώσσου χυλὸν προσηνῶς κεχλιασμένον, καὶ μάλιστα ὁπόταν αἱμορραγῇ τὸ ἕλκος, ἢ χυλὸν πολυγόνου μετὰ βραχέος λιβάνου. παρηγοροῦσι δὲ καὶ πεσσοὶ οἱ διὰ κρόκου καὶ γυναικείου γάλακτος καὶ ὀπίου ὀλίγου καὶ ὑσσώπου σκευαζόμενοι. Πάντων δὲ ἄμεινον ἐνεργεῖ, ᾧ καὶ πρὸς τὰς ἑδρικὰς διαθέσεις χρώμεθα, ἔστι δὲ τοῦτο· λιθαργύρου πεπλυμένου γοστ ἤτοι οὐγ. στ. λιβάνου ἄρρενος, οἰσύπου, στέατος χοιρείου προσφάτου, βουτύρου νεαροῦ ἀνὰ γοβ ἤτοι οὐγ. β. ῥοδίνου γοδ ἤτοι οὐγ. δ. ἀποτίθεται δὲ τὸ φάρμακον ἐν μολυβδίνῃ πυξίδι, ξηραινόμενον μέντοι ὑγραίνεται ῥοδίνῳ· ἐγὼ δέ φησιν Ἀρχιγένης τὴν λιθάργυρον ἐλείωσα σέρεως χυλῷ κοτύλην α, καὶ μέλιτος πάχος προσλαβοῦσαν ἀνέλαβον τοῖς τηκτοῖς. χρῶ δὲ καὶ τοῖς ὁμοίοις ἑδρικοῖς φαρμάκοις· κάλλιστον δὲ καὶ πρὸς τὰς τῶν μαστῶν ἀναβρώσεις τὸ προγεγραμμένον δι' οἴνου σκευαζόμενον, καὶ ῥοῦς βυρσοδεψικός, καὶ κυπαρίσσου σφαιρία, καὶ κηκῖδες καὶ κασία, ἀνέσας δὲ αὐτὰ γάλακτι γυναικείῳ ἢ ὀνείῳ χρῶ.

Ἡ τῶν χαλκείων τοῦ θερμοῦ ὕδατος ὑποστάθμη.

Πεσσοί.

ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ ΠΡΟΣ ΤΑ ΕΝ ΜΗΤΡΑ ΚΑΡΚΙΝΩΜΑΤΑ.

Καρκίνους ποταμίους τρεῖς ἢ πέντε μόνον ἄζυγας ἐπ' ἀνθράκων καύσας, λείου μετὰ κυπρίνου καὶ διάχριε πτερῷ.

4 τοῖς, ἀντὶ, ταῖς B. 6 ἢ τὸ — — ἢ τὸ AB. 7 ἄνευ, δὲ B. 10 ἄνευ, ἂν B. 11 γίνεται B. 15 αἱμορραγεῖ B. 17 ὁποῦ AB. 20 ὑσσώπου A. 21 ἄνευ, βουτύρου B. 24 χυλοῦ B. κύαθον α B. 28 σφαιρίαι A. 29 αὐτῷ B. οἴνῳ, ἀντὶ, ὀνείῳ B.

ΠΕΡΙ ΦΙΜΩΣΕΩΣ ΜΗΤΡΑΣ.

ΚΕΦΑΛΑΙΟΝ ΡΖ'.

Φίμωσις ἐστὶ σύμφυσις περὶ τὸ στόμα τῆς ὑστέρας ἢ τὸν τράχηλον γινομένη, ἑλκώσεως προηγησαμένης· ὥστε στενὸν σφόδρα γενέσθαι αὐτὸ καὶ μηκέτι παραδέχεσθαι τὸ σπέρμα, ἢ παραδεχόμενον μὴ κατέχειν, διὰ τὴν τυλώδη τοῦ στόματος σκληρότητα οὐ δυναμένου συναχθῆναι. ἐνίοτε δὲ παραδεχθὲν τὸ σπέρμα, ἔμεινε στενοτάτου ὄντος τοῦ στόματος καὶ ἐζωογονήθη· τὸ δὲ κυηθησόμενον ἔμβρυον θανάτου αἴτιον κατέστη τῇ κυούσῃ, μὴ δυνάμενον διὰ τὴν τῶν τόπων στενοχωρίαν κυηθῆναι. Δεῖ οὖν πυριᾶν ἐπιμελῶς ὑδρελαίῳ καὶ τήλεως ἀφεψήματι, καὶ μαλάσσειν τοὺς τόπους κηρωταῖς καὶ πεσσοῖς μαλακτικοῖς, τοῖς δι' ὑσσώπου καὶ τερεβινθίνης καὶ νίτρου. ὅταν δὲ τῇ ἀφῇ μαλακώτεροι ὑποπέσωσιν οἱ τόποι, τότε σπόγγον ἐσκευασμένον καὶ σπαρτίῳ ἀπηρτημένον περιθῆναι τῷ στενωθέντι τόπῳ πρὸς διάστασιν. ἐὰν δὲ ἐκπέσῃ ὁ σπόγγος, ἕτερον ἡτοιμασμένον παχύτερον ἐντιθέναι· διὸ πλείονας καὶ διαφόρους παρασκευαστέον τοὺς ἐσκελετευμένους σπόγγους, ὕστερον δὲ καὶ φαρμάκῳ τοιούτῳ χριστέον τὸν σπόγγον· σανδαράχης, στυπτηρίας σχιστῆς ἀνὰ δραχ. α. ἀρσενικοῦ δραχ. γ. μέλιτι δεύων ταῦτα, λείου καὶ χρίε τὸν σπόγγον καὶ ἐντίθει. Διὰ σπ[όγ]γου δι[α]στασ[εως] *ἐὰν δὲ μετὰ τὴν σπόγγου ἐξαίρεσιν μὴ δόξῃ καλῶς ἀναστομοῦσθαι ὁ τόπος, φλεγμονὴ γὰρ ἐπιγίνεται, χριστέον τὸν σπόγγον ἴρεως δραχ. β. στέατος χηνείου, τερεβινθίνης, λιβάνου, ἰρίνου ἀνὰ δραχ. β. τὴν ἴριν κόπτε καὶ σῆθε, τὸν δὲ λίβανον λείου λεπτότατα, εἶτα ἐπιβαλὼν αὐτῷ τὴν ἴριν λειοτάτην ἐν τῇ θυίᾳ ἐπίβαλλε καὶ βούτυρον καὶ συλλείου. τήξας δὲ στέαρ καὶ κηρὸν μετ' ἰρίνου ἐπίβαλλε καὶ τερεβινθίνην, καὶ διηθήσας ἐπίχεε τοῖς ἐν τῇ θυίᾳ.* Μετὰ παῦσιν φλεγμο[νῆς] *Παυσαμένης δὲ τῆς φλεγμονῆς καὶ εὐρυνθέντος τοῦ πόρου, κηρωτῇ διὰ ῥοδίνου καὶ στέατος ἐσκευασμένῃ χριστέον τὸν σπόγγον, καὶ τούτῳ ἐπιμενητέον μέχρις ἀπουλώσεως ἁδρότερον κατὰ βραχὺ σκευάζων τὸν τόπον.*

---

5 *παραδέχεται* B. 9 *αἰτίαν* B. *αἰτία* Γ. 10 *τόκων* B. *κυσθῆναι* B. 12 *ἄνευ, κηρωταῖς* B. *τῆς, ἀντὶ, τοῖς* B. 14 *ὑποπέσωναι* B. 18 *ἐσκελετουμένους* B. 19 *χρηστέον* B. 20 *τιθεύων* B. *θεύων* Γ. 22 „*δόξει*" *τὰ κείμ. ἡμ.* „*δόξῃ*" Z. 23 *ἐπιγίνηται* B. *χρηστέον* B. 25 *αὐτοῦ* B. 29 „*εὑρεθέντος*" *τὰ κείμ. ἡμ.* „*εὐρυνθέντος*" *Ζερβ.* 30 „*χρηστέον*" *κείμ. ἡμ.* „*χριστέον*" Z. *τοῦτο* B.

ΠΕΡΙ ΑΤΡΗΤΟΥ ΥΣΤΕΡΑΣ.

ΚΕΦΑΛΑΙΟΝ ΡΗ'.

Εἴδη ἀτρήτων. Τινὲς ἐκ γενετῆς ἄτρητον ἔχουσι τὸν πόρον τῆς μήτρας, εἰσὶ δὲ αὐτῶν τρεῖς διαφοραί· αἱ μὲν γὰρ τὸ ἔξωθεν σχῆμα ἔχουσι κεκολλημμένον ὑμένι στερεῷ κρατερῷ ἢ σαρκὸς ἐπιφύσει, αἱ δὲ περὶ τὸν κόλπον ἔχουσι τὸ κόλλημα, αἱ δὲ περὶ τὸ στόμα τῆς μήτρας. γίνεται δὲ πάσαις ἡ ἐνόχλησις κατὰ τοὺς τῶν καταμηνίων καιρούς. Θεραπεία. Θεραπεύειν δὲ τὰς μὲν τὸ σχῆμα συμπεφυκὸς ἐχούσας, σχηματίσαντας ὡς σύνηθές ἐστιν ὑπτίαν τὴν γυναῖκα κεκαμμένα ἔχουσαν τὰ σκέλη, μηλωτριδίῳ διαιρεῖν τὸν ἐπικαλύπτοντα τόπον, ἕως οὗ τὸ κατὰ φύσιν σχῆμα καὶ μέτρον κατασκευάσῃς, ἔπειτα μοτοῖς τιλτοῖς ἐκπληρῶσαι τὴν διαίρεσιν καὶ ἐπιδέσμῳ καταλαβεῖν, καὶ μετὰ ταῦτα θεραπεύειν τῇ πυοποιῷ ἀγωγῇ καὶ καταπλάττειν μέχρι τινός, εἶτα μοτοῖς κηρωτῇ ῥοδίνῃ ὑγρᾷ βεβρεγμένοις χρῆσθαι. ἐὰν δὲ μετὰ τὴν διαίρεσιν τοῦ σχήματος εὑρεθῇ τὰ πτερύγια πρὸς τὰ παρακείμενα σαρκώδη κεκολλημένα, ὑποδέρειν χρὴ ἐξ ἑκατέρου μέρους καὶ τοῖς μοτοῖς διαστέλλειν, καὶ θεραπεύειν τὸν προειρημένον τρόπον· ὑπτίῳ δὲ σχήματι φυλάττειν τὴν γυναῖκα, καὶ μέχρι κατουλώσεως μεταξὺ τῶν μηρῶν ἔχουσαν ἐπαγκωνίδιον. Ὅσαις δὲ τὸ μὲν σχῆμα διέστηκεν, ἐν δὲ τῷ κόλπῳ σαρκὸς ἐπίφυσις ἐστὶν ὁλοσχερῶς ἐμφράττουσα μέχρι τινός, ὡς τρῆμα μικρὸν εἶναι, σχηματίσαντες ὁμοίως τὴν γυναῖκα, ἔπειτα καθετῆρα ὑποβάλλοντες τῇ οὐρήθρᾳ ἀσφαλείας χάριν, ἵνα μὴ πλανηθέντες ἀνωτέρω τὴν διαίρεσιν ποιησώμεθα, ἔπειτα διέλωμεν κατωτέρω τοῦ σημαινομένου τόπου διὰ τοῦ καθετῆρος· Χειρουργία. ἐπιτήδειον δὲ εἰς τοῦτο ἐργαλεῖον τὸ λογχητικόν. διαιρετέον δὲ ἄχρι τοῦ γυμνῶσαι τὸν κόλπον κατὰ φύσιν, εἶτα ἀγκίστρῳ ἀνατείνας τὰ χείλη τῆς διακοπείσης συμφύσεως παρ' ἑκάτερα τὰ μέρη περίκοπτε, ὡς τετράγωνον τὴν γραφὴν γενέσθαι. ἔπειτα στήσας τὴν γυναῖκα ὀρθὴν διεστηκότων τῶν σκελῶν, ὥστε ἀπορρεῖν τὸ συνηθροισμένον ἐν τῇ μήτρᾳ ὑγρόν, πάλιν σχηματίσας ἐντίθει στρε-

---

5 κεκολλυμένον B. κεκωλυμένον Φ. 6 κώλυμα Γ. 9 ἔχουσι B. 10 κεκομμένα B. 11 ἄνευ, οὗ B. κατασκευάσαι B. κατασκευάσεις ΒΓ. ἡμ. διόρθ. Z. 14 ἡμέρας τινάς, ἀντί, τινὸς B. 24 „ποιησόμεθα" τὰ κείμ. Z. 25 „διέλομεν" τὰ κείμ. Z. 26 λογχητὸν A. 27 ἀγχίστρῳ B. 28 φύσεως B. 29 τράγωνον B. τὸ γράμμα ΒΓ. 31 στρέπτην B.

πτὸν μοτὸν βεβρεγμένον οἴνῳ καὶ ἐλαίῳ, ἔχοντα ἐξ ἄκρου λίνον ἀπηρτημένον καὶ ἔξω κεχαλασμένον εἰς ἐπισπασμὸν εὐχερῆ, εἶτα ἐπιδήσας ἡσυχάζειν κέλευε. ταῖς δὲ ἑξῆς ἡμέραις ὑδρομέλιτι κλύζειν, καὶ πυοποιῷ φαρμάκῳ δεύων τὸν στρεπτὸν μοτὸν θεράπευε. ὅταν δὲ μέλλῃ κατουλοῦσθαι, συρίγγιον κασσιτέρινον ἐντίθει καὶ ἐπιδέσμευε, ἕως ἂν στερεοποιηθῶσιν οἱ τόποι, ἐὰν δὲ πλέον συντρέχῃ καὶ πάλιν κλείῃ τὸ στόμα, σπόγγον σκελετεύσας πάλιν κάθιε, μέχρις ἂν τυλωθῶσιν οἱ τόποι. Εἰ δὲ ὑμενώδης ἐπίφυσις περὶ τὸ στόμα τῆς ὑστέρας γένηται, σχηματίσας ὁμοίως καὶ διαστήσας τῇ διόπτρᾳ, ἀγκίστρῳ καταπείρας τὸν ὑμένα καὶ ἀνατείνας καὶ ἐπιστρέψας, ὥστε συνηγμένον γενέσθαι, τῷ ὑπομήκει στενῷ σμιλίῳ ἔκκοπτε τὸν ὑμένα, ἔπειτα τῷ ἀνθηρῷ ξηρίῳ κατάπλασσε τὸν τόπον, καὶ μοτὸν στρεπτὸν ἐντίθει ὡς προείρηται σπαρτίῳ ἀποδήσας τὴν ἔξω ἀρχήν, καὶ ὁμοίως θεράπευε. ἐὰν δέ τι ὑπολείπηται τῆς ὑμενώδους ἐπιφύσεως, τῷ ἀνθηρῷ ξηρίῳ ἢ τῷ ψαρῷ δαπανητέον αὐτό. Καθαρῶν δὲ τῶν τόπων γενομένων, βρέχε τούτῳ τοὺς μοτοὺς σκευαζομένῳ οὕτω· κηροῦ, τερεβινθίνης, στέατος χηνείου ἀνὰ δραχ. β. ἴρεως, λιβάνου, ἀνὰ δραχ. α. κρόκου δραχ. γ. ἰρίνου δραχ. ιστ. ἶριν, κρόκον, λίβανον λεάνας μετὰ γλυκέος, τὰ δὲ τηκτὰ τήξας κατάχεε, καὶ ἑνώσας χρῶ. καθιέναι δὲ χρὴ συνεχῶς διόπτρᾳ καὶ ἐπισκέπτεσθαι μή τι ὑπερσάρκωμα γένηται, καὶ καταστέλλειν αὐτὸ τούτῳ ἔχοντι οὕτως. λεπίδος, ἰοῦ, λιβάνου, φλοιοῦ, ἀνὰ δραχ. β. λεάνας χρῶ· ἢ μολύβδου πλύματι μετὰ ἰοῦ καὶ λεπίδος χρῶ ξηρῷ· χρῆσθαι δὲ κἀπὶ τούτων τῇ διὰ σπόγγου καθέσει μέχρι τυλώσεως τῶν χειλῶν τοῦ στομίου, ἔπειτα δὲ καὶ συριγγίῳ κασσιτερίνῳ.

Ὑμεν-δους ἐ-φύσε θεραπ

ΠΕΡΙ ΑΙΜΟΡΡΟΙΔΩΝ ΕΝ ΜΗΤΡΑ ΕΚ ΤΩΝ ΤΗΣ ΑΣΠΑΣΙΑΣ.

ΚΕΦΑΛΑΙΟΝ ΡΘ′.

Αἱμορροΐδες δὲ γίνονται αἱ μὲν ἐπὶ τοῦ στόματος τῆς μήτρας ἢ ἐπὶ τοῦ τραχήλου, αἱ δὲ ἐν τῷ κύτει, σπανίως δὲ ἐν τῷ

Τόπι

1 λῖνον A. 2 ἀπαρτημένον B. 3 κέκλυε B. τοῖς B. ἡμέρας B. 4 ἄνευ, μοτὸν B. 5 κατουλῶσθαι B. συρίγγενον B. „κασσιτήρινον“ τὰ κείμ. 6 ἐπιδεσμεύει B. 12 στενῶσαι λεῖε, ἀντὶ, στενῷ σμιλίῳ B. σμιλείῳ A. ἄνευ, τῷ B. ξηρῷ B. 16 ψορῷ B. ψάρῳ Γ. 17 οὕτω B. 23 λιβάνου φλοιοῦ A. 27 ἄνευ, ἐκ B. τῆς τῶν B. 30 αἱ δὲ, ἀντὶ, ἢ B. κύστει AB.

αἰδοίῳ. ἔστι δὲ καὶ ἐκ τῆς ἀφῆς καταλαμβάνεσθαι, μᾶλλον δὲ διὰ τῆς διόπτρας· ἐπιφέρουσι δὲ τὰ αὐτὰ πάθη τοῖς ἐν δακτυλίῳ, καὶ ἀσυλληψίας καὶ βάρος ὀσφύος κατὰ τὰς καθάρσεις ἐπιφέρουσι.

Θεραπεία. Τὰς μὲν οὖν κεκιρσωμένας καὶ κακοήθεις παραιτητέον, τὰς δὲ ἄλλας παραπλησίως ταῖς ἐν δακτυλίῳ χειρίζειν. τὰς μὲν σκληρὰς, καὶ ὀλίγον προϊεμένας αἷμα, καὶ μὴ ἐμπεπλεγμένας τοῖς ἀγγείοις παραχρῆμα ἀφαιρετέον. τὰς δὲ ἱκανῶς αἱμορραγούσας προεγχαράξαι δεῖ κύκλῳ κατὰ τὴν βάσιν, ἔπειτα δὲ ἀναρτηθείσας τῷ ἀγκίστρῳ βρόχον περιβαλεῖν τῇ ἐγχαράξει καὶ ἀποσφῖγξαι, καὶ μετὰ βραχὺ ἀνατείναντας ἀποτέμνειν, ἔπειτα προσάπτεσθαι τῷ ἀνθηρῷ ξηρίῳ.

Χωρὶς χειρουργίας. Εἰ δὲ χωρὶς χειρουργίας βούλοιο ἀπομαραίνειν καὶ τυφλοῦν τὰς αἱμορροΐδας, προσάπτου ξηροῖς τοιούτοις· σπόδιον καὶ ῥόδα ξηρὰ λεῖα κατάπλασσε, ἢ ἀκακίαν μετ' οἴνου αὐστηροῦ ἐπίχριε τὰς αἱμορροΐδας, ἢ λημνίαν σφραγῖδα μετ' ὄξους. *Ἄλλο.* Ἄλλο. Στίμμεως γοη. ῥόδων ξηρῶν, μάννης ἀνὰ γοβ. *Ἄλλο.* κυτίνων γοα. χρῶ ξηρῷ. Ἄλλο. Βαλαυστίων πεφρυγμένων γοστ. σιδίων γογ. ῥόδων ἄνθους, σποδίου ἀνὰ δραχ. β. χρῶ.

Ἄλλο μᾶλλον καλόν. Ἄλλο πρὸς αἱμορροΐδας μᾶλλον καλὸν. Μανδραγόρου χυλοῦ, στυπτηρίας, ἀκακίας ἀνὰ δραχ. β. οἴνῳ λειῶν ἀνάπλασσε *Ἄλλο.* τροχίσκους, καὶ χρῶ σὺν οἴνῳ περιχρίων τοὺς τόπους. Ἄλλο. Κωνείου χυλοῦ, ὑοσκυάμου χυλοῦ, στυπτηρίας σχιστῆς, σινωπιτίδος ἀνὰ δραχ. β. σάνδυκος[1] δραχ. α. οἴνῳ ἀνάπλασσε *Ἄλλο.* καὶ χρῶ σὺν οἴνῳ. Ἄλλο. Δριφρυγοῦς δραχ. στ. ψιμμυθίου, λιθαργύρου, μολύβδου κεκαυμένου καὶ πεπλυμένου, ὑποκυστίδος χυλοῦ ἀνὰ δραχ. γ. ἀναλάμβανε κωνείου χυλῷ, καὶ χρῶ μετ' οἴνου. χρῶ δὲ καὶ τοῖς πρὸς τὰς ἐν ἕδρᾳ αἱμορροΐδας προγεγραμμένοις, καὶ μάλιστα τῷ τοῦ Ἱπποκράτους. πότιζε δὲ αὐτὰς καὶ τὰ πρὸς αἱμοπτοϊκοὺς ἀναγεγραμμένα, καὶ ἐγκάθιζε ἀφεψήμασι στύφουσι.

---

5 σχάζειν *AB*. 7 ἀφαιρητέον *B*. 8 ἐναρτηθεῖσαν *B*. ἀναρτηθεῖσαν *A*. 9 προβάλλειν *B*. 10 ἀνατείναντες *B*. 12 προσάπτειν *B*. 13 σποδιὸν *B*. 17 ῥόδων ἄνθους *B*. 19 στρογγύλης *A*. 25 χυλὸν *A*. 28 ἐγκαθίζειν *B*.

---

[1] Σάνδυξ ἢ καὶ ἀρμένιον τὴν μίλτον προσαγορεύουσιν ἢ παραπλήσιόν τι ταύτῃ τῇ χροιᾷ. Λατιν. Sandyx. παράβαλε καὶ Στράβωνα II. 14, 9. Ζερ.

ΠΕΡΙ ΛΙΘΙΩΣΗΣ ΜΗΤΡΑΣ.

ΚΕΦΑΛΑΙΟΝ ΡΙ'.

Συνίστανται σπανίως λίθοι πωροειδεῖς ἐν τῷ κύτει τῆς ὑστέρας ἐμπλέοντες, οὓς ἐξαίρειν προσήκει· προκενώσας τὴν κοιλίαν κλυστῆρι ἐκκοπρωτικῷ, ἔπειτα ἐγχυματίζειν τὴν μήτραν τήλεως καὶ μαλάχης ἀφεψήματι τρίτον κοτύλης μετὰ ῥοδίνου ὀλίγου. εἶτα σχηματίσας ὑπτίαν κατάρροπον τὴν γυναῖκα, ὡς τοὺς τόπους ἐν διαστάσει γενέσθαι, καθυπόβαλλε τοὺς μακροὺς δύο δακτύλους τῆς ἀριστερᾶς χειρὸς τῇ ἕδρᾳ, τῇ δὲ δεξιᾷ πρόσθλιβε τὸ ὑπογάστριον ἐξωθῶν τὸν λίθον καὶ ὑποβιβάζων πρὸς τὰ ἔξω, καὶ ὁδηγῶν αὐτὸν διὰ τῶν ἐν τῇ ἕδρᾳ καθυποβληθέντων δακτύλων. ὅταν δὲ περὶ τὸ στόμιον τῆς ὑστέρας ἢ τὸν τράχηλον γένηται, λιθαναβολέα καθεὶς ἐκλάμβανε τοῦτον ἠρέμα. Τοὺς δὲ ἔξωθεν τῆς ὑστέρας ἐν τῷ τραχήλῳ ἢ τῷ στομίῳ αὐτῆς προσπεφυκότας πώρους, σχηματίσας καὶ τῇ διόπτρᾳ διαστήσας τοὺς τόπους, τῷ πολυτόμῳ περιαίρει καὶ κόμιζε, καὶ ἐπίπασσε τῷ ἀνθηρῷ[1] τὸν τόπον.

Τρόπ ἐξαιρέσ τῶν ἐν κύτε λίθω

Τῶν ἐν τραχήλ τῷ στο τῆς ὑσ ρας.

ΠΕΡΙ ΤΩΝ ΕΝ ΚΥΣΤΕΙ ΛΙΘΩΝ.

ΚΕΦΑΛΑΙΟΝ ΡΙΑ'.

Συνίστανται δὲ ἐν τῇ κύστει τῶν γυναικῶν σπανίως λίθοι· εὐρύτερον γὰρ καὶ κονδότερον καὶ κατ' εὐθὺ τεταμένον τὸν οὐρητικὸν πόρον ἔχουσι. σημειοῦσθαι δὲ ἐπὶ γυναικῶν χρὴ τὸν λίθον διὰ τοῦ γυναικείου αἰδοίου, ἐπίκειται γὰρ ἡ κύστις τῇ ὑστέρᾳ. Σχηματίσαντες τοίνυν ὑπτίαν τὴν γυναῖκα κατάρροπα ἔχουσαν τὰ ἰσχία ὑποκεκλιμένων τῶν σκελῶν, καὶ καθιέντες τοὺς δύο δακτύλους τῆς ἀριστερᾶς χειρὸς τῷ αἰδοίῳ, προσθλίβοντες δὲ τῇ δεξιᾷ ἄνωθεν τὴν κύστιν ἐξωθοῦμεν τὸν λίθον πρὸς τὸν τράχηλον τῆς κύστεως, καὶ ὑποβιβάσαντες αὐτόν, ἵνα ἔξωθεν γένηται τοῦ σφίγγοντος τὸν

Θεραπ ἔναιμ

1 λιθιώσεως *B.* 3 πυρωειδεῖς *B.* 4 προκενώσαντας *A.* 7 ἄνευ, ὀλίγου *B.* 8 ὑπόβαλλε *B.* 10 ὑποβιάζων *B.* 11 ποδηγῶν *AB.* ἄνευ, τῇ *AB.* 12 καί, ἀντί, ἤ *B.* 13 λιθοναβολέα *B.* 21 ὀρθότερον, ἀντί, κονδότερον *B.* 26 καθιόντες *B.* 28 „καὶ κλπ." μέχρι „τότε" παραλ. *B.*

[1] Ἀνθηρόν, τὴν σανδαράχην ἢ σανδαράκην φησὶν ὁ Ἡσύχιος.

τράχηλον τῆς κύστεως μυὸς, τότε διδόαμεν τὴν διαίρεσιν ἀνωτέρω βραχὺ τῶν πτερυγωμάτων καθ' ὃν τόπον ὁ λίθος ὑποπίπτει, καὶ οὕτως τῷ λιθουλκῷ κομίζομεν. κἄπειτα μάννης πληρώσαντες τὴν διαίρεσιν, καὶ ἔρια ἐλαιοβραχῆ καθαρὰ θερμὰ πλεῖστα ἐπιθέντες τῷ τε ἤτρῳ καὶ τῇ ὀσφύϊ, ἐπιδεσμοῦμεν ἐπιλύοντες δὶς καὶ τρὶς τῆς ἡμέρας καὶ τῆς νυκτὸς ἅπαξ, καὶ καταντλοῦντες ἐλαίῳ· μετὰ δὲ τὴν τρίτην σαρκωτικοῖς ἀδήκτοις ξηρίοις ἀναπληροῦμεν τὴν διαίρεσιν μέχρι σαρκώσεως, εἶτα τῇ δι' ὀξελαίου ἐμπλάστρῳ ἐπουλοῦμεν. καλῶς δὲ σαρκοῖ τοὺς τόπους τούτους καὶ πᾶν κοῖλον ἕλκος τοῦτο· μάννης γοβ. κολοφωνίας λειοτάτης γοά. χρῶ ξηρῷ δαψιλῶς πληρῶν πᾶσαν τὴν κοιλότητα.

ΠΕΡΙ ΥΔΡΟΚΗΛΗΣ ΕΚ ΤΩΝ ΑΣΠΑΣΙΑΣ.

ΚΕΦΑΛΑΙΟΝ ΡΙΒ'.

Συνίστανται δὲ καὶ ὑδροκῆλαι κατὰ τὰ πτερυγώματα ἐμφυσήμασιν ὅμοια τὰ ἐπάρματα ἔχουσαι ἄτονα, μαλακὰ, ὁτὲ μὲν περὶ τὸ ἓν μέρος, ὁτὲ δὲ περὶ ἀμφότερα, κλύδωνος ἔμφασιν ἐν τῇ πρὸς τὴν ἀφὴν σημειώσει ἐμποιοῦσαι. Δεῖ οὖν πρῶτον μὲν πειρᾶσθαι φαρμάκοις διαφορεῖν τοῖς ἐπὶ τῶν ὑδροκηλικῶν ἀνδρῶν προειρημένοις, καὶ μάλιστα ἐπὶ τῶν παρθένων δεῖ χειρίζειν. εὐθεῖαν δὲ τὴν διαίρεσιν διδόναι προσήκει σύμμετρον πρὸς τὸν ὄγκον· διαιρεθέντος δὲ τοῦ ἐπιπολῆς δέρματος, ὑποδέρειν κατὰ βραχὺ τοὺς ὑποκειμένους ὑμένας, εἶτα ἄγκιστρα καταπήξαντα ἑκατέρωθεν ἀνατεῖναι καὶ διαιρεῖν τὸν περιέχοντα τὸ ὑγρὸν ὑμένα. Ἐκκενωθέντος δὲ τοῦ ὑγροῦ περιαιρεῖν κύκλῳ τὴν διαίρεσιν τοῦ ὑμένος μυρσινοειδῶς, καὶ μετὰ τὴν ἀφαίρεσιν πυοποιῷ ἀγωγῇ θεραπεύειν, προαγκτηριάσαντα ῥαφαῖς δύο ἢ τρισὶ τὰ χείλη τῆς διαιρέσεως. χρῶ δὲ ἐμβροχῇ τῇ δι' ἐλαίου ὡς ἐπὶ τῶν ὑδροκηλῶν τῶν ἀνδρῶν, καὶ τῇ λοιπῇ θεραπείᾳ ὡς προγέγραπται.

Χειρουργία.

---

10 ἄνευ, τούτους B. 11 γύρεως μάννης B. 21 „προσήκει κλπ." μέχρι „δέρματος" παραλ. B. 25 ἄνευ, τὸ B. 25—26 ἐκκενωθέντα B. 28 προαγκτηριάσας B. ἢ δύο A. 30 ὑδροκήλων B.

ΠΕΡΙ ΒΟΥΒΩΝΟΚΗΛΗΣ.

ΚΕΦΑΛΑΙΟΝ ΡΙΓʹ.

Γίνονται δὲ καὶ βουβωνοκῆλαι γυναιξὶ μάλιστα κατὰ τὸ δεξιὸν μέρος τοῦ τῆς ὑστέρας κόλπου, ὅ καὶ αἰδοῖον τινὲς προσαγορεύουσιν. ἔστι γὰρ ὄγκος προέχων σκληρότατα καὶ βορβορυγμοὺς ἐμποιῶν ἐν τῇ σημειώσει καὶ διαθλιβόμενος μάλιστα, ὅταν ἀνευρύνηται τὰ σκέλη, ἢ ὑπτίαι σχηματισθῶσιν αἱ γυναῖκες. Θεραπεύειν δὲ καὶ ταύτας κατὰ τὰς ἀρχὰς τῷ καταλλήλῳ ἐπιδέσμῳ, καὶ φαρμάκων ἐπιθέσει τῶν ἐπὶ τῶν ἐντεροκηλῶν καὶ βουβωνοκηλῶν τῶν ἀνδρῶν προρρηθέντων, μὴ καθισταμένας δὲ ἐγχειρίζειν. Δεῖ δὲ σχηματίσαντας ὑπτίαν τὴν γυναῖκα ἀνάρροπα μᾶλλον ἔχειν τὰ σκέλη, καὶ ἀναθλίψαντας τὸ ἔντερον διαιρεῖν πλαγίως τὸν περὶ τὸν βουβῶνα τόπον, ἔπειτα ὑποδέρειν τοὺς περὶ τὸ δέρμα ὑμένας κατὰ βραχὺ, καὶ οὕτως ἐπισπᾶσθαι τὸ κεχαλασμένον μέρος τοῦ περιτοναίου, καὶ ἀνατείνοντας καὶ ἀποθλίβοντας ἀκριβῶς τὸ ἐν αὐτῷ ἔντερον ἀποσφίγγειν τὸ περιττὸν τοῦ περιτοναίου, καὶ ῥαφῇ χρῆσθαι καὶ ἀποσφίγγειν ἀκριβῶς, καὶ οὕτως ἀποκόπτεν καὶ ἀφαιρεῖν τὸ περιττεῦον περιτόναιον ἀνωτέρω τῆς ῥαφῆς. ἔπειτα ῥαφαῖς δυσὶν ἢ τρισὶ συναγαγεῖν τὰ χείλη τῆς διαιρέσεως τοῦ δέρματος καὶ διαμοτοῦν. ἄνωθεν δὲ ἔρια οἰσυπηρὰ διαβεβρεγμένα ὄξει καὶ ἐλαίῳ ἐπιθέντας ἐπιδεσμεῖν, καὶ τὸ λοιπὸν θεραπεύειν τῇ πυοποιῷ ἀγωγῇ καὶ ἀνακαθαρτικῇ καὶ σαρκωτικῇ, ἐμβροχαῖς καὶ καταπλάσμασι χρωμένους μέχρις ἂν αἱ φλεγμοναὶ παύσωνται, καὶ οὕτως ἐπουλοῦν ὡς καὶ τὰ λοιπὰ ἕλκη.

Σημείωσις. Θεραπεία. Χειρουργία.

ΠΕΡΙ ΚΙΡΣΟΚΗΛΗΣ ΕΚ ΤΩΝ ΑΣΠΑΣΙΑΣ.

ΚΕΦΑΛΑΙΟΝ ΡΙΔʹ.

Γίνεται καὶ κιρσοκήλη κατὰ τὰ πτερυγώματα τοῦ αἰδοίου, ἔστι δὲ ἀνευρύσματα φλεβῶν παραπλήσια τοῖς ἐν τοῖς ἕλκεσι γινομένοις κιρσοῖς, ἅπερ δεῖ χειρίζειν οὕτως.

---

4 ὅ, ἀντὶ, ὅ B. 5 ἄνευ, ὄγκος B. 7 ἄνευ, σκέλη A. 9 κατ' ἀλλήλῳ B. 20 ἄνευ, περιττεῦον B. 25 ἐμβροφαῖς B. 30 ἀνευρυσμὸς κατὰ B. παραπλήσιος B.

Χειρουργία. Τομὴν εὐθεῖαν διδόναι προσήκει ἐπιπολαίαν πρὸς τὸ σχῆμα τοῦ ἀγγείου, ἔπειτα ὑποδέρειν ἠρέμα τοὺς ἐπικειμένους τῷ ἀγγείῳ ὑμένας, καὶ γυμνοῦ φανέντος αὐτοῦ τῷ τυφλαγκίστρῳ ἀνασπᾶν καὶ βροχίζειν βρόχοις δυσὶ, λέγω δὴ περὶ τὸ ἄνω μέρος τοῦ ἀγγείου καὶ τὸ κάτω. εἶτα διαιρεῖν τὴν φλέβα ὡς ἐπὶ φλεβοτομίας, καὶ ὅταν κενωθῇ τὸ ἐν αὐτῇ αἷμα, ἀποσφίγγοντας τοὺς βρόχους διακόπτειν τὸ μέσον καὶ περιττὸν τοῦ ἀγγείου καὶ ἀφαιρεῖν, καὶ τοῦτο ποιεῖν καθ' ἕκαστον τῶν κεκιρσωμένων ἀγγείων. καὶ διαμοτώσαντας τὴν διαίρεσιν, σπόγγον ὄξει ἢ ὀξυκράτῳ βεβρεγμένον ἐπιτιθέναι, καὶ τὸ λοιπὸν τῇ πυοποιῷ ἀγωγῇ θεραπεύειν.

ΠΕΡΙ ΝΥΜΦΟΤΟΜΙΑΣ, ΦΙΛΟΥΜΕΝΟΥ.

ΚΕΦΑΛΑΙΟΝ ΡΙΕ'.

Ἡ λεγομένη νύμφη οἷον μυῶδες ἢ δερματῶδες ἐστὶ συγκριμάτιον κείμενον κατὰ τὴν ἄνωθεν τῶν πτερυγωμάτων συμβολὴν, καθ' ὃν τόπον ἡ οὐρήθρα τέτακται· μεγεθύνεται δέ τισιν ἐπὶ πλέον τῶν γυναικῶν αὔξησιν λαμβάνον, καὶ εἰς ἀπρέπειαν καὶ αἰσχύνην γίνεται. ἀλλὰ καὶ παρατριβόμενον συνεχῶς ὑπὸ τῶν ἱματίων ἐρεθίζει, καὶ τὴν πρὸς συνουσίαν ὁρμὴν ἐπεγείρει, διόπερ πρὸ τῆς μεγεθοποιήσεως ἔδοξε τοῖς Αἰγυπτίοις ἀφαιρεῖν αὐτὸ τότε μάλιστα, ὁπότε πρὸς γάμον ἄγεσθαι μέλλοιεν αἱ παρθένοι. Χειρουργία τῆς λεγομένης νύμφης. ἐπιτελεῖται δὲ ἡ χειρουργία τὸν τρόπον τοῦτον. Ἑδραζέτω μὲν ἡ παρθένος ἐπὶ δίφρου, παρεστὼς δὲ ὄπισθεν νεανίσκος εὔτονος ὑποβάλλων τοὺς ἰδίους πήχεις ταῖς ἐκείνης ἰγνύαις, διακρατείτω τὰ σκέλη καὶ τὸ ὅλον σῶμα· ἑστὼς δὲ ἐναντίον ὁ ἐνεργῶν καὶ μυδίῳ πλατυστόμῳ συλλαβὼν τὴν νύμφην διὰ τῆς εὐωνύμου χειρὸς ἀποτεινέτω, τῇ δὲ δεξιᾷ ἀποτεμνέτω παρὰ τοὺς ὀδόντας τοῦ μυδίου. μέτρον δὲ προσήκει κατέχειν ὡς ἐπὶ τῆς ἀποτεμνομένης κιονίδος, ἵνα τὸ περιττεῦον μόνον ἀφαιρεθῇ· παρὰ δὲ τοὺς ὀδόντας τοῦ μυδίου τὴν ἀφαίρεσιν εἶπον γενέσθαι, διὰ τὸ

2 ἀποδέρειν B. ὑποκειμένους A. 4 βρογχίζειν B. 15 συγκράματι ὄν B. 18 λαμβάνων B. 20 ἐρεθίζειν B. 25 ὑποβαλὼν B. 26 ἄνευ, ὁ B. 27 εὐνωνύμου B. 28 ἀποτεμνείτω B. 29 μοδίου B. 31 ἄνευ, τὴν B. γίνεσθαι B.

δερματώδη εἶναι τὴν νύμφην καὶ παρεκτείνεσθαι μέχρι πλείστου. ὥστε μὴ ἐκ τῆς περιττοτέρας ἀποκοπῆς ὡς ἐκ τῆς βαθυτέρας τῶν ἐγκανθίδων ἐκτομῆς ῥοιὰς ἐπακολουθεῖν. Μετὰ δὲ τὴν χειρουργίαν οἴνῳ προσήκει στύφειν τὴν ἕλκωσιν ἢ ψυχρῷ ὕδατι, καὶ ἀπομάξαντας σπόγγῳ μάνναν ἐπιπάττειν, καὶ μοτὸν ὀξυκράτῳ βρέχοντας ἐπιτιθέναι, καὶ ἄνωθεν σπόγγον ὀξυκράτῳ βεβρεγμένον πάλιν ἐπιτιθέναι· μετὰ δὲ τὴν ἑβδόμην καδμίαν λειοτάτην ἐπιπάσσειν, ἢ σὺν αὐτῇ ῥόδων ἄνθος, ἢ τὸ διὰ διφρυγοῦς λίθου ξηρὸν αἰδοιϊκόν. καλὸν δὲ καὶ τοῦτο· ὀστᾶ φοινίκων[1] *καύσας καὶ λεάνας ἐπίπασσε τὴν σποδόν, ποιεῖ καὶ πρὸς τὰ ἐν αἰδοίοις ἕλκη.*

Μετὰ τ... χειρου... γίαν.

ΠΕΡΙ ΚΕΡΚΩΣΕΩΣ.

ΚΕΦΑΛΑΙΟΝ ΡΙϛʹ.

Σπανίως ἐπὶ ἐνίων γυναικῶν σαρκώδης ἔκφυσις ἀπὸ τοῦ στομίου τῆς ὑστέρας γίνεται, ἀναπληροῦσα τὸ γυναικεῖον αἰδοῖον· ποτὲ δὲ καὶ εἰς τὰ ἔξω προπίπτουσα τῇ τοῦ ὄνου κέρκῳ παραπλησίως ἐστὶν ὁμοία, ὅθεν καὶ ὠνόμασται. ὥσπερ οὖν ἐπὶ τῆς νύμφης προείρηται, σχηματίζειν χρὴ τὴν γυναῖκα καὶ μυδίῳ ἀποτείνειν τὴν ὑπεροχήν, καὶ τῷ πολυτόμῳ σπαθίῳ ἐκ βάσεως ὅλον τὸ περιττὸν ἀφαιρεῖν, καὶ μετὰ τὴν χειρουργίαν παραπλησίως ταῖς νυμφοτομηθείσαις θεραπεύειν.[2]

Πόθε... καλεῖτ... Θεραπ...

---

2 *εἶτα, ἀντὶ, ὥστε μὴ B.* 3 *ἐγκαυθίδων B.* „*ῥοιᾶς*" *ΑΒΓ.* „*ῥοιὰν*" *Φ.* 5 *μάννην B.* *βεβρεγμένον πάλιν B.* 6 „*καὶ*" *κλπ. μέχρι* „*ἐπιτιθέναι*" *παραλ. B.* 8 *ῥόδιον B.* *ἄνευ, διὰ B.* 13 *σπανίος B.* 15 *τὸ, ἀντὶ, τὰ ΑΒ.* *προσπίπτουσα B.* 16 *ἔστιν B.* 18 *πολυγόνῳ B.*

---

[1] *Τοὺς πυρῆνας τῶν φοινίκων νοεῖ ἐνταῦθα ὁ Ἀέτιος ἐν τῇ φράσει* „*ὀστᾶ φοινίκων*", *τὰ κοιν. κουκούτσια καλούμενα. Ζερβ.*

[2] *Περὶ Ἑρμαφροδίτου Λεωνίδου. Τὸ ἑρμαφρόδιτον πάθος κατὰ σύνθεσιν ἀπὸ Ἑρμοῦ καὶ Ἀφροδίτης ὠνόμασται, πολλὴν παρέχον ἀπρέπειαν ἀμφοτέροις τοῖς γένεσι· Τεσσάρων γὰρ οὐσῶν κατὰ Λεωνίδα τῶν διαφορῶν αὐτοῦ, αἱ μὲν τρεῖς ἐπὶ τῶν ἀνδρῶν συνίστανται, ἡ δὲ μία ἐπὶ τῶν γυναικῶν. ἐπὶ μὲν γὰρ τῶν ἀνδρῶν ποτὲ μὲν κατὰ τὸ περίναιον, ποτὲ δὲ κατὰ τὸ μέσον ὄσχεον τοῦ γυναικείου αἰδοίου φαίνεται, τρίτη δὲ πρὸς ταύταις καθ᾽ ἣν ἐπί τινων διὰ τοῦ κατὰ τὸν ὄσχεον αἰδοίου τὰ οὖρα προχεῖται. Ἐπὶ δὲ τῶν γυναικῶν ἀνωτέρω τοῦ αἰδοίου θέσις εὑρίσκεται τριῶν τινων ἐξεχόντων σωμάτων, ἑνὸς μὲν ὥσπερ καυλοῦ, δύω δὲ καθάπερ διδύμων. Ἡ μὲν οὖν τρίτη τῶν ἀνδρῶν καθ᾽ ἣν τὸ οὖρον διὰ τοῦ ὀσχέου ἐκκρίνεται ἀνίατός ἐστι· αἱ λοιπαὶ δὲ τρεῖς θεραπευτέαι τῇ ἀφαιρέσει μὲν τῶν ἐξεχόντων σωμάτων, καὶ τῇ τῶν ἑλκῶν ἀπουλώσει. τὸ τόσον ἐνδιαφέρον τοῦτο κεφάλαιον εὕρομεν ἐν σημειώσει τοῦ Α. Ζερ.*

ΠΕΡΙ ΘΥΜΩΝ ΕΝ ΥΣΤΕΡΑ ΚΑΙ ΜΥΡΜΗΚΙΩΝ ΚΑΙ ΑΚΡΟΧΟΡΔΟΝΩΝ, ΦΙΛΟΥΜΕΝΟΥ.

ΚΕΦΑΛΑΙΟΝ ΡΙΖ΄.

Τί ἐστι θύμος.

Συνίσταται θύμος ποτὲ μὲν περὶ τὰ πτερυγώματα, ποτὲ δὲ περὶ τὸ γυναικεῖον αἰδοῖον, ποτὲ δὲ περὶ τὸ στόμιον τῆς ὑστέρας ἢ τὸν τράχηλον. ὑπεροχὴ δέ ἐστι τραχεῖα κεγχρώδης κορύμβῳ θύμῳ παραπλησία. ἐπί τινων μὲν ἀνώδυνος, ἐφ' ἑτέρων δὲ κακοήθης καὶ ἐνερευθὴς καὶ αἱμασσομένη μᾶλλον κατὰ τὰς συνουσίας καὶ τοὺς περιπάτους, ὅτε καὶ μόρῳ πεπεμμένῳ ἤτοι ὡρίμῳ προσέοικε. καταλαμβάνεται δὲ διὰ τῆς ὁράσεως ἢ αὐτόθι, ἢ μετὰ διοπτρισμόν.

Θεραπεία.

Θεραπεύειν δὲ τὰς ὑπεροχὰς ταύτας προσήκει κατ' ἀρχὰς μέντοι, ὡς ἐπὶ τῶν μυρμηκίων καὶ ἀκροχορδόνων, κοινῶς χρονιζόντων δὲ ἁρμοδίως χειρίζειν. σχηματίσαντας δὲ τὴν γυναῖκα καὶ μυδίῳ ἀποτείναντας τὴν ἐξοχὴν, ἀποκόπτειν τῷ πολυπικῷ σπαθίῳ ἐκ βάσεως ὅλον, καὶ θεραπεύειν τῇ ἐναίμῳ ἀγωγῇ. τοὺς δὲ ἐνδοτέρω διὰ τὸ βάθος μὴ δυναμένους τῇ χειρουργίᾳ ὑποβάλλεσθαι, καταλιπεῖν καὶ διὰ φαρμάκων θεραπεύειν, μὴ χειρίζειν δέ. Φάρμακα δὲ ἁρμόδια καὶ τούτοις ἐστὶ τὰ προρρηθέντα ἐπὶ τῶν ἐν ὅλῳ τῷ σώματι θύμων καὶ μυρμηκίων.

Πρὸς τὰς ἐν αἰδοίῳ μυρμηκίας.

ἄκρως δὲ ποιεῖ πρὸς τὰς ἐν αἰδοίῳ μυρμηκίας ταῦτα. Αἰγὸς σφαγείσης εὐθέως κατακέντει τοὺς ὀφθαλμοὺς, καὶ τῷ ἐξ αὐτῶν ἀπορρέοντι γλίσχρῳ συνεχῶς περίχριε, καὶ ἐντὸς ἡμερῶν ἓξ ἀφανεῖς ἔσονται.

ΑΛΛΟ Ω ΕΧΡΗΣΑΜΗΝ ΕΠΙ ΤΗΣ ΕΜΑΥΤΟΥ ΣΥΜΒΙΟΥ, ΑΙΡΕΙ ΓΑΡ ΑΥΤΑΣ ΕΚ ΡΙΖΩΝ.

Ὀριγάνου καρφίον ἅψον ἐν λίχνῳ καὶ πρόσαγε τῇ μυρμηκίᾳ, ὥστε μὴ καῆναι μὲν, τὸν δὲ καπνὸν δέχεσθαι, καὶ ποίει τοῦτο τρίτον τῆς ἡμέρας.

Ἄλλο πρὸς τοὺς ἐν αἰδοίῳ καὶ ἕδρᾳ θύμους.

Ἄλλο πρὸς θύμους ἐν αἰδοίῳ καὶ ἕδρᾳ. Κάσσυμα[1] παλαιότατον καύσας κατ' ἰδίαν, καὶ κολοκύνθην ξηρὰν

---

6 κορυμβοθύμῳ Α. „θύμων" Φ. 8 κακοήθη Β. 9 πεπεμένῳ Α. 11 διοπτρισμοῦ ΑΒ. 13 κοινῶς, ἁρμοδίως· χρονιζόντων δὲ χειρίζειν ΑΒ. 15 μοδίῳ, ἀντὶ, σπαθίῳ Β. 21 τὸ, ἀντὶ, τῷ Β. 24 ἐγὼ ἐπὶ Α. 29 κασσίαν Β.

[1] Κάσσυμα, τὸ δέρμα, τὸ σκύτος καλεῖται, τὸ πρὸς κατασκευὴν ὑποδυμάτων ἢ τῶν πελμάτων αὐτῶν. Δ. Σακ. II. 294.

κατ' ἰδίαν, καὶ λειότατα γινόμενα βάλλε ἑκάστου ἴσον, εἶτα προνίπτων οἴνῳ τοὺς τόπους ἐπίπασσε καὶ χρῶ· πεπείραται. Ὀρειβάσιος δὲ φησὶ περὶ τῆς τῶν θύμων ἀφαιρέσεως· δεῖ σχηματίσαντας τὴν γυναῖκα καθὼς πολλάκις εἴρηται, καὶ μυδίῳ ἀποτείναντας τὴν ἐξοχὴν, ἀποκόπτειν σπαθίῳ πολυπικῷ, καὶ θεραπεύειν ἐναίμοις. δεῖ δὲ τοὺς κακοήθεις θύμους φεύγειν τέμνειν διὰ τὴν αἱμορραγίαν, τοὺς δὲ μὴ κακοήθεις θύμους πάντας ἐκτέμνειν, οὐ γάρ ἐστι δέος αἱμορραγίας ἐπ' αὐτῶν. ἑνὸς δὲ φροντιστέον, τὸ τὴν ὑστέραν αὐτὴν ἀπὸ τῆς τοῦ σμιλίου ἀκμῆς ἀπαθῆ φυλαχθῆναι· ἔσται δὲ τοῦτο, εἰ προανατεταμένος ὁ θύμος ἐκτέμνοιτο παρὰ τοὺς ὀδόντας τοῦ μυδίου, ὡς ἐπὶ τῆς νυμφοτομίας προείρηται. Μετὰ δὲ τὴν ἀφαίρεσιν αὐτῶν ἰσχαίμῳ τινὶ σταλτικῷ χρηστέον πρὸς ἀναξηρασμὸν τῶν τόπων, καὶ γὰρ καθυγρασμὸς παλλιγγενεσίας τῶν θύμων αἴτιος, ὡσαύτως δὲ καὶ ἡ λιπαίνουσα θεραπεία· διὸ παρ' ὅλην τὴν θεραπείαν τὰς ἐμμότους καὶ ἀνειμένας πάσας δυνάμεις καὶ λιπαινούσας φευκτέον· χρηστέον δὲ μετὰ τὴν χειρουργίαν εὐθέως κηκίδια λεῖα ἢ στυπτηρίαν μετὰ ἴσου λιβάνου, ἐν δὲ τῇ ἑξῆς θεραπείᾳ τῇ στομωτικῇ ἀνθηρᾷ, ἢ ῥόδων ἄνθη καὶ κυτίνων ξηρῶν. ταῦτα γὰρ καὶ στέλλει καὶ καθαίρει ποσῶς, καὶ εἰς οὐλὴν τὰς ἑλκώσεις ἄγει ῥᾳδίως. Μετὰ ἀφαίρε

ΠΕΡΙ ΚΟΝΔΥΛΩΜΑΤΩΝ, ΑΣΠΑΣΙΑΣ.

ΚΕΦΑΛΑΙΟΝ ΡΙΗ'.

Κονδύλωμα ἐστὶ στολίδος ἐπανάστασις· φλεγμονὴν γὰρ ὑπομείνασαι αἱ περὶ τὸ στόμα τῆς ὑστέρας στολίδες κονδυλοῦνται καὶ σκληρύνονται, καὶ ἐκστροφήν τινα ἐπιφέρουσι τοῖς τόποις καὶ παχυσμόν. μετεωρίζεται δὲ μάλιστα ἐν ταῖς τῶν καταμηνίων ἐκκρίσεσι, καὶ κατὰ τοὺς τοκετοὺς ἐνοχλήσεις ἐπιφέρει· ῥᾳδίως δὲ ἐκ τῆς ἀφῆς γνωρίζεται. Δεῖ οὖν ἐπὶ τούτων τοῖς στύφουσι προσαντλεῖν καὶ προσθέτοις χρῆσθαι τοῖς ἐπὶ δακτυλίου προειρημένοις, μάλιστα δὲ σιδίοις μετὰ βουτύρου ἢ λυκίῳ ἰνδικῷ μετὰ ὑσσώπου, καὶ τοῖς ὁμοίοις ἐπὶ τῶν ἐν ἕδρᾳ παθῶν προγεγραμμένοις. Θεραπ

1 ἕκαστον B. 2 ὀριβάσιος B. 3 δεῖ δὲ A. 9 σμιχίου ἀκρῆς B. 10 ἔστω B. 14 θάλπουσα B. 18 στοματικῇ B. 24 ὑπομένουσαι AB. 28 τὸν τῶν τοῖς B. 31 οἰσύπου B.

ΠΕΡΙ ΡΑΓΑΔΩΝ ΕΝ ΥΣΤΕΡΑ.

ΚΕΦΑΛΑΙΟΝ ΡΙΘ΄.

Ἐκ βιαίων τόκων διὰ μέγεθος τῆς κεφαλῆς τοῦ βρέφους αἱ ῥαγάδες συμβαίνουσι περὶ τὸ στόμα τῆς ὑστέρας· συνίστανται δὲ καὶ διὰ δριμύτητα τῶν ἐπιρρεόντων τε καὶ δακνόντων καὶ καταρρηγνύντων τοὺς τόπους. καὶ τὸ μὲν πρῶτον περιαλγήματος παρόντος λανθάνουσιν αἱ ῥαγάδες, ὡς τῶν πόνων προσφάτων τῇ κυήσει παραμενόντων, ὕστερον δὲ κατ' ὀλίγον αἴσθησις καὶ ἐπίνοια τῶν ἑλκῶν γίνεται. καὶ γὰρ πρὸς τὴν χειραψίαν διασημαίνουσιν αἱ ὀδύναι καὶ ἐν ταῖς συνουσίαις, ὅτε καὶ ἐφαιμάσσεται ἐκ παρατρίψεως τὰ ἕλκη, ἐλέγχεται δὲ μᾶλλον ὑπὸ τῆς διόπτρας· τοῦ γὰρ κόλπου διασταλέντος, αἱ ῥήξεις κύκλῳ τοῦ στομίου θεωροῦνται.

Θεραπεία. *Χειρουργίαν μὲν οὖν καὶ πᾶσαν δηκτικὴν φαρμακείαν δεῖ φεύγειν ἐπὶ τῶν γυναικείων τόπων, φλεγμονὰς γὰρ τὰ τοιαῦτα καὶ σπασμοὺς ἐπιφέρει. χρῆσθαι δὲ τοῖς ἁπλουστέροις ἐγκαθίσμασι χρὴ καὶ πεσσοῖς τοῖς ἐπὶ τῶν ἑλκῶν προγεγραμμένοις, καὶ τοῖς ἑδρικοῖς πρὸς ῥαγάδας φαρμάκοις, καὶ μάλιστα τοῖς διὰ πομφόλυγος καὶ στίμμεως καὶ μολύβδου κεκαυμένου.*

ΑΛΛΟ ΑΣΚΛΗΠΙΑΔΟΥ.

Εἰ δὲ τυλώδεις εἶεν αἱ ῥαγάδες, τὸ διὰ τῶν κεκαυμένων χάρτων ξηρὸν πολλῷ ῥοδίνῳ ἐκλύσας ἐπιτίθει διὰ μοτῶν, καὶ γὰρ ἐκτυλοῖ καὶ καθαίρει τὰ ἕλκη. εἰ δὲ μὴ φέρειεν τὴν δύναμιν αὐτῆς, ἴριν ἰλλυρικὴν τερεβινθίνῃ ἀναλαβὼν ἐπιτίθει.

Μετὰ τὴν ἀπούλωσιν τῶν ἑλκῶν. *Ἀπουλωθέντων δὲ τῶν ἑλκῶν χρῶ τῇ διὰ καδμίας ἀνιεμένῃ ἤ τινι τῶν ἑδρικῶν, ὥσπερ καὶ τῷ διὰ τῆς πεπλυμένης λιθαργύρου πρὸ βραχέος πρὸς τὰς ἐν μήτρᾳ καρκινώδεις διαθέσεις γραφέντι, καὶ τῷ πρὸς ῥαγάδας καὶ κονδυλώματα ἐν τοῖς γυναικείοις τόποις καὶ ἐν δακτυλίῳ τῷ οὕτως σκευαζομένῳ. στίμμεως, ἀκακίας, ἀνὰ δραχ. στ. ἀναλάμβανε καὶ χρῶ μετὰ γλυκέος. δέχεται δὲ*

---

5 ὅτι, ἀντὶ, τε B. ἔτι καὶ ὄντων A. 6 καταρραγούντων B. περὶ ἀλγήματα B. 7 „παρόντα τὰς ῥαγάδας ὑποπτὰς παρέχουσι καὶ σημειοῦται μὲν τοῦ κόλπου διευρυνομένου διαφαίνοται. „λανθάνουσι κλπ.“ ἡμ. ἠκολουθήσαμεν τῷ A. 17 τοῦ, ἀντὶ, τοῖς B. 20 ἄνευ, αἱ A. 25 ὅπερ, ἀντὶ, ὥσπερ B. ᾧπερ Γ. 26 τὰ B. 28 καὶ, ἀντὶ, τῷ B. „στίμμεος“ τὰ κείμ. „γλυκέως“ τὰ κείμ.

τοῦτο καὶ ταῦτα· ἀλόης, ὀπίου ἀνὰ δραχ. ιστ. στίμμεως δραχ. στ. σμύρνης δραχ. δ. λιβάνου, ἰοῦ ἀνὰ δραχ. β. οἴνῳ ἀναλάμβανε καὶ χρῶ μετὰ γλυκέος.

ΑΛΛΟ ΠΑΡΑΧΡΗΜΑ ΩΦΕΛΟΥΝ.

Στίμμεως, ἀκακίας, μολύβδου κεκαυμένου καὶ πεπλυμένου ἀνὰ δραχ. ιστ. σποδίου, πομφόλυγος πεπλυμένης ἀνὰ δραχ. η. ἐρείκης καρποῦ, στυπτηρίας σχιστῆς, χαλκάνθου, σμύρνης, λιβάνου, ὀπίου ἀνὰ δραχ. η. οἴνῳ λειώσας, ὡς κολλύριον ἀνάπλασσε, καὶ χρῶ μετὰ γλυκέος.

ΑΛΛΟ ΠΡΟΣ ΠΑΣΑΣ ΤΑΣ ΕΝ ΤΟΙΣ ΓΥΝΑΙΚΕΙΟΙΣ ΤΟΠΟΙΣ ΚΑΙ ΕΔΡΑ ΔΙΑΘΕΣΕΙΣ, ΚΑΤΑΣΤΕΛΛΟΝ ΚΑΙ ΤΑΣ ΑΙΜΟΡΡΟΙΔΑΣ.

Λιθαργύρου πεπλυμένου, ψιμμυθίου πεπλυμένου ἀνὰ δραχ. κε. πομφόλυγος πεπλυμένης δραχ, η. στίμμεως πεπλυμένου δραχ. ϑ. καδμίας πεπλυμένης δραχ. ε. οἴνου καὶ μυρσίνης ἐλαίου λια. κατὰ βραχὺ ἐπιβάλλων καὶ λειῶν φιλοπόνως· καὶ ὅταν ἑνωθῇ, ἀπόθου ἐν μολυβδίνῃ πυξίδι καὶ χρῶ ὡς μεγίστῳ φαρμάκῳ. προσβεβλήκαμεν δὲ καὶ ἡμεῖς, φησὶν Ἀσκληπιάδης, καὶ κηροῦ κυρηναϊκοῦ λια. καὶ χηνείου στέατος ὁμοίως. τινὲς δέ, φησί, καὶ μολιβδαίνης ἐμβάλλουσι δραχ. κ.

ΠΕΡΙ ΚΕΓΧΡΟΕΙΔΩΝ ΣΚΙΡΡΩΜΑΤΩΝ ΕΝ ΜΗΤΡΑ, ΑΣΠΑΣΙΑΣ.

ΚΕΦΑΛΑΙΟΝ ΡΚ΄.

Συμβαίνει περὶ τὸν τράχηλον ἢ τὸ στόμα τῆς μήτρας ἢ τὸ αἰδοῖον κεγχροειδῆ τινα ἐπαναστήματα γίγνεσθαι τῇ ἁφῇ ὑποπίπτοντα, μᾶλλον δὲ τῷ διοπτρισμῷ θεωρεῖται. ἐπιφέρει δὲ μάλιστα κατὰ τὰς παρατρίψεις τῆς συνουσίας φλεγμονὰς καὶ ἐμποδισμὸν τῶν καταμηνίων καὶ τῶν κυήσεων, ἐφ ὧν δεῖ τούτων κοιλίαν καθάραι, ἔπειτα ὀθονίῳ τὸν τόπον ἐκμάξαι, εἶτα βαλάνιον προστιθέναι, γεγονὸς ἐξ ἰσχάδων λιπαρῶν τοῦ ἐντὸς καὶ στυπτηρίας σχιστῆς, ἢ τὸν διὰ τῆς χολῆς καὶ στυπτηρίας πεσσόν, ἢ τοῖς τὰ φύματα συμπέττειν καὶ διαφορεῖν δυναμένοις φαρμάκοις

5 στιμμέος B. 7 ἐρίκης Γ. 8 ἄνευ, ἀνάπλασσε B. 12 „πεπλυμμένου κε." τὰ κείμ. ἡμ. τροποπ. καὶ προσθήκη „ἀνὰ δραχ. κε." Z. 14 μυρσινίνης B. 17 „κηροῦ καὶ" τὰ κείμ. ἡμ. ἀφηρ. τό „καὶ" Z. 24 ἄνευ, τῷ B. ἄνευ, δὲ A. 26 κνησέων B. δέ, ἀντί, δεῖ B. 29 ἄνευ, διὰ B. 30 „ἢ τοῖς κλτ." μέχρις „ὑδρομέλιτι" παραλ. B.

ΠΕΡΙ ΡΑΓΑΔΩΝ ΕΝ ΥΣΤΕΡΑ.

ΚΕΦΑΛΑΙΟΝ ΡΙΘ΄.

Ἐκ βιαίων τόκων διὰ μέγεθος τῆς κεφαλῆς τοῦ βρέφους αἱ ῥαγάδες συμβαίνουσι περὶ τὸ στόμα τῆς ὑστέρας· συνίστανται δὲ καὶ διὰ δριμύτητα τῶν ἐπιρρεόντων τε καὶ δακνόντων καὶ καταρρηγνύντων τοὺς τόπους. καὶ τὸ μὲν πρῶτον περιαλγήματος παρόντος λανθάνουσιν αἱ ῥαγάδες, ὡς τῶν πόνων προσφάτων τῇ κυήσει παραμενόντων, ὕστερον δὲ κατ' ὀλίγον αἴσθησις καὶ ἐπίνοια τῶν ἑλκῶν γίνεται. καὶ γὰρ πρὸς τὴν χειραψίαν διασημαίνουσιν αἱ ὀδύναι καὶ ἐν ταῖς συνουσίαις, ὅτε καὶ ἐφαιμάσσεται ἐκ παρατρίψεως τὰ ἕλκη, ἐλέγχεται δὲ μᾶλλον ὑπὸ τῆς διόπτρας· τοῦ γὰρ κόλπου διασταλέντος, αἱ ῥήξεις κύκλῳ τοῦ στομίου θεωροῦνται. Θεραπεία. *Χειρουργίαν μὲν οὖν καὶ πᾶσαν δηκτικὴν φαρμακείαν δεῖ φεύγειν ἐπὶ τῶν γυναικείων τόπων, φλεγμονὰς γὰρ τὰ τοιαῦτα καὶ σπασμοὺς ἐπιφέρει. χρῆσθαι δὲ τοῖς ἁπλουστέροις ἐγκαθίσμασι χρὴ καὶ πεσσοῖς τοῖς ἐπὶ τῶν ἑλκῶν προγεγραμμένοις, καὶ τοῖς ἑδρικοῖς πρὸς ῥαγάδας φαρμάκοις, καὶ μάλιστα τοῖς διὰ πομφόλυγος καὶ στίμμεως καὶ μολύβδου κεκαυμένου.*

ΑΛΛΟ ΑΣΚΛΗΠΙΑΔΟΥ.

Εἰ δὲ τυλώδεις εἶεν αἱ ῥαγάδες, τὸ διὰ τῶν κεκαυμένων χάρτων ξηρὸν πολλῷ ῥοδίνῳ ἐκλύσας ἐπιτίθει διὰ μοτῶν, καὶ γὰρ ἐκτυλοῖ καὶ καθαίρει τὰ ἕλκη. εἰ δὲ μὴ φέρειεν τὴν δύναμιν αὐτῆς, ἶριν ἰλλυρικὴν τερεβινθίνῃ ἀναλαβὼν ἐπιτίθει. Μετὰ τὴν ἀπούλωσιν τῶν ἑλκῶν. *Ἀπουλωθέντων δὲ τῶν ἑλκῶν χρῶ τῇ διὰ καδμίας ἀνιεμένῃ ἤ τινι τῶν ἑδρικῶν, ὥσπερ καὶ τῷ διὰ τῆς πεπλυμένης λιθαργύρου πρὸ βραχέος πρὸς τὰς ἐν μήτρᾳ καρκινώδεις διαθέσεις γραφέντι, καὶ τῷ πρὸς ῥαγάδας καὶ κονδυλώματα ἐν τοῖς γυναικείοις τόποις καὶ ἐν δακτυλίῳ τῷ οὕτως σκευαζομένῳ. στίμμεως, ἀκακίας, ἀνὰ δραχ. στ. ἀναλάμβανε καὶ χρῶ μετὰ γλυκέος. δέχεται δὲ*

5 ὅτι, ἀντὶ, τε *B*. ἔτι καὶ ὄντων *A*. 6 καταρραγούντων *B*. περὶ ἀλγήματα *B*. 7 „παρόντα τὰς ῥαγάδας ὑποπτὰς παρέχουσι καὶ σημειοῦται μὲν τοῦ κόλπου διευρυνομένου διαφαίνοται. „λανθάνουσι κλπ.“ ἡμ. ἠκολουθήσαμεν τῷ *A*. 17 τοῦ, ἀντὶ, τοῖς *B*. 20 ἄνευ, αἱ *A*. 25 ὅπερ, ἀντὶ, ὥσπερ *B*. ᾧπερ *Γ*. 26 τὰ *B*. 28 καὶ, ἀντὶ, τῷ *B*. „στίμμεος“ τὰ κείμ. „γλυκέως“ τὰ κείμ.

τοῦτο καὶ ταῦτα· ἀλόης, ὀπίου ἀνὰ δραχ. ιστ. στίμμεως δραχ. στ. σμύρνης δραχ. δ. λιβάνου, ἰοῦ ἀνὰ δραχ. β. οἴνῳ ἀναλάμβανε καὶ χρῶ μετὰ γλυκέος.

ΑΛΛΟ ΠΑΡΑΧΡΗΜΑ ΩΦΕΛΟΥΝ.

Στίμμεως, ἀκακίας, μολύβδου κεκαυμένου καὶ πεπλυμένου ἀνὰ δραχ. ιστ. σποδίου, πομφόλυγος πεπλυμένης ἀνὰ δραχ. η. ἐρείκης καρποῦ, στυπτηρίας σχιστῆς, χαλκάνθου, σμύρνης, λιβάνου, ὀπίου ἀνὰ δραχ. η. οἴνῳ λειώσας, ὡς κολλύριον ἀνάπλασσε, καὶ χρῶ μετὰ γλυκέος.

ΑΛΛΟ ΠΡΟΣ ΠΑΣΑΣ ΤΑΣ ΕΝ ΤΟΙΣ ΓΥΝΑΙΚΕΙΟΙΣ ΤΟΠΟΙΣ ΚΑΙ ΕΔΡΑ ΔΙΑΘΕΣΕΙΣ, ΚΑΤΑΣΤΕΛΛΟΝ ΚΑΙ ΤΑΣ ΑΙΜΟΡΡΟΙΔΑΣ.

Λιθαργύρου πεπλυμένου, ψιμμυθίου πεπλυμένου ἀνὰ δραχ. κε. πομφόλυγος πεπλυμένης δραχ, η. στίμμεως πεπλυμένου δραχ. ϑ. καδμίας πεπλυμένης δραχ. ε. οἴνου καὶ μυρσίνης ἐλαίου λια. κατὰ βραχὺ ἐπιβάλλων καὶ λειῶν φιλοπόνως· καὶ ὅταν ἑνωθῇ, ἀπόθου ἐν μολυβδίνῃ πυξίδι καὶ χρῶ ὡς μεγίστῳ φαρμάκῳ. προσβεβλήκαμεν δὲ καὶ ἡμεῖς, φησὶν Ἀσκληπιάδης, καὶ κηροῦ κυρηναϊκοῦ λια. καὶ χηνείου στέατος ὁμοίως. τινὲς δέ, φησί, καὶ μολιβδαίνης ἐμβάλλουσι δραχ. κ.

ΠΕΡΙ ΚΕΓΧΡΟΕΙΔΩΝ ΣΚΙΡΡΩΜΑΤΩΝ ΕΝ ΜΗΤΡΑ, ΑΣΠΑΣΙΑΣ.

ΚΕΦΑΛΑΙΟΝ ΡΚʹ.

Συμβαίνει περὶ τὸν τράχηλον ἢ τὸ στόμα τῆς μήτρας ἢ τὸ αἰδοῖον κεγχροειδῆ τινα ἐπαναστήματα γίγνεσθαι τῇ ἀφῇ ὑποπίπτοντα, μᾶλλον δὲ τῷ διοπτρισμῷ θεωρεῖται. ἐπιφέρει δὲ μάλιστα κατὰ τὰς παρατρίψεις τῆς συνουσίας φλεγμονὰς καὶ ἐμποδισμὸν τῶν καταμηνίων καὶ τῶν κυήσεων, ἐφ᾽ ὧν δεῖ τούτων κοιλίαν καθᾶραι, ἔπειτα ὀθονίῳ τὸν τόπον ἐκμάξαι, εἶτ [illegible] προστιθέναι, γεγονὸς ἐξ ἰσχάδων λιπαρῶν τοῦ ἐντὶ [illegible] στυπτηρίας σχιστῆς, ἢ τὸν διὰ τῆς χολῆς καὶ στυπτ[illegible]ων, ἢ τοῖς τὰ φύματα συμπέττειν καὶ διαφορεῖν δυ[illegible]μένοις

5 στιμμέος B. 7 ἐρίκης Γ. 8 ἄνευ, ἀνάπλασσε P [illegible] κε." τὰ κείμ. ἡμ. τροποπ. καὶ προσθήκη „ἀνὰ δραχ. κε" [illegible] B. 17 „κηροῦ καὶ" τὰ κείμ. ἡμ. ἀφῃρ. τό „καὶ" Z. [illegible] δὲ Δ. 26 κνησέων B. δέ, ἀντί, δεῖ B. 29 ἄνευ, ἐν [illegible] „ὑδρομέλιτι" παραλ. B.

διαχρίειν, ἐγκλύζειν δὲ ὑδρομέλιτι ἐναφεψηθέντι τινὶ τῶν ἀρωμάτων.

ΠΕΡΙ ΨΩΡΟΕΙΔΩΝ ΕΞΑΝΘΗΜΑΤΩΝ ΕΝ ΥΣΤΕΡΑ.

ΚΕΦΑΛΑΙΟΝ ΡΚΑ΄.

Γίνεται δὲ καὶ ψωροειδῆ ἐξανθήματα περὶ τὸ αἰδοῖον καὶ τὸ στόμα τῆς μήτρας, ὡς λεπίδας πιτυρώδεις ἀποβάλλεσθαι· ἐπιφέρει δὲ κνησμὸν, καὶ ἥδεται τῇ τοῦ θερμοῦ ὕδατος προσαγωγῇ. ἐπὶ τούτων ἁρμόζει κάθαρσις δι' ὀνείου γάλακτος, καὶ ἔμετοι ἀπὸ δείπνου, ἀφιδρώσεις ἐν βαλανείῳ καὶ ἐμβάσεις εἰς θερμὸν ὕδωρ, καὶ κλυσμὸς δι' οἴνου θερμοῦ μετὰ νίτρου, ἢ τρυγὸς οἴνου κεκαυμένης· μετὰ δὲ ταῦτα θερμῷ ὕδατι καταχρίειν τοὺς τόπους, ἢ λυκίῳ ἰνδικῷ, ἢ ἀμόργῃ, ἢ βουτύρῳ μετὰ θείου, ἢ κηρωτῇ μυρσινίνῃ μετὰ λιθαργύρου, ἢ στυπτηρίᾳ μετὰ μέλιτος, ἢ σιδίοις μετὰ μυρσίνης καὶ μέλιτος. ἀποσπᾷ δὲ λεπίδας καὶ μυρμηκίας κυκλαμίνου ῥίζα λεία μετὰ μέλιτος διαχριομένη, παραιτεῖσθαι δὲ χρὴ πᾶν δριμὺ καὶ ἁλικὸν καὶ ὀξῶδες ἐν τροφαῖς.

ΠΕΡΙ ΑΠΟΣΤΗΜΑΤΟΣ ΕΝ ΤΟΙΣ ΠΤΕΡΥΓΩΜΑΣΙ.

ΚΕΦΑΛΑΙΟΝ ΡΚΒ.

Εἰ δὲ ἀπόστημα ποτὲ κατά τι τῶν πτερυγωμάτων γένηται, τὰ μὲν πρὸς τὴν ἕδραν αὐτῶν περιαιρετέον, ἐκ γὰρ τῶν ἀπλοτομιῶν ῥᾳδίως συριγγοῦνται στολιδώδη ὑπάρχοντα, τὰ δὲ ἀνωτέρω πρὸς τῇ οὐρήθρᾳ ἀπλοτομητέον.

ΠΡΟΣ ΕΞΟΜΦΑΛΟΥΣ ΓΥΝΑΙΚΑΣ.

ΚΕΦΑΛΑΙΟΝ ΡΚΓ.

Ἀμμωνιακὸν οἴνῳ ὀλίγῳ λεάνας καὶ κύμινον ὀλίγον ἐπιβαλὼν, ἀναλάμβανε καὶ ἐπιτίθει καὶ ἐπίδησον. Ἄλλο. Βούφθαλμον λειώσας μετὰ συκαμίνου ὀποῦ, ἐπιτίθει καὶ ἐπίδησον. Ἄλλο. Ἀσφάλτου δραχ. ιβ. ἰσχάδων λιπαρῶν τῆς σαρκὸς τὸ ἴσον. λεάνας χωρὶς ἕκαστον καὶ λειώσας ἅμα, ἐπιτίθει καὶ ἐπίδησον.

Ἄλλο. Ἄλλο.

---

3 ψωρωειδῶν *B.* 8 τούτων γὰρ *B.* 11 „θερμοῦ ὕδατος" τὰ κείμ. ἡμ. τροπ. „θερμῷ ὕδατι" *Z.* 12 ἀμοργῇ *B.* 13 στυπτηρίας *BΓ.* στρογγύλης μετὰ *A.* ἢ μετὰ *Γ.* 20 ἄνευ, τὰ μὲν *B.* ἀπλοτομίων *A.* 22 ἀποτομητέον *A.* 27 λειῶσας *B.* ἐπίδηλον *B.* 28 ἄσφαλτος *B.* ἶσον *A.*

ΠΡΟΣ ΤΟ ΜΗ ΠΟΙΕΙΝ ΚΟΙΛΙΑΝ ΡΑΓΑΔΑΣ ΚΑΙ ΜΕΛΑΝΙΑΣ ΕΚ ΤΟΚΕΤΟΥ, ΑΣΠΑΣΙΑΣ.

ΚΕΦΑΛΑΙΟΝ ΡΚΔ.

Ἀμίαντον καὶ ἀφρόνιτρον λευκὸν τρίψας εὖ μάλα κατάπασσε, καὶ οὐ ῥυτιδωθήσεται ἡ κοιλία. χρῶ δὲ καὶ ἐν βαλανείῳ, καὶ χωρὶς βαλανείου. Ἄλλο. Ναρκίσσου βολβοὺς λελεπισμένους κατάταμε, καὶ ἔα ξηρανθῆναι ἐν σκιᾷ, εἶτα ἐκ τούτων λαβὼν δραχ. η. στρουθίου ῥίζης κεκομμένης, πτισάνης ἀλεύρου, κυμίνου ἀλεύρου μάλιστα αἰγυπτίου, ἀνὰ γοι ἤτοι οὐγ. ι. βρυωνίας ῥίζης,[1] ἄρου ῥίζης, σικύου ἀγρίου ῥίζης, κόστου ἀνὰ γοδ ἤτοι οὐγ. δ. κόψας καὶ σήσας δίδου καταπάσσειν, καὶ σμήχειν τὴν κοιλίαν προσμιξάμενον ὀροβίνῳ, εἶτα τούτῳ κατάπαττε καὶ σμῆχε· οὐ γὰρ συγχωρεῖ ῥαγάδας γενέσθαι, ἀλλὰ καὶ τὰς ἤδη γενομένας ἀφαιρεῖ, αἴρει δὲ καὶ σπίλους καὶ μελανίας καὶ τὰς ἐν τῇ ὄψει ὅλου τοῦ σώματος. Ἐπὶ μὲν οὖν τῶν τετοκυιῶν τὸ ἔλαιον ἀκριβῶς ἀπομάσσων καὶ εἰς χάρτην ἐπιπάσσας, κόλλησον τῇ κοιλίᾳ καὶ φασκίωσον, καὶ ἔασον ἡμέρας δ. μετὰ δὲ ταῦτα ἐν βαλανείῳ ἀπόμασον αὐτῷ ὅλον τὸ σῶμα, καὶ πᾶσαν τὴν μελανίαν αἴρεις καὶ τὰς ῥαγάδας.

Ἄλλο

Ἐπὶ τε τετοκυι

ΑΛΛΟ ΠΡΟΣ ΤΑΣ ΕΚ ΤΟΚΕΤΟΥ ΜΕΛΑΝΘΕΙΣΑΣ ΚΟΙΛΙΑΣ.

Ὀστρέων κεκαυμένων μέρος α. κυμίνου ἀλεύρου μάλιστα αἰγυπτίου β. χρῶ ἐν βαλανείῳ. Ἄλλο. Μελανθίου καὶ νίτρου ἴσα ὕδατι λεάνας, ὡς ἔχειν γλοιοῦ πάχος, χρῶ. Ἄλλο. Σκίλλης κεκαυμένης δραχ. η. κέρατος ἐλαφείου κεκαυμένου, στυπτηρίας σχιστῆς, ἁλῶν καππαδοκικῶν, σμύρνης στακτῆς, μέλιτος ἀνὰ δραχ. β. ἀλεύρου κριθίνου δραχ. ιδ. μέλιτι ἑφθῷ πρὸς τὴν

Ἄλλο

Ἄλλο

---

4 *ἀδίαντον*[2] *ΒΑ* (ὅρ. σημείωσ.). 7 *κατάτεμε ΑΒ.* 8 „*πτισσάνης*“ *τὰ κείμ. Ζ.* 12 *ὀροβίνον Β.* 15 *τετοκηῶν Β. τῶν ἐλαίων Β. τῷ ἐλαίῳ Α.* 16 *χάρταν Β. ἐπιπάσας Β.* 17 *φασκιῶσον Β. ἐν τῷ Α.* 18 *ἀπομάσον Β. ἀπόμασσον ΑΓ. ἡμ.* „*ἀπόμασον*“ *Ζ. οἷον, ἀντί, ὅλον Β.* 23 *ἶσα Α. σκύλλης Β.* 26 *ἀπέφθῳ Β.*

---

[1] *Φύλλον . . . οἱ δὲ βρυωνίαν . . . τὸ μὲν θηλυγόνον . . . τὸ δὲ ἀρρενογόνον . . . λέγεται δὲ τὸ μὲν ἀρρενογόνον ποθὲν ἀρρενοτοκεῖν τὸ δὲ θηλυγόνον θηλυτοκεῖν. Ἱστορεῖ περὶ τούτων Κρατεύας. Διοσκ.* I. *βιβλ.* 3*ον* 472.

[2] *Ἀδίαντον καλεῖται τὸ καλλίτριχον ὅπερ πολύτριχον καὶ καλλίφυλλον καλοῦσί τινες, λατιν.* Callitricos. *Ζ.*

χρείαν ἀναλαβὼν καὶ εἰς ῥάκος ἐμπλάσας, ἐπιτίθει τῇ κοιλίᾳ ἐπὶ ἡμέρας ζ. τῇ δὲ ὀγδόῃ λοῦε καὶ πάλιν ἐπιτίθει ἡμέρας ζ.

ΣΜΗΓΜΑ ΤΗΣ ΟΨΕΩΣ ΚΑΙ ΤΟΥ ΛΟΙΠΟΥ ΣΩΜΑΤΟΣ.

Κίκεως, κροτώνων, ναρκίσσου βολβῶν λελεπισμένων ξηρῶν, ἀνὰ δραχ. η. σεμιδάλεως δραχ. δ. λιβάνου δραχ. β. ὠῶν β τὰ λευκὰ ἑνώσας χρῶ.

ΣΜΗΓΜΑ ΕΝΕΡΓΕΣ.

Σχίνου ἄνθους, ἴρεως ἀνὰ δραχ. β. μαστίχης δραχ. α. λειώσας ἀναλάμβανε χυλῷ πτισάνης, καὶ ποίει τροχίσκους· ἐπὶ δὲ τῆς χρείας ἀνέσας ὕδατι κατάχριε, καὶ διαστήσας ἀπόνιπτε ὕδατι ψυχρῷ.

ΑΛΛΟ ΣΜΗΓΜΑ ΠΡΟΣ ΡΥΤΙΔΩΣΙΝ ΣΩΜΑΤΟΣ ΕΚ ΤΩΝ ΡΟΥΦΟΥ.

Τούτῳ συνεχῶς σμηχόμενον τὸ ῥυσσὸν σῶμα παρατείνεται, ὃ καὶ ἔχει οὕτως· ἰσχάδας λιπαρὰς, βρυωνίας ῥίζαν, ὀρόβινον ἄλευρον, σηπίας ὄστρακον κεκαυμένον· ἕκαστον λειότατον ποιήσας, ἔπειτα κόπτων ἐν ὅλμῳ τὰς ἰσχάδας, ἐπίσταζε μέλι βραχὺ καὶ ἐπίπασσε τὰ λοιπὰ, καὶ ἑνώσας χρῶ ἐν βαλανείῳ.

ΤΡΙΜΜΑ ΠΡΟΣ ΜΕΛΑΝΙΑΝ ΠΡΟΣΩΠΟΥ ΔΙΑ ΠΟΛΛΗΣ ΠΕΙΡΑΣ.

Λιβάνου γοαζ. ἤτοι οὐγ. α καὶ ἡμίσ. ψιμμυθίου πεπλυμένου, λιθαργύρου πεπλυμένου, ἀμύλου, μαρμάρου ἀπὸ Προκοννήσου λευκοῦ πρίσματος ἢ ῥινίσματος, μαστίχης, ἀφρονίτρου λευκοῦ, σηπίας ὀστράκου ἀνὰ γοα. σάπωνος γαληνικοῦ γοβ. ὠῶν ι τὰ λευκὰ ἀναλάμβανε τῷ σάπωνι, καὶ διαλυθέντων χρῶ ὡς βούλει.

ΝΙΜΜΑ ΘΑΥΜΑΣΙΟΝ ΑΠΟΚΑΘΑΙΡΟΝ ΤΗΝ ΟΨΙΝ ΚΑΙ ΛΑΜΠΡΥΝΟΝ.

ΚΕΦΑΛΑΙΟΝ ΡΚΕ΄.

Τηλίνου ἀλεύρου, ἀμύλου, τραγακάνθης ἀνὰ γοδ. γῆς ἀστέρος,[1] ἀμμωνιακοῦ θυμιάματος, ἀνὰ γογ. μαστίχης, μυελοῦ ἐλαφείου

---

2 ὀρδοῖ, ἀντὶ, ὀγδόῃ *Β*. 3 σμήγματα *Α*. 4 κικέας *Α*. καὶ κίσσου *Β*. 10 ἐπάνιπτε *Β*. 13 „ρησσὸν" τὰ κείμ. „ῥυσσὸν" *Ζ*. 14 ὁ *Β*. 14 „βρυονίας" τὰ κείμ. „βρυωνίας" *Ζ*. 16 κόπτον *Β*. ὄγκῳ *Β*. ἄνευ, μέλι *Β*. 21 πρισμάτων *Β*. 22 γαλικοῦ *Α*. γαλλικοῦ *Β*. 27 τραγακάνθας *Β*.

---

[1] Ἀστὴρ· εἶδος σαμίας γῆς· ὅρα πλείονα Διοσκ. 5, 171.

προσφάτου, ἀνὰ γοδ. γάλακτι ἀπόβρεχε τὴν τραγάκανθαν, καὶ λεάνας ἐπίπασσε τὰ λοιπὰ λειότατα, καὶ ἀναλαβὼν τροχίσκους ξήραινε ἐν σκιᾷ καὶ χρῶ. Χρῶ δὲ καὶ τοῖς προγεγραμμένοις σμήγμασιν ἐν τῷ ὀγδόῳ λόγῳ, ἐν ᾧ καὶ πρὸς τὰς τῶν μασχαλῶν δυσωδίας εὑρήσεις γεγραμμένα καὶ πρὸς τὰς τοῦ στόματος δυσωδίας.

ΣΚΕΥΑΣΙΑΙ ΜΥΡΩΝ, ΜΟΣΧΑΤΩΝ, ΚΟΝΔΙΤΩΝ, ΟΙΝΑΝΘΑΡΙΩΝ, ΘΥΜΙΑΜΑΤΩΝ ΚΑΙ ΕΤΕΡΩΝ ΤΙΝΩΝ ΜΥΡΕΨΙΚΩΝ.

ΞΗΡΟΦΡΥΚΤΟΝ Ο ΚΑΛΟΥΣΙ ΒΕΡΕΘΡΙΑΣ.

ΚΕΦΑΛΑΙΟΝ ΡΚΣΤ'.

Ἀρναβῶ, ἀμώμου, ναρδοστάχυος ἀνὰ γογ. φύλλου στύρακος ὁμοίως. κρόκου, καρυοφύλλων ἀνὰ γοαζ'. ὀποβαλσάμου γοστ. ῥόδων χλωρῶν γοκστ ἤτοι οὐγ. κστ.

ΑΛΛΟ ΜΟΣΧΑΤΟΝ.

Φύλλων κασίας, κρόκου, στύρακος, ἀρναβῶ, ἀμώμου, ναρδοστάχυος ἀνὰ γοαζ'. καρυοφύλλων δραχ. δ. μόσχου γράμματα γ. ὀποβαλσάμου γοα· ἐλαίου ἰνδικοῦ ἢ ἑτέρου γογ. ῥόδων ξηρῶν γοβ ἢ χλωρῶν γοδ.

ΣΚΕΥΑΣΙΑ ΑΡΑΒΙΚΩΝ Η ΛΑΙΩΝ.

Μασσουαφίου, καρυοφύλλων, κόστου, ἀνὰ γοβ. φύλλων ναρδοστάχυος, ῥόδων χυλοῦ, ἀνὰ γράμματα ιβ. ἀμώμου, στύρακος, ἀνὰ γοα. κόμμεως γοβ. κόψας καὶ σήσας τὰ ξηρὰ καὶ βρέξας τὸ κόμμι, ἔπειτα ὁλμοκοπήσας τὸν στύρακα καὶ ἑνώσας αὐτῷ τὰ ξηρὰ καλῶς, ἐπίβαλλε τὸ κόμμι καὶ ἀναλάμβανε τροχίσκους στρογγύλους ἔχοντας μέγεθος ἐρεβίνθου βεβρεγμένου, καὶ βελόνῃ διατρήσας καὶ διάρας σπαρτίῳ ἰσχυρῷ ξήραινε, καὶ δίδου φορεῖν περὶ τὸν τράχηλον.

---

1 προσφατὸς Β. 5 ἄνευ, δυσωδίας Β. 7 σκευασία Γ. 11 ἀναρβῶ Β. 15 μαλαβάθρου[1] φύλλων, Β 16 ἀμμωνιακοῦ, ἀμώμου Β. 18 ῥοδῶν Β. 19 Ἠλεὼν Φ. 20 μασοῦ ἀφίου Α. ἄνευ, φύλλων Β. 22 κόμμεος Α. 23 ὁλμοκοπήσας Α.

[1] Μαλάβαθρον καὶ μαλόβαθρον, κατὰ δὲ τὸν Διοσκορίδην (1, 11) καὶ φύλλον ἰνδικὸν ἐκαλεῖτο, λατ. malobatrou. Ζερβ.

ΡΟΔΑΤΟΝ ΞΗΡΟΜΥΡΟΝ.

ΚΕΦΑΛΑΙΟΝ ΡΚΖʹ.

Ῥόδων ξηρῶν λίτρ. α. κόστοι, φύλλου, καρυοφύλλων, ὕπνου, καλάμου ἀρωματικοῦ, ὀνύχων, στύρακος ἀνὰ γοβ. Ἄλλο ξηρόμυρον. Φύλλων ῥόδων ξηρῶν, ἀμώμου, κόστου, καρυοφύλλων, ναρδοστάχυος, χυλοῦ ἀρναβῶ, κρόκου, ἀνὰ γοα. ὕπνου, στύρακος, ὀποβαλσάμου ἀνὰ δραχ. δ. Ἄλλο ξηρόμυρον φρυκτόν. Ῥόδων λιτ. γ. ὕπνου λίτ. α. ῥάκους ξηροῦ γοστ. ὀνύχων γοα.

Ἄλλο ξηρόμυρον.

ΑΛΛΟ ΞΗΡΟΜΥΡΟΝ ΤΟ ΚΑΛΟΥΜΕΝΟΝ ΛΕΥΚΟΦΥΛΛΟΝ, Ω ΧΡΩΝΤΑΙ ΕΙΣ ΤΟΥΣ ΤΡΑΧΗΛΟΥΣ ΚΑΙ ΕΠΙ ΤΑΣ ΜΑΣΧΑΛΑΣ.

ΚΕΦΑΛΑΙΟΝ ΡΚΗʹ.

Γῆς σαμίας λίτ. α. στύρακος, φύλλου, ὀποβαλσάμου, ἀνὰ γοβ. τὸν στύρακα λείου μετὰ τοῦ ὀποβαλσάμου, τὸ δὲ φύλλον κόψας καὶ σήσας, εἶτα ἑνώσας πάντα ἐν τῇ θυίᾳ καλῶς, μίξον αὐτῷ χυλοῦ ῥόδων τὸ ἀρκοῦν καὶ χρῶ.

ΥΓΡΟΜΥΡΟΥ ΣΚΕΥΑΣΙΑ Ω ΧΡΩΝΤΑΙ ΕΙΣ ΤΑ ΩΤΑ ΓΥΝΑΙΚΕΣ.

ΚΕΦΑΛΑΙΟΝ ΡΚΘʹ.

Φύλλου, ναρδοστάχυος χυλοῦ, μαστίχης, καρυοφύλλου ἀνὰ γοα γράμματα ιβ. στύρακος λιπαροῦ, ὀποβαλσάμου ἀνὰ γοβ. κρόκου γράμματα στ. μόσχου γράμμα α. ἐλαίου σαλκᾶ πρωτείου γοδ.

ΕΛΑΙΟΥ ΣΑΛΚΑ ΣΚΕΥΑΣΙΑ ΠΟΛΥΤΕΛΗΣ.

ΚΕΦΑΛΑΙΟΝ ΡΛʹ.

πρώτη ἕψησις.

Ἐλαίου ὀμφακίνου ξστκ ἤτοι ξέστ. κ. ἴρεως ἰλλυρικῆς λίτ. α. ἀμώμου γοστ ἤτοι οὐγ. στ. ἀσπαλάθου, ὕπνου ἀνὰ λίτ. α.

δευτέρα ἕψησις.

Καλάμου ἅλου λίτ. β. καρυοφύλλων, φύλλου, καρποβαλσάμου, ἀνὰ λίτ. α. ξυλοκασίας γοε.

---

3 *φύλλων Α.* 4 *καλάμους Β.* 10 *ἄνευ, ἄλλο Β.* 18 *ἄνευ, μασουαφίου Α. μασουαψίου Β. φύλλα Α.* 20 *„ἑλικοῦ“ Α. „σαλκᾶ“ διωρθομένον εἰς τὸ περιθ.* 23 *ἄνευ, πρώτη ἕψησις Α. ἑψήσας Β.* 27 *ἄλλου ΒΓ.* 28 *ξυλοκασσίας ΒΓ.*

τρίτη ἕψησις.

Κασίας γοδ. κόστου, στύρακος λιπαροῦ, κρόκου, ἀνὰ γοα. σμύρνης, ἀρναβῶ, ἀνὰ γογ. ναρδοστάχυος γοδ. ὕδατι ἕψε. ὁ δὲ τρόπος τῆς σκευασίας εἴρηται ἐν τῷ α λόγῳ περὶ τῆς τῶν ἐλαίων συνθέσεως, ἔνθα ἔχεις γεγραμμένην ἑτέραν γραφὴν καλλίστην ἐλαίου σαλκᾶ καὶ νάρδου μύρου σκευασίαν.

ΥΓΡΟΜΥΡΟΥ ΣΚΕΥΑΣΙΑ.

Ἐλαίου σαλκᾶ λίτ. β. ὀποβαλσάμου λίτ. α. ναρδοστάχυος, φύλλων, ἀνὰ γοδ. καρποβαλσάμου, ἀρναβῶ, ἀμώμου, ἀλόης ἀνὰ γοβ. ἄμβαρος γοα. μαστίχης, μόσχου, ἀνὰ γράμματα στ. εἰ δὲ παρείη καὶ καφουρὰ βάλλε γοβ. τούτῳ χρῶνται εἰς τὰς μασχάλας καὶ διὰ κροκίδος ἐντιθέασι τοῖς ὠσί.

ΛΕΥΚΟΦΥΛΛΟΥ ΣΚΕΥΑΣΙΑ ΗΤΟΙ ΞΗΡΟΜΥΡΟΥ ΛΕΥΚΟΥ.

Σπεκλαρίου κεκομμένου λιτ. α. φύλλου, ναρδοστάχυος, καρυοφύλλου, ἀνὰ γράμματα στ. σανδαράχης γράμματα ιβ. μόσχου κέγχρους γ.

ΦΟΥΛΙΑΤΟΥ[1] ΣΚΕΥΑΣΙΑ.

ΚΕΦΑΛΑΙΟΝ ΡΛΑ'.

Ὀποβαλσάμου λίτ. α. στύρακος, ἀμώμου ἀνὰ γογ. κασίας γοδ. κρίνα τὸν ἀριθμὸν κ. λέαινε ἅμα καὶ χρῶ. εἰ δὲ παχύτερον εἴη, ἔκλυε αὐτὸ μύρῳ σαλκᾶ.

ἄλλη γραφὴ φουλιάτου.

Κηροῦ λιτ. α. νάρδου κυζικηνικοῦ λίτ. γ. πίσσης βρυτίας γοε. λαδάνου γοα. στύρακος λιπαροῦ γογ. κόστου, κασίας ἀνὰ γοβ. καρδαμώμου, φύλλου ἀνὰ γοα. ναρδοστάχυος γοα. τὸ ζ'. ἤτοι τὸ ἥμισ. κρόκου, οἴνου ἀμιναίου[2] ἀνὰ γοα. ὀποβαλσάμου γογ.

---

3 ἑψήσας Α. 4 αὐτῷ Β. 6 „σαλκὰ" τὰ κείμ. Ζ. 8 ναρδοστάχυος φύλλα ΒΓ. 9 ἀλοῆς χυλοῦ Β. 10 „ἀμβαρίου" τὰ κείμ. Ζ. 11 παρήει Β. καμφουρὰ Α. τοῦτο Β. 12 κροκύδος Β. ἐντίθεσι Β. 16 ἄνευ, κέγχρους ΒΓ. 19 ἄνευ, ἀμώμου Β. 23 κυζικὴς Α. „κηζυνικοῦ" τὰ λοιπ. κείμ. ἡμ. διόρθ. „κυζικηνικοῦ" Ζερβ. 25 „καρδαμώμου φύλλου" τὰ κείμ. ἡμ. διόρθ. Ζερβ.

---

[1] Φουλίατον καλεῖται τὸ κοιν. χρίσμα, λατ. foliatum. Ζ.

[2] Ἀμιναῖος οἶνος καλεῖται ὁ ἐξ ἀμιναίας σταφυλῆς παραγόμενος· ἀμινιὸς δὲ εἶδος ἀμπέλου ὠνομάζετο, οὐ μὴν καὶ ἡ Πευκετία χώρα προσηγορεύετο Ἀμιναία. Ζερβ.

ΕΚ ΤΩΝ ΟΡΕΙΒΑΣΙΟΥ ΦΟΥΛΙΑΤΟΥ ΣΚΕΥΑΣΙΑ.

Κασίας γοστ. φύλλου γογ. ἀμώμου, λαδάνου ἀνὰ γοα. πεπέρεως κόκκους μ. σμύρνης τρωγλίτιδος[1] *γοα. νάρδου μύρου λίτ. α. κόψας καὶ σήσας λεπτοτάτῳ κοσκίνῳ λείου πάλιν ἐν ἑτέρῳ ἐπιμελῶς, καὶ ἐπίβαλλε τὴν νάρδον καὶ πάλιν λείου ἐπιμελῶς. πρὸς δὲ τὸ μελάντερον γενέσθαι τὸ φάρμακον, καρύων βασιλικῶν λέπη καύσας καὶ τρίψας ἐν θυίᾳ ἕνωσον, πρόσμιγε δὲ καὶ ὀποβαλσάμου κοχλιάρια γ. καὶ χρῶ πολυτελεστάτῳ μύρῳ καὶ πρὸς παρέσεις.*

ΣΠΕΚΑΤΟΥ ΣΚΕΥΑΣΙΑ.

ΚΕΦΑΛΑΙΟΝ ΡΛΒʹ.

Ἀμώμου γοβ. σμύρνης τρωγλίτιδος, κόστου ἀνὰ γοα. φύλλου, κασίας, φυλλίνου μύρου ἢ σαλκᾶ ἀνὰ γογ. ναρδοστάχυος γοα. νάρδου κελτικῆς γοδ. ναρδίνου μύρου γοστ. κηροῦ λευκοῦ τὸ ἀρκοῦν, ὥστε σύστασιν ὑγροτέραν ἔχειν· ὀποβαλσάμου γογ.

ΟΙΝΑΝΘΑΡΙΟΥ ΣΚΕΥΑΣΙΑ.

ΚΕΦΑΛΑΙΟΝ ΡΛΓʹ.

Κόστου γοβ. κασίας, καρποβαλσάμου, ναρδοστάχυος ἀνὰ γοα. ἀμώμου γοε. νάρδου κελτικῆς γοδ. μύρου γοστ. φυλλίνου μύρου ἢ σαλκᾶ γογ. κηροῦ λευκοῦ τὸ ἀρκοῦν, ὥστε σύστασιν ὑγροτέραν ἔχειν· ὀποβαλσάμου γογ.

ΕΤΕΡΑ ΟΙΝΑΝΘΑΡΙΟΥ ΣΚΕΥΑΣΙΑ.

Κόστου γοβ. κασίας, καρποβαλσάμου, μασσουαφίου, σμύρνης ἀνὰ γοα. ἀμώμου γοε. ναρδοστάχυος, στύρακος, ἀνὰ γοδ. καρυοφύλλου γοαζʹ. ὀποβαλσάμου γοστ. κρίνα τὸν ἀριθμὸν μ. οἴνου εὐώδους στύφοντος ξστιβ ἤτοι ξέστ. ιβ. ἁλῶν καππαδοκικῶν γοβ.

---

3 *τρογλυτίδος ΒΓ. τρωγλυτίδος Α. ἡμ. διόρθ. „τρωγλίτιδος“ Ζ.* 7 *ἑνῶσον Β. τε, ἀντὶ, δὲ Β.* 23 *μαστοῦ ἀφίου Α.*

---

[1] *Σμύρνα δάκρυόν ἐστι, φησὶν Διοσκ. ὁ Ἀναζ.* I. *α.* 80, *δένδρου γεννωμένου ἐν Ἀραβίᾳ . . . μαλάσσει δὲ καὶ μήτραν μεμυκυῖαν καὶ ἀναστομοῖ· ἄγει δὲ καὶ ἔμμηνα καὶ ἔμβρυα συντόμως“. Εἶδος ταύτης ἡ τρωγλῖτις σμύρνα, οὕτω καλουμένη ἐκ τοῦ εἰς τρώγλας ἤτοι κοιλότητας ἐν ἀμμώδεσι τόποις ἐκφύεσθαι καὶ θάλλειν. κοινῶς τρογλοδῦτις καλουμένη. λατ.* **troglidis. Myhrrae.** *Ζερβ.*

Τὰ κρίνα ἀποφυλλίσας καὶ ἐκμάξας καθαρῶς ἅπαν τὸ ἐν αὐτοῖς κροκῶδες, ψύχε ἐν σκιᾷ ἐν σινδόνι καθαρᾷ ἡμέραν καὶ νύκτα, ὥστε μαρανθῆναι· εἶτα κόψας καὶ σήσας τὰ ξηρά, καὶ λεάνας τὴν σμύρναν μετ' οἴνου ἐν θυίᾳ, εἶτα ἐπιβαλὼν καὶ τὰ ξηρὰ πάντα καὶ διαλύσας τῷ οἴνῳ, τὸν δὲ στύρακα εἰς λεπτότατα τοῖς δακτύλοις διαμερίσας ἐπίβαλλε αὐτοῖς, καὶ ἐνώσας αὐτὰ ἐπίχεε τῷ ὀποβαλσάμῳ. ἐνωθέντων δὲ ἱκανῶς, τὰ φύλλα τῶν κρίνων ἐμβαλὼν ἐν τῇ θυίᾳ καὶ ἀναφυρῶν ταῖς χερσὶν, ἀναλάμβανε τοῖς κρίνοις τὰ λειωθέντα, καὶ ἐμβαλὼν ἐν βικίῳ[1] ἀνατάρασσε, καὶ τὸν οἶνον ὁμοίως ἐν αὐτῷ τῷ βικίῳ ἐμβαλὼν ὕστερον ἀνατάρασσε· καὶ οὕτως πωμάσας βρύῳ ἢ ὕπνῳ, καὶ ἐπιδήσας καὶ χρίσας ἀσφαλῶς, τίθει ἐν ἡλίῳ ἡμέρας μ καὶ χρῶ.

ΑΨΙΝΘΑΤΟΥ ΗΤΟΙ ΡΟΔΑΨΙΝΘΑΤΟΥ ΥΓΙΕΙΝΟΥ ΣΚΕΥΑΣΙΑ ΚΑΛΛΙΣΤΗ.

ΚΕΦΑΛΑΙΟΝ ΡΛΔ'.

Ναρδοστάχυος γράμματα β. φύλλου, ἀμμωνιακοῦ, ἀμώμου, ἀνὰ γράμμα α. μαστίχης γράμματα γ. ῥόδων ξηρῶν γραμ. στ. μέλιτος ἀττικοῦ ξστα ἤτοι ξέστ. α. οἴνου ξστδ ἤτοι ξέστ. δ. οἱ δὲ ε. τινὲς δὲ ἀντὶ ἀμώμου κόστον βάλλουσι.

ΡΟΔΑΤΟΥ ΥΓΙΕΙΝΟΥ ΣΚΕΥΑΣΙΑ.

Ῥόδων ἐξωνυχισμένων καὶ προμαρανθέντων ἐπὶ σινδόνος ἡμέραν καὶ νύκτα λίτ. α. μέλιτος καλοῦ ξστα ἤτοι ξέστ. α. οἴνου παλαιοῦ ξστε ἤτοι ξέστ. ε. Προβρέχων τὰ ῥόδα τῷ οἴνῳ ἐπὶ ἡμέρας ιε, τίθει τὸ κεράμιον ἐν ἡλίῳ καθ' ἑκάστην, ἔπειτα διηθήσας τὸν οἶνον, καὶ προλειώσας ἐν θυίᾳ ἱκανῶς μετ' οἴνου ὀλίγου, ναρδοστάχυος γράμματα β. φύλλου ἢ κασίας γράμμα α. καὶ ἐπιβαλὼν τὸ μέλι καὶ συλλειώσας ἱκανῶς μίγνυε τὸν οἶνον.

2 σίδονι, ἀντὶ, σινδόνι Β. 6 διαμετρίσας Β. 9 βίκῳ Β. βήκῳ Γ. ἀναπάρασσε Β. „καὶ τὸν κλπ." μέχρις „ἀνατάρασσε" παραλ. Β. 11 ἐπιθήσας Β. 13 ἀψινδάτου Β. 16 ἄνευ, ἀμμωνιακοῦ Α. 17 ἄνευ, „ῥόδων ξηρῶν γραμμ. στ." Α. 21 „ἐξονυχισμένων" τὰ κείμ. ἡμ. διόρθ. „ἐξωνυχισμένων" Ζ. σινδῶνος Γ. 22 μέλιτι Β. 26 ἄνευ, „ἢ" Β.

[1] Βυκίον καλεῖται τὸ μικρὸν σταμνίον, πήλινον ἔνωτον ἀγγεῖον.

ΡΟΔΑΤΟΥ ΣΚΕΥΑΣΙΑ.

ΚΕΦΑΛΑΙΟΝ ΡΛΕ'.

Ῥόδων ἐξωνυχισμένων καὶ ἐν σκιᾷ ξηρανθέντων λίτ. α. οἴνου παλαιοῦ διαυγεστέρου ξεε ἤτοι ξέστ. ε. μέλιτος ξεα ἤτοι ξέστ. α. ἀπόβρεχε τὰ ῥόδα ἐν τῷ οἴνῳ νυχθήμερον, καὶ τῇ ἑξῆς διηθήσας τὸν οἶνον καὶ ἑνώσας τῷ μέλιτι φύλλασσε, καὶ μεθ' ἡμέρας γ χρῶ. Τινὲς δὲ προσβάλλουσι καὶ μαστίχης γράμματα στ. καὶ μαλάσσει τὴν κοιλίαν.

ΚΟΝΔΙΤΟΥ[1] ΚΑΘΑΡΤΙΚΟΥ ΣΚΕΥΑΣΙΑ ΕΠΙ ΤΩΝ ΦΛΕΓΜΑΤΙΚΩΝ, ΧΡΩ ΔΕ ΤΟΥΤΩ ΕΝ ΧΕΙΜΩΝΙ.

ΚΕΦΑΛΑΙΟΝ ΡΛϚ'.

Μέλιτος ξστα ἤτοι ξέστ. α. οἴνου ξεε ἤτοι ξέστ. ε. πεπέρεως γράμματα μστ. στύρακος καλαμίτου γράμματα γ. τὸ πέπερι κόψας καὶ σήσας, τὸν δὲ στύρακα διαλύσας ἐν τρουλλίῳ[2] μετ' ὀλίγου μέλιτος ἐπ' ἀνθράκων, εἶτα λειώσας αὐτὰ ἐν θυίᾳ μετὰ τοῦ πεπέρεως ἱκανῶς οἶνον ὀλίγον κατὰ βραχὺ ἐπιστάζων, ἐπίβαλλε τῷ μέλιτι, καὶ συλλεάνας ἐπίβαλλε τὸν οἶνον καὶ ἀναλάμβανε. Μεμνῆσθαι δὲ τούτου ἀεὶ χρή· ὅτι εἰ μὴ ἔστι καθαρὸν τὸ μέλι, οὐ καθίσταται καλῶς τὸ ἐξ αὐτοῦ σκευαζόμενον πρόπομα, ὅθεν χρὴ προεπαφρίζειν τὸ μὴ καθαρὸν μέλι· καθίσταται γὰρ εἰ ἐπαφρισθῇ, ἐν μιᾷ ἡμέρᾳ τὸ πρόπομα καὶ καθαρὸν γίνεται.

ΑΨΙΝΘΑΤΟΥ ΣΚΕΥΑΣΙΑ.

ΚΕΦΑΛΑΙΟΝ ΡΛΖ'.

Ναρδοστάχυος γράμματα ε. κρόκου κεράτια γ. ἀψινθίου δραχ. α. μαστίχης γράμματα ζ. μέλιτος ξεδ ἤτοι ξέστ. δ. οἴνου ξστκη ἤτοι ξέστ. κη.

---

5 ἀποβρέχε *B.* νυχθημερῶν *B.* 13 καλαμίντου *B.* 14 „τρουλίῳ" τὰ κείμ. ἡμ. διόρθ. „τρουλλίῳ" *Z.* 16 κοινοῦ εἰς, ἀντὶ, ἱκανῶς *B.* καταβραχὺ ἐπιστάζειν *B.* 17 οἶνον *B.* 20 προαποφρίζειν *B.* 21 ἀποφρισθῇ *B.* 22 ἀψινδάτου *B.* 24 κέρατα *B.* 26 ἄνευ, „ξστκη" *A.*

---

[1] Κονδῖτον ἐκαλεῖτο τὸ ἐκ ποικίλων μιγμάτων παρασκευαζόμενον καθάρσιον· ὁ δὲ ἠρωματισμένος οἶνος κονδῖτος. Λατ. vinum conditum. Ζερβ.

[2] Τρουλλίον ἐστὶ μαγειρικὸν σκεῦος, κατά τινας μὲν τὸ τρυβλίον, κατ' ἄλλους δὲ ἡ λοπὰς κοιν. πιατέλλα ἢ τὸ τήγανον.

ΣΕΣΕΛΙΤΟΥ ΣΚΕΥΑΣΙΑ.

Πεπέρεως γράμματα στ. ναρδοστάχυος γράμμα α. σεσέλεως δράχ. ε. οἴνου ξεε ἤτοι ξέστ. ε. μέλιτος ξεα.

ΑΝΙΣΑΤΟΥ ΣΚΕΥΑΣΙΑ.

Ἀνίσου γράμματα η. στάχυος γράμματα ζ. οἴνου ξστ. ε. μέλιτος ξστ. α.

ΜΑΣΤΙΧΑΤΟΥ ΚΥΜΙΝΑΤΟΥ ΣΚΕΥΑΣΙΑ.

ΚΕΦΑΛΑΙΟΝ ΡΛΗʹ.

Κυμίνου γράμματα ιβ. οἴνου ξέστ. ε. μέλιτος ξέστ. α. μαστίχης γοαζʹ. ἤτοι οὐγ. α καὶ ἡμίσ.

Κιτράτου σκευασία.

Κιτρίου καλοῦ τοῦ φλοιοῦ ἢ τῶν φύλλων γοη. οἴνου ξέστ. β. μέλιτος ξεα. βρέχε τὸν φλοιὸν ἢ τὰ φύλλα ἐν τῷ οἴνῳ ἐπὶ ἡμέρας ζ. εἶτα διηθήσας τὸν οἶνον, λειώσας τῷ μέλιτι καὶ ἑνώσας χρῶ.

Ἀπιάτου σκευασία.

Σελίνου σπέρματος γράμματα ιβ. πηγάνου σπέρματος γράμματα στ. ἀπίου σπέρματος τὸ ἴσον, μέλιτος ξεα. οἴνου ξεδ. ἐν δὲ τοῖς νηστικοῖς ἔμβαλλε ὕδωρ ἀντὶ τοῦ οἴνου.

ΡΟΔΟΜΗΛΟΥ ΣΚΕΥΑΣΙΑ.

ΚΕΦΑΛΑΙΟΝ ΡΛΘʹ.

Μήλων κεκαθαρμένων τοῦ ἐκτὸς καὶ τῆς ἐντεριώνης γλυκυτάτων τοῦ χυλοῦ ξεβ. ὕδατος ἀποτριτωθέντος ξεδ. χυλοῦ ῥόδων ξεα. μέλιτος ξεαζʹ. ἤτοι ξέστ. α καὶ ἥμισ. ἐν τῷ καιρῷ τῶν μήλων ποιήσας ἐξ αὐτῶν τὸν χυλὸν καὶ διηθήσας διὰ ῥάκους, ἐπίβαλλε τῷ μέλιτι καὶ φύλαττε ἕως τοῦ καιροῦ τῶν ῥόδων· ἐν δὲ τῷ ἔαρι ἀποτριτώσας τὸ ὕδωρ, καὶ ποιήσας τὸν χυλὸν τῶν ῥόδων ἑνώσας ἅμα τὰ πάντα, καὶ ὅταν πεφθῇ χρῶ.

---

1 ἅπασαν τὴν „σκεασίαν σεσελίτου" παραλείπει *B*. „σισελίτου" *A*. ἡμ. διόρθ. „σεσελίτου" *Z*. 7 καὶ κυμινάτου *B*. 12 φλοίου *B*. 14 οἶνον καὶ *AB*. 17 ἴσον *A*. 18 νηστικοῖς ἀπονήμενει *B*. ἀπονήμενε κατάβαλλε *Γ*. 21 τοῦ ἐντὸς *B*. 22 ἀποτετρηθέντος *B*. 24 τῶν χυλῶν *B*. 26 „ἔαρι κλπ." μέχρι „πάντα" παραλ. *B*.

ΜΟΥΣΤΑΚΙΩΝ ΣΚΕΥΑΣΙΑ.

ΚΕΦΑΛΑΙΟΝ ΡΜ΄.

Σεμιδάλεως ξειστ ἤτοι ξέστ ιστ. ἐλαίου ὀμφακίνου ξεε ἤτοι ξέστ. ε. πεπέρεως γοε ἤτοι οὐγ. ε. φύλλου, καρυοφύλλου ἀνὰ γοα. ἤτοι οὐγ. α. οἴνου μούστου γλυκυτάτου ξεγ ἤτοι ξέστ. γ· μέλιτος λιβ. ἤτοι λίτρ. β. γίνονται δὲ ταῦτα ὡς πλακούντια μικρά.

ΓΑΡΟΥ ΝΗΣΤΙΚΟΥ ΣΚΕΥΑΣΙΑ.

ΚΕΦΑΛΑΙΟΝ ΡΜΑ΄.

Ὕδατος ξστλα ἤτοι ξέστ. λα. ἁλῶν ξστβ ἤτοι ξέστ. β. ἐρεβίνθων ξηρῶν μελανῶν ξστδ ἤτοι ξέστ. δ. ἀμανιτῶν λιβ ἤτοι λίτρ. β. ἰσχάδας μέλανας ν. ἑνώσας εἶτα διηθήσας φύλαττε.

ΘΥΜΙΑΜΑΤΟΣ ΜΟΣΧΑΤΟΥ ΣΚΕΥΑΣΙΑ.

ΚΕΦΑΛΑΙΟΝ ΡΜΒ΄.

Ῥόδων χλωρῶν λιστ ἤτοι λίτρ. στ. μέλιτος ἀττικοῦ διυλισμένου διὰ ῥάκους ἀραιοῦ λιγ. γογ. ἤτοι λίτρ. γ καὶ οὐγ. γ. φύλλου γοστ ἤτοι οὐγ. στ. ἀμώμου γοδ ἤτοι οὐγ. δ. καρυοφύλλου γοβ ἤτοι οὐγ. β. ναρδοστάχυος γοδ ἤτοι οὐγ. δ. κόστου γοη ἤτοι οὐγ. η. ὀνύχων γοα, ἤτοι οὐγ. α. καρποβαλσάμου γοδ, ἤτοι οὐγ. δ. ἀσάρου γοβ, ἤτοι οὐγ. β. ἀλόης γοα, ἤτοι οὐγ. α. καλάμου ἰνδικοῦ γοστ, ἤτοι οὐγ. στ. κάρυα ἰνδικὰ γ. σανδαράχης γράμματα ιστ. ἄμβαρος γοα, ἤτοι οὐγ. α. στύρακος λιπαροῦ λιγ, ἤτοι λίτρ. γ. μαστίχης γοβ, ἤτοι οὐγ. β. κρόκου γοα. ἀντὶ δὲ τοῦ στύρακος, λαδάνου λιπαροῦ λίτρ. α. στακτῆς λευκῆς μυρεψικῆς λίτρ. α. τινὲς δὲ γοε ἤτοι οὐγ. ε. κρόκου γοα. μαστίχης γογ. μόσχου γράμματα δ. κόψας καὶ σήσας τὰ ξηρά, ὁλμοκοπήσας δὲ καὶ τὸν στύρακα μετὰ τοῦ λαδάνου καὶ τοῦ μέλιτος καὶ τῆς στακτῆς, ἐπίπασσε τὰ ξηρὰ καὶ ἑνώσας λύε ἐν τρουλλίῳ, εἶτα τῆκε τὸ ἄμβαρ καὶ ἐπιβαλὼν αὐτοῖς ἕνωσον. εἶτα λειώσας τὸν μόσχον ὕδατι θερμῷ, καὶ φυλάξας ἐξ αὐτοῦ τὸ ἀρκοῦν εἰς τὴν ἀνά-

---

3 σεμιδήλεως *B.* 4 φύλλα *B.* καρυοφύλλα *B.* 6 γάρ, ἀντί, δὲ *B.* 7 Ἰαροῦ *B.* 15 ἀραίου *B.* 18 „ὀνύχων κλπ." μέχρις „ἀλόης" παραλ. *B.* 20 καρύα *B.* σανδάνης, ἀντί, σανδαράχης *A.* 24 ἐστί, ἀντί, δὲ *B.* δὲ καὶ *B.* „κρόκου γοα. μαστίχης γογ." παραλ. *A.*

πλασιν, μάλασσε τὸ θυμίαμα ἐν τῇ θυίᾳ καὶ ἀναλάμβανε ἀκριβῶς τὸν μόσχον, καὶ ἑνώσας ἀνάπλασσε τῷ φυλαχθέντι μόσχῳ.

ΘΥΜΙΑΜΑΤΟΣ ΤΟΥ ΒΑΣΙΛΙΚΟΥ ΣΚΕΥΑΣΙΑ.

ΚΕΦΑΛΑΙΟΝ ΡΜΓ΄.

Στύρακος καλαμίτου λίτρ. α. ἀλόης γοστ. ἄμβαρος γοα. μόσχου γράμματα δ. τινὲς δὲ τοῦτο οὕτω σκευάζουσι· στύρακος καλαμίτου λίτρ. α. ἀλόης γοδ. ἄμβαρος γοα. μόσχου γράμματα δ. προστιθέασι δὲ καὶ χυλοῦ ῥόδων τὸ ἀρκοῦν.

ΘΥΜΙΑΜΑΤΟΣ ΜΟΣΧΑΤΟΥ ΘΕΟΠΕΜΠΤΟΥ ΣΚΕΥΑΣΙΑ.

ΚΕΦΑΛΑΙΟΝ ΡΜΔ΄.

Στύρακος λιπαροῦ γοι. καρυοφύλλου, κρόκου, ῥόδων ξηρῶν, φύλλου, μαστίχης, ἀνὰ γοα. μόσχου κεράτια δ. Ἐγὼ δὲ φησί, μόσχου γράμματα δ καὶ βαλσάμου τὸ ἱκανὸν ἐνέβαλλον.

ΑΛΛΟΥ ΘΥΜΙΑΜΑΤΟΣ ΜΟΣΧΑΤΟΥ ΣΚΕΥΑΣΙΑ.

Φύλλου, κόστου, βρύου ἤτοι ὕπνου, ῥόδων ξηρῶν, ναρδοστάχυος, ἀνὰ γοα. κρόκου, ὀνύχων, καρυοφύλλου, ἀμώμου, κασίας ἀνὰ γράμματα ιβ. καρποβαλσάμου, βδελλίου ἀνὰ ὁμοίως. στύρακος γράμματα κ. μόσχου γράμματα γ. ῥοδομέλιτος τὸ ἱκανόν.

ΘΥΜΙΑΜΑΤΟΣ ΚΑΛΟΥ ΡΟΔΑΤΟΥ ΣΚΕΥΑΣΙΑ.

ΚΕΦΑΛΑΙΟΝ ΡΜΕ΄.

Φύλλου, ῥόδων ξηρῶν, κόστου, μαστίχης ἀνὰ γοβ. ναρδοστάχυος, ἀμώμου, ὀποβαλσάμου, ἀνὰ γοαζ΄. κρόκου. σμύρνης ἀνὰ γοα. στύρακος γοι. οἴνου εὐώδους παλαιοῦ καὶ μέλιτος τὸ ἀρκοῦν.

ΜΟΣΧΑΤΟΥ ΕΝ ΤΗ ΕΚΚΛΗΣΙΑ ΚΑΠΝΙΖΟΜΕΝΟΥ ΣΚΕΥΑΣΙΑ.

ΚΕΦΑΛΑΙΟΝ ΡΜϚ΄.

Κόστου λίτρ. δ ἤτοι δ. καὶ ἡμίσ. καρυοφύλλων λίτρ. θ. φύλλων λίτ. α καὶ ἡμίσ. ναρδοστάχυος τὸ αὐτό. κασάμου[1] *γοιδ*

---

5 *χυλοῦ ἀλόης B.* 9 *μόσχου τοῦ θεοπέμπτου B.* 11 *κόστου, ἀντί, κρόκου A.* 12 *ἄνευ, φύλου A. κερατία B.* 13 *„ἔμβαλλον“ κείμ. ἡμ. διόρθ. „ἐνέβαλλον“ Z.* 16 *ἄνευ, ἀμώμου A.* 21 *φύλλων B.*

[1] *Κάσαμόν ἐστι τὸ φυτὸν τὰ εὐώδη ἄνθη τοῦ ὁποίου ἐχρησίμευον εἰς κατασκευὴν στεφάνων· κυκλάμινος ἄλλως προσαγορευόμενον. Ζερβ.*

Πῶς σκευάζει ὁ ἄρχων τῆς Ἀνατολῆς.

ἤτοι οὐγ. ιδ. στύρακος χυματίου λίτρ. στ. ἄσπρου[1] λιτρ. γ. κρόκου τριχίνου γοι. ἄμβαρος γοβ. μόσχου γοβ. ὁ ἄρχων δὲ τῆς Ἀνατολῆς σκευάζει οὕτως. κόστου γογ. ναρδοστάχυος γοα. φύλλων τὸ αὐτὸ. καρυοφύλλων γογζ'. ἤτοι οὐγ. γ καὶ ἡμίσ. κασάμου γοζ'. ἤτοι οὐγ. ἡμισ. ἄσπρου γοβ. στύρακος γοβ. χυματίου πρωτείου γοε. κρόκου τριχίνου γράμματα β. μόσχου, ἄμβαρος ἀνὰ γράμματα β.

ΘΥΜΙΑΜΑΤΟΣ ΜΥΡΕΨΙΚΟΥ ΣΚΕΥΑΣΙΑ.

Κόστου λιαζ'. ἤτοι λίτρ. α καὶ ἡμίσ. ἑλενίου,[2] ῥόδων ξηρῶν, μελανίου,[3] ἀνὰ λια. καρποβαλσάμου, ἀσπαλάθου ἀνὰ λιβ. σμύρνης λιαζ'. τάρου, ὅ ἐστὶ ξύλον ἀλόης, λαδάνου ἀνὰ λιδ. ἀμώμου λια. μαστίχης γοη. ξυλοκαρυοφύλλων γοστ. σκύλματος φύλλων γοστ. βρύων λιβ. στακτῆς λιε. βδελλίου λιβ. ὀνύχων, κρόκου τριχισθέντος ἀνὰ γοδ.

ΘΥΜΙΑΜΑΤΟΣ ΜΥΡΕΨΙΚΟΥ ΚΑΛΟΥ ΣΚΕΥΑΣΙΑ.

ΚΕΦΑΛΑΙΟΝ ΡΜΖ'.

Κόστου λιαζ'. κασάμου λια. ξυλοκαρυοφύλλων, σκύλματος φύλλων, ναρδοστάχυος ἀνὰ γοστ. φλοιοῦ ἀσπαλάθου, ῥόδων ξηρῶν ἀνὰ γογ. μαστίχης χίας, βδελλίου ἀνὰ γοβ. λαδάνου λιγ. μελαίνης στακτῆς[4] λιστ. κρόκου γράμματα στ. Ἐγὼ δὲ φησὶν, ἀντὶ τῆς μελαίνης στακτῆς ἔβαλλον τῆς λευκῆς λιβ. καὶ στύρακος λιδ.

---

1 ἄπυρου, ἀντὶ, ἄσπρου *B*. 5 ἄσπορου *B*. 9 ἐλανίου *B*. 11 ξυλόχου, ἀντὶ, ξύλον ἀλόης *A*. 21 ἔβαλον *B*.

---

[1] Ἄσπρος ἐστὶν εἶδος δρυὸς ἥτις καὶ „ἄσπρις“ ἄλλως προσηγορεύετο· ὅρ. Θεόφ. Ἱ. Φ. 3, 10, 8.

[2] Ἑλένιόν ἐστι εἶδος λαχάνου· λατιν. Helenium.

[3] Μελάνιον κατ' ἀντιστροφὴν τοῦ λευκοΐου, μέλαν ἴον κοιν. μαῦρος μενεξές. Ζ.

[4] Στακτὴ καλεῖται τὸ ἐκ τῆς σμύρνης ἐξαγόμενον ἔλαιον κοιν. κιναμώμου ἢ κανέλλας ὀνομαζομένης· ἐκλήθη δ' οὕτως ὡς ἐκ τοῦ κατὰ σταγόνας καταρρέειν τῇ ἐκπιέσει τῆς τρυφερᾶς ἔτι οὔσης σμύρνης· ἔνιοι δὲ κατὰ μεταφορὰν ἐκάλεσαν οὕτως καὶ ἄλλα ῥευστὰ καὶ βάλσαμα τεχνητῶς παρεσκευασμένα. ὡς ἐκ τῆς ἐπικρατούσης δὲ χροιᾶς ὁτὲ μὲν καλεῖται „μέλαινα στακτὴ“ ὁτὲ δὲ „λευκὴ στακτὴ“ κλπ. Ζερβ.

ΘΥΜΙΑΜΑΤΟΣ ΕΡΑΝΟΥ ΣΚΕΥΑΣΙΑ.

ΚΕΦΑΛΑΙΟΝ ΡΜΗ΄.

Κόστου γοιθ. καρυοφύλλων γοδ. λαδάνου λια. ναρδοστάχυος, φύλλων ἀνὰ γοστ. στύρακος λιγ. ἄσπρου γοιστ. κρόκου γράμματα στ. μόσχου γοη. μέλιτος γοε.

ΘΥΜΙΑΜΑ ΤΗΣ ΚΥΡΙΑΣ ΡΩΜΥΛΟΥ.

ΚΕΦΑΛΑΙΟΝ ΡΜΘ΄.

Στύρακος καλαμίτου λιβ. κόστου, στακτῆς λευκῆς, ἀνὰ γοστ. καρυοφύλλων, τάρου ἀνὰ γοβ. ναρδοστάχυος γοβζ. κρόκου γοδ. ἄμβαρος δραχ. δ. ἀλούα γοα. μόσχου γράμματα δ. ἢ ὅσον βούλει.

ΘΥΜΙΑΜΑ ΡΟΔΑΤΟΝ ΤΟΥ ΕΜΒΟΛΑΡΧΟΥ.

ΚΕΦΑΛΑΙΟΝ ΡΝ΄.

Κασίας, σμύρνης, βδελλίου, ἀρναβῶ, καλάμου ἰνδικοῦ, σαρούα, καρποβαλσάμου, λαδάνου λιπαροῦ, ὕπνου, φύλλων, ἀνὰ γογ. καρυοφύλλων, ὀνύχων μεγάλων, μαστίχης, ἀνὰ γοδ. κρόκου γοβ. ναρδοστάχυος, ὀποβαλσάμου, ἀνὰ γοστ. ῥόδων ξηρῶν, στύρακος, ἀνὰ λια. ῥόδων χλωρῶν λιβ. οἴνου παλαιοῦ εὐώδους καὶ μέλιτος ἀττικοῦ τὸ ἀρκοῦν.

ΘΥΜΙΑΜΑ ΡΟΔΑΤΟΝ ΕΠΙΣΚΟΠΟΥ ΠΑΜΦΥΛΟΥ.

ΚΕΦΑΛΑΙΟΝ ΡΝΑ΄.

Φύλλου, καρυοφύλλου, ὕπνου, λαδάνου λιπαροῦ ἀνὰ γοβζ. καλάμου ἰνδικοῦ, ναρδοστάχυος, ὀνύχων μεγάλων, βδελλίου, καρποβαλσάμου, κρόκου, κασίας, ἀνὰ γογ. ἀμώμου, μαστίχης ἀνὰ γοε. κόστου γοαζ΄. ἀρναβῶ τὸ αὐτό. σαρούα γοα. ὀποβαλσάμου γογ. στύρακος λιπαροῦ λιγ. ῥόδων νεαρῶν ἐξωνυχισμένων λιστ. οἰνομέλιτος τὸ ἀρκοῦν. ἔστω δὲ τὸ μέλι πρωτεῖον, καὶ ὁ οἶνος παλαιὸς καὶ εὐώδης.

---

4 *ἄπυρου, ἀντὶ, ἄσπρου B.* 11 *ἐμβουλάρχου B.* 14 *ὕπνου φύλλων B. φύλλα A.* 19 *ῥοδάτων B. παμφίλου B.* 21 *φύλλων, καρυοφύλλων B.* 25 *„ἐξονυχισμένων“ τὰ κείμ. ἡμ. διόρθ. „ἐξωνυχισμένων“ Z.* 27 *„εὐώδης ἐξ ὅ τὸ γλυκὺ παροσπειοτίται“ B. ἣν φράσιν παρέλειψα ἑπόμενος τῷ A.*

ΘΥΜΙΑΜΑ ΜΥΡΕΨΙΚΟΝ Η ΦΥΚΟΤΥΧΗ.

ΚΕΦΑΛΑΙΟΝ ΡΝΒ′.

Λιβάνου γοι. μυελοῦ ἐλαφείου, σμύρνης ἀνὰ δραχ. ζ. ψιμμυθίου, ὀπίου ἀνὰ δραχ. δ. μολύβδου κεκαυμένου καὶ πεπλυμένου, καὶ βουτύρου, λίθου αἱματίτου, ὠῶν ὀπτῶν λεκίθων, κηροῦ τυρρηνικοῦ ἀνὰ δραχ. δ. στυπτηρίας σχιστῆς δραχ. β. οἰσύπου ὑγροῦ, πομφόλυγος ἀνὰ δραχ. στ. στέατος χηνείου, ῥοδίνου, ἀνὰ δραχ. ιστ. τὰ ξηρὰ οἴνῳ βρέχε.

ΝΕΚΡΟΥ ΣΜΥΡΝΗΣΙΣ.

ΚΕΦΑΛΑΙΟΝ ΡΝΓ′.

Ἀλόης, σμύρνης, κόμμεως, ἀνὰ λια. σαρκοκόλλης λιβ. ἀκακίας λιαζ. λιβάνου λιστ. ὀποβαλσάμου γογ. ἤτοι οὐγγίας τρεῖς.[1]

Τέλος

ἑξκαιδεκάτου καὶ τελευταίου λόγου τοῦ

Ἀετίου.

---

1 φικοτήχη *A*. 5 λεπτῶν, ἀντί, ὀπτῶν *B*. τυρρηναικοῦ *B*. 6 ὑσσώπου *A*. 11 „κόμμεος“ τὰ κείμ.

---

[1] Ὥσπερ ξένοι χαίρουσιν ἰδεῖν πατρίδα, φησὶν ὁ πάντα θαυμαστὸς καὶ θειότατος κατὰ τὸν Γαληνὸν Ἱπποκράτης [IX. 770, 15—775, 8], οὕτως καὶ οἱ γράφοντες βιβλίου τέλος. Ἱππ. περ. κακ. ἰητρ. 590.

ΠΑΡΟΡΑΜΑΤΩΝ ΔΙΟΡΘΩΣΙΣ.

Ἐκτὸς τῆς παραλλαγῆς τῆς ὀξείας πρὸς τὴν βαρεῖαν τῶν πρώτων φύλλων ἣν μεθ' ὅλας τὰς διορθώσεις δὲν ἠδυνήθημεν νὰ διορθώσωμεν, τοῦ ἑνὸς καὶ μόνου πρὸς τὴν ἐκτύπωσιν ἐργάτου ἀγνοοῦντος τέλεον τὴν ἑλληνικήν.

Σελ.	20, 25	ἀντὶ	προανιψάμενος,	γράφε,	προνιψάμενος.
„	25, 25	„	πόματι,	„	πώματι.
„	61, 2	„	ἰχῶρὰς τε,	„	ἰχῶράς τε.
„	63, 1	„	λυπαίνοντα,	„	λιπαίνοντα.
„	72, 10	„	γυνακὸς,	„	γυναικός.
„	78, 12	„	γυνακὶ,	„	γυναικί.
„	79, 20	„	σιτύα,	„	σιτία.

Οἱ πίνακες μετὰ τὴν ἔκδοσιν τοῦ ὅλου ἔργου.

Τύποις Μέτζγερ καὶ Βίττιγ ἐν Λειψίᾳ.

